ΜΑΞΙΜΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

ΠΡΟΣ ΘΑΛΑΣΣΙΟΝ

ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΑΠΟΡΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

(ΕΡΩΤΗΣΕΙΣ ΝΔ΄ - ΞΕ΄)

ΕΙΣΑΓΩΓΗ

ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ

Ἀπὸ τὸν

ΙΓΝΑΤΙΟ ΣΑΚΑΛΗ

Φιλόλογο

Φ Ι Λ Ο Κ Α Λ Ι Α
Τ Ω Ν
ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ
14Γ

Ἐπόπτης Ἐκδόσεως

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Πτυχιοῦχος Θεολογίας

Ε Π Ε

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1992

Μ Α Ξ Ι Μ Ο Σ
Ο
Ο Μ Ο Λ Ο Γ Η Τ Η Σ

ΕΙΣΑΓΩΓΗ

Στὸν παρόντα τόμο συνεχίζεται καὶ ὁλοκληρώνεται ἡ ἔκδοση τοῦ ἔργου τοῦ Μαξίμου τοῦ Ὁμολογητου *Πρὸς Θαλάσσιον περὶ διαφόρων ἀπόρων τῆς θείας Γραφῆς*, μὲ τὴν ἔκδοση τῶν ὑπόλοιπων 14 ἐρωταποκρίσεων ΝΔ' - ΞΕ'.

Στὴν ἐρώτηση ΝΔ' γίνεται λόγος γιὰ τὸν Ζοροβάβελ καὶ τὴν προσευχή του ὅπως αὐτὴ περιγράφεται στὸ πρῶτο βιβλίο τοῦ Ἔσδρα 4,18–60.

Στὴν ἐρώτηση ΝΕ' γίνεται λόγος γιὰ τοὺς ἀνθρώπους καὶ τὰ κτήνη ποὺ ἐξῆλθαν ἀπὸ τὴ Βαβυλώνα ὅπως τὸ γεγονὸς αὐτὸ περιγράφεται στὸ πρῶτο βιβλίο τοῦ Ἔσδρα 5,41ἑ.

Στὴν ἐρώτηση ΝS' γίνεται λόγος γιὰ τοὺς ἐχθροὺς τῆς φυλῆς τοῦ Ἰούδα καὶ τοῦ Βενιαμὶν ποὺ πῆγαν στὸν Ζοροβάβελ καὶ ζήτησαν νὰ λάβουν μέρος καὶ αὐτοὶ στὴν ἀνοικοδόμηση τοῦ ναοῦ (Ἔσδρα 4,1–3), πρόταση ὅμως ποὺ ἀπορρίφθηκε.

Στὴν ἐρώτηση ΝΖ' ἐξηγεῖται τὸ χωρίο τοῦ Ἰακώβου 5,16 «πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη». Τονίζεταιι ὅτι ἡ δέηση τοῦ δικαίου εἴτε αὐτὴ πραγματοποιεῖται ἀπὸ τὸν δίκαιο, εἴτε ἀπὸ αὐτὸν ποὺ παρακαλεῖ τὸν δίκαιο νὰ τὴν κάνει ἔχει μεγάλη δύναμη· στὴν πρώτη περίπτωση δίνει παρρησία πρὸς τὸν Θεό, ἐνῶ στὴ δεύτερη τὸν ἀπαλλάσσει ἀπὸ τὴν κακία, μεταβάλλοντας τὴ διάθεσή του πρὸς τὴν ἀρετή.

Στὴν ἐρώτηση ΝΗ' ἐξηγεῖται τὸ χωρίο τῆς Α' Πέτρου 1,6 «ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ λυπηθέντας». Δίνονται διάφοροι ὁρισμοὶ τῆς λύπης, τὴν ὁποία βασικὰ διακρίνει σὲ *αἰσθησιακὴ λύπη*, ποὺ ἐκδηλώνεται στὶς αἰσθήσεις καὶ δημιουργεῖται ἀπὸ τὴ στέρηση τῶν σωματικῶν ἀγαθῶν, καὶ σὲ *πνευματικὴ λύπη*, ποὺ δημιουργεῖται ἀπὸ τὴ στέρηση τῶν φυσικῶν ἀγα-

θῶν. Ἐπίσης ὁμιλεῖ καὶ γιὰ τοὺς πειρασμούς, τοὺς ὁποίους διακρίνει σὲ ἑκούσιους καὶ σὲ ἀκούσιους, καὶ καταλήγει στὸ συμπέρασμα, ὅτι ἡδονὴ σωτήρια χαρακτηρίζει τὴ χαρὰ τῆς ψυχῆς γιὰ τὴν ἀρετή, καὶ ὠφέλιμη λύπη τὴν ὀδύνη τῆς σάρκας γιὰ τὴν ἀρετή.

Στὴν ἐρώτηση ΝΘ' ἀναλύεται τὸ χωρίο τῆς Α' Πέτρου 1,1ο–11, στὸ ὁποῖο γίνεται λόγος γιὰ τὴ σωτηρία ποὺ ζήτησαν καὶ ἐρεύνησαν οἱ οἱ προφῆτες. Τονίζει ὅτι ὅποιος ζητεῖ χωρὶς κανένα πάθος, δέχεται τὴ χάρη νὰ μπορεῖ νὰ ἐνεργεῖ στὴν πράξη τὶς ἀρετές· ὅποιος ζητεῖ μὲ ἀπάθεια, βρίσκει κατὰ τὴ φυσικὴ θεώρηση τὴν ἀλήθεια τῶν ὄντων· κι ὅποιος κρούει μὲ ἀπάθεια τὴ θύρα τῆς γνώσης, αὐτὸς θὰ εἰσέλθει χωρὶς ἐμπόδια στὴν ἀπόκρυφη χάρη τῆς μυστικῆς θεολογίας.

Στὴν ἐρώτηση Ξ' γίνεται λόγος γιὰ τὸν Χριστό, τὸν ἄμωμο καὶ ἄσπιλο ἀμνό, τὸν προεγνωσμένο ἀπὸ καταβολῆς κόσμου, βάσει τοῦ χωρίου τῆς Α' Πέτρου 1,19–20. Τονίζει ὅτι ἡ ἐνανθρώπηση τοῦ Χριστοῦ εἶναι τὸ μέγα καὶ ἀπόκρυφο μυστήριο, τὸ μακάριο τέλος γιὰ τὸ ὁποῖο ἔγιναν ὅλα, ὁ θεῖος σκοπὸς ποὺ προεπινοήθηκε πρὶν ἀπὸ τὴν ἀρχὴ τῶν ὄντων, ποὺ ὁρίζοντάς τον μποροῦμε νὰ τὸν ποῦμε «προεπινοούμενο τέλος», τὸ μυστήριο ποὺ περικλείει ὅλους τοὺς αἰῶνες καὶ φανερώνει τὴν ὑπεράπειρη βουλὴ τοῦ Θεοῦ, καὶ ποὺ φανερώθηκε στὸ τέλος τῶν χρόνων, πραγματοποιώντας τὴν πρόγνωση τοῦ Θεοῦ...

Στὴν ἐρώτηση ΞΑ' ἀναλύεται τὸ χωρίου τῆς Α' Πέτρου 1,19–20 «ὅτι καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ». Τονίζεται ὅτι γενικὴ κατάκριση τοῦ νόμου τῆς φύσης ποὺ ἐπικράτησε μὲ τὴν παράβαση εἶναι ἡ ἀληθινὴ ἐνανθρώπηση τοῦ Θεοῦ, ἐνῶ εἰδικὴ κατάκριση τοῦ νόμου αὐτοῦ εἶναι ἡ κατὰ Χριστὸν ἀναγέννηση τῆς γνώμης τοῦ καθενός. Κατὰ τὴν αἰώνια μακαριότητα ὁ Θεὸς θὰ περιλάβει ἰδιαιτέρως τοὺς ἁγίους ἀγγέλους καὶ ἁγίους ἀνθρώπους, ἀφήνοντας στοὺς μὴ ἁγίους τὴν αἰώνια δυστυχία ὡς καρπὸ τῆς γνώμης τους.

Στὴν ἐρώτηση ΞΒ' δίνεται ἐξήγηση γιὰ τὸ δρεπάνι ποὺ εἶδε ὁ προφήτης Ζαχαρίας (Ζαχ. 5,1–3), μὲ τὸ ὁποῖο σημαίνεται ὁ Χριστός, καὶ ὁ ὁποῖος ὀνομάστηκε δρεπάνι ὄχι μόνο γιατὶ θερί-

ζει τὴν κακία τῆς λογικῆς φύσης ποὺ δὲν ἔσπειρε αὐτὸς καὶ συλλέγει τὴ φύση ποὺ δὲν εἶχε διασκορπίσει ὁ ἴδιος, ἀλλὰ καὶ γιατὶ συνάγει καὶ βάζει μέσα στὶς θεῖες ἀποθῆκες ἐκείνους ποὺ σώζονται, καθὼς συμφύεται μὲ τὶς πρακτικὲς δυνάμεις τῆς ψυχῆς.

Στὴν ἐρώτηση ΞΓ΄ ἑρμηνεύεται ἡ λυχνία ποὺ εἶδε ὁ προφήτης Ζαχαρίας (Ζαχ. 4,2.5). Τονίζει ὅτι λυχνία ὁλόχρυση εἶναι ἡ Ἐκκλησία τοῦ Θεοῦ, τῆς ὁποίας τὸ φῶς εἶναι τὸ πατρικὸ ἀληθινὸ φῶς ποὺ φωτίζει κάθε ἄνθρωπο ποὺ ἔρχεται στὸν κόσμο, ὁ Χριστός, ὁ ὁποῖος διαλύει τὸ σκότος τῆς ἄγνοιας καὶ τῆς πονηρίας. Λυχνοστάτης εἶναι ἡ σωματικὴ λατρεία τοῦ Νόμου, λύχνοι εἶναι οἱ ἐνέργειες τοῦ ἁγίου Πνεύματος, δηλαδὴ τὰ χαρίσματα αὐτοῦ, ἐλαιοδοχεῖα εἶναι οἱ ἕξεις καὶ διαθέσεις ποὺ δέχονται τοὺς διάφορους λόγους καὶ τρόπους καὶ ἤθη ποὺ διατρέφουν καὶ συντηροῦν τὶς ἐνέργειες τοῦ ἁγίου Πνεύματος, καὶ τέλος οἱ δύο ἐλιὲς τῆς χρυσῆς λυχνίας, δηλαδὴ τῆς Ἐκκλησίας, εἶναι οἱ δύο Διαθῆκες, ἀπὸ τὶς ὁποῖες σὰν ἀπὸ ἐλιὲς βγαίνει μὲ ἐκπίεση καὶ εὐσεβὴ ἀναζήτηση καὶ ἔρευνα· σὰν λάδι, ἡ δύναμη τῶν νοημάτων ποὺ ἐκτρέφει τὸ φῶς τῶν θείων χαρισμάτων. Δὲν ἀρκεῖται σ' αὐτὴ τὴν ἑρμηνεία, ἀλλὰ δίνει σ' ὅλα αὐτὰ καὶ ἄλλες ἑρμηνεῖες.

Στὴ ἐρώτηση ΞΔ΄ γίνεται λόγος γιὰ τὸν Ἰωνᾶ καὶ τὴν προφητεία του, κατὰ τὴν ὁποία οἱ περισσότεροι ἀπὸ δώδεκα μυριάδες ἄνθρωποι ποὺ κατοικοῦν στη Νινευὴ δὲν γνωρίζουν οὔτε τὴ δεξιὰ οὔτε τὴν ἀριστερά τους (Ἰων. 4,4). Τονίζει ὅτι ὁ Ἰωνᾶς δηλώνει τὴν προφητικὴ χάρη, ἡ Ἰόππη τὸν παράδεισο, ἡ Νινευὴ τὴν ἐκκλησία τῶν ἐθνῶν ποὺ σὰν Νινευὴ ἐπιστρέφει στὸ Θεό, καθὼς καὶ τὴν ψυχὴ τοῦ καθενός· ἀπιστία εἶναι ἡ ἄρνηση τῶν ἐντολῶν, πίστη ἡ συγκατάθεση σ' αὐτές, ὁδὸς τῶν τριῶν ἡμερῶν εἶναι ἡ μέσω τῶν τριῶν νόμων μὲ δικαιωσύνη τελείωση ἐκείνου ποὺ τοὺς φυλάει κ.ἄ.

Στὴν ἐρώτηση ΞΕ΄ γίνεται λόγος γιὰ τοὺς ἀπογόνους τοῦ Σαοὺλ ποὺ σκοτώθηκαν ἀπὸ τοὺς Γαβαωνῖτες κατὰ τὶς ἡμέρες τοῦ βασιλιᾶ Δαβὶδ (Α΄ Βασ. 21,1–14). Ὁ Μάξιμος μὲ τὴ γνωστὴ ἀλληγορικὴ ἑρμηνεία του ἑρμηνεύει ὅλα τὰ πρόσωπα καὶ πράγματα ποὺ ἀναφέρονται στοὺς στίχους αὐτοὺς τῆς Γραφῆς.

Ε.Μ

ΠΡΟΣ ΘΑΛΛΑΣΣΙΟΝ

ΟΣΙΩΤΑΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ ΚΑΙ ΗΓΟΥΜΕΝΟΝ

ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΑΠΟΡΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩιΔΕ ΤΩι ΠΡΩΤΩι ΒΙΒΛΙΩι
ΤΩΝ ΑΠΟΡΩΝ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ

νδ. *Περὶ τοῦ Ζοροβάβελ καὶ τῆς αὐτοῦ προσευχῆς.* 54
νε. *Περὶ τοῦ ἀριθμοῦ τῶν ἐξελθόντων ἐκ Βαβυλῶνος ἀνθρώπων τε καὶ κτηνῶν.* 54

ΑΠΟ ΩΔΕ ΚΕΙΝΤΑΙ ΕΝ ΤΗι ΔΕΥΤΕΡΑι ΒΙΒΛΩι

νϛ. *Περὶ τῶν ἐληλυθότων ἐχθρῶν Ἰούδα καὶ Βενιαμίν.* 116
νζ. *Περὶ τοῦ «πολὺ ἰσχύει εὐχὴ δικαίου ἐνεργουμένη».* 138
νη. *Περὶ τοῦ «ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι. Εἰ δέον ἐστὶ λυπηθέντας».* 142
νθ. *Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξερεύνησαν προφῆται.* 160
ξ. *Περὶ τοῦ ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.* 186
ξα. *Περὶ τοῦ «ὅτι καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ».* 198
ξβ. *Περὶ τοῦ δρεπάνου, οὗ εἶδεν Ζαχαρίας ὁ προφήτης.* 228
ξγ. *Περὶ τῆς λυχνίας ἣν εἶδεν ὁ αὐτὸς προφήτης.* 258
ξδ. *Περὶ τοῦ Ἰωνᾶ καὶ τῆς αὐτοῦ προφητείας.* 300
ξε. *Περὶ τῶν ἀναιρεθέντων ἐκ τοῦ σπέρματος Σαοὺλ ὑπὸ τῶν Γαβαωνιτῶν ἐπὶ Δαυὶδ βασιλέως.* 364

ΠΡΟΣ ΘΑΛΑΣΣΙΟΝ

ΟΣΙΩΤΑΤΟ ΠΡΕΣΒΥΤΕΡΟ ΚΑΙ ΗΓΟΥΜΕΝΟ

ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΑΠΟΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

ΠΕΡΙΕΧΟΜΕΝΑ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ ΤΩΝ ΑΠΟΡΙΩΝ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ

54. Γιὰ τὸν Ζοροβάβελ καὶ τὴν προσευχή του. 12
55. Γιὰ τὸ πόσοι ἦταν οἱ ἄνθρωποι καὶ τὰ ζῶα ποὺ βγῆκαν ἀπὸ τὴ Βαβυλώνα. 54

ΠΕΡΙΕΧΟΜΕΝΑ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ

56. Γιὰ τοὺς ἐχθροὺς τοῦ Ἰούδα καὶ τοῦ Βενιαμὶν ποὺ εἶχαν ἔρθει. 116
57. Γιὰ τό, «ἔχει μεγάλη δύναμη ἡ προσευχὴ ποὺ κάνει ὁ δίκαιος». 138
58. Γιὰ τὸ τί σημαίνει ὁ λόγος, «χαρεῖτε λίγο ἀκόμα, ἀφοῦ εἶναι νὰ λυπηθεῖτε». 148
59. Γιὰ τὸ ποιά σωτηρία ζήτησαν κι ἐρεύνησαν οἱ προφῆτες. 160
60. Γιὰ τὸν Χριστό, τὸν ἄμωμο καὶ ἄσπιλο ἀμνό. 186
61. Γιὰ τό, «εἶναι καιρὸς ν' ἀρχίσει ἡ κρίση ἀπὸ τὸν οἶκο τοῦ Θεοῦ». 198
62. Γιὰ τὸ δρεπάνι ποὺ εἶδε ὁ προφήτης Ζαχαρίας. 228
63. Γιὰ τὴ λυχνία ποὺ εἶδε ὁ ἴδιος προφήτης. 258
64. Γιὰ τὸν Ἰωνᾶ καὶ τὴν προφητεία του. 300
65. Γιὰ τοὺς ἀπόγονους τοῦ Σαοὺλ ποὺ σκοτώθηκαν ἀπὸ τοὺς Γαβαωνῖτες στὶς ἡμέρες τοῦ βασιλιᾶ Δαβίδ. 364

ΕΡΩΤΗΣΙΣ ΝΔ'

Ἐν τῷ πρώτῳ Ἔσδρα γέγραπται περὶ τοῦ Ζοροβάβελ· «καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον Ἰερουσαλήμ, εὐλόγησε τῷ βασιλεῖ τοῦ οὐρανοῦ λέγων· 'Παρὰ σοῦ ἡ νίκη καὶ παρὰ σοῦ ἡ σοφία, καὶ σὴ ἡ δόξα καὶ ἐγὼ σὸς οἰκέτης. Εὐλογητὸς εἶ, ὃς ἔδωκάς μοι σοφίαν καὶ σοὶ ὁμολογῶ, Δέσποτα τῶν πατέρων». Τί σημαίνει τὸ «ἄραι τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον Ἰερουσαλὴμ» καὶ τὰ ἑξῆς;

ΑΠΟΚΡΙΣΙΣ

Ζοροβάβελ κατὰ τὴν ἀκρίβειαν τῆς ἑβραΐδος καὶ δασεῖαν δέχεται καὶ ψιλὴν καὶ σύνθεσιν καὶ διαίρεσιν καὶ στιχισμόν. Καὶ δασυνόμενον μὲν τοῦτο τὸ ὄνομα δηλοῖ 'σπορὰν συγχύσεως', ψιλούμενον δὲ 'ἀνατολὴν συγχύσεως', συντιθέμενον δὲ 'ἀνατολὴν ἐν συγχύσει', διαιρούμενον δὲ 'ἀνατολὴν διασπορᾶς', στιχιζόμενον δὲ 'αὐτὸς ἀνάπαυσις'.

Ζοροβάβελ οὖν ἐστι νοῦς φιλόσοφος, πρῶτον διὰ μετανοίας ἐν τῇ 'συγχύσει' τῆς τῶν παθῶν αἰχμαλωσίας κατὰ δικαιοσύνην 'σπειρόμενος', δεύτερον, 'ἀνατολὴ συγχύσεως', φανερὰν ποιούμενος τῶν συγκεχυμένων παθῶν τὴν αἰσχύνην, τρίτον, 'ἀνατολὴ ἐν συγχύσει', διδοὺς φωτισμὸν διὰ γνώσεως ἐν τῇ συγχύσει τῆς πρὸς τὰ αἰσθητὰ τῶν αἰσθήσεων ἐνεργείας καὶ

Οἱ δεῖκτες τοῦ κειμένου παραπέμπουν στὰ σχόλια ποὺ ἀκολουθοῦν στὸ τέλος κάθε Ἐρωταπόκρισης.

ΕΡΩΤΗΣΗ 54

Στὸν πρῶτο Ἔσδρα γράφει γιὰ τὸ Ζοροβάβελ· «καὶ ὅταν βγῆκε ὁ νέος, ὕψωσε τὸ πρόσωπό του στὸν οὐρανό, ἀπέναντι ἀπὸ τὴν Ἰερουσαλήμ, καὶ δοξολόγησε τὸ βασιλιὰ τοῦ οὐρανοῦ λέγοντας· Ἀπὸ ἐσένα ἦρθε ἡ νίκη καὶ ἀπὸ ἐσένα ἡ σοφία, καὶ δική σου εἶναι ἡ δόξα κι ἐγὼ εἶμαι δικός σου δοῦλος. Δοξασμένος εἶσαι, ἐσὺ ποὺ μοῦ ἔδωσες σοφία καὶ σοῦ τὸ ὁμολογῶ, Δέσποτα τῶν πατέρων μου»[1]. Τί σημαίνει τὸ «ὕψωσε τὸ πρόσωπό σου στὸν οὐρανὸ ἀπέναντι στὴν Ἰερουσαλὴμ» καὶ τὰ λοιπά;

ΑΠΟΚΡΙΣΗ

Ζοροβάβελ, σύμφωνα μὲ τὴν ἀκριβολογία τῆς ἑβραϊκῆς γλώσσας, καὶ σὰν δασὺ ἐκφωνεῖται καὶ σὰν ψιλό, καὶ δέχεται καὶ σύνθεση καὶ διαίρεση καὶ στιχισμό. Ὅταν λοιπὸν τὸ ὄνομα αὐτὸ ἐκφωνεῖται σὰν δασὺ δηλώνει 'σπορὰ σύγχυσης', καὶ ὅταν σὰν ψιλὸ δηλώνει 'ἀνατολὴ σύγχυσης'· ὅταν συντίθεται δηλώνει 'ἀνατολὴ μέσα σὲ σύγχυση', ὅταν διαιρεῖται δηλώνει 'ἀνατολὴ διασπορᾶς' καὶ ὅταν στιχίζεται δηλώνει 'ὁ ἴδιος ἀνάπαυση'.

Ὁ Ζοροβάβελ λοιπὸν σημαίνει νοῦς φιλόσοφος, ποὺ πρῶτα σπέρνεται μὲ τὴ μετάνοια δίκαια μέσα στὴ σύγχυση τῆς αἰχμαλωσίας τῶν παθῶν. Δεύτερον, δηλώνει 'ἀνατολὴ σύγχυσης', ἐπειδὴ κάνει φανερὴ τὴν ντροπὴ ἀπὸ τὰ συγκεχυμένα πάθη. Τρίτον σημαίνει 'ἀνατολὴ σὲ σύγχυση', ἐπειδὴ δίνει φωτισμὸ μὲ τὴ γνώση μέσα στὴ σύγχυση τῆς ἐνέργειας τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητὰ καὶ δὲν τὶς ἀφήνει νὰ προσεγγίζουν

1. Ἔσδρα Α' 4,18–60.

οὐκ ἐῶν λόγου χωρὶς αὐτὰς προσβάλλειν τοῖς αἰσθητοῖς, τέταρτον, 'ἀνατολὴ διασπορᾶς', παρέχων ταῖς διασπαρείσαις περὶ τὰ αἰσθητὰ δυνάμεσι τῆς ψυχῆς ἔργων δικαιοσύνης ἀνατολήν, καθ' ἣν ἡ μετὰ λόγου πρᾶξις συνέστηκεν οὐκ ἀμοιροῦσα γνωστικῆς θεωρίας, τῆς πρὸς τὰ νοητὰ ἐπαναγαγούσης τὰς διεσπαρμένας δυνάμεις, καὶ πέμπτον, 'αὐτὸς ἀνάπαυσις', ὡς πᾶσαν ποιήσας εἰρήνην καὶ συνάψας τὸ μὲν πρακτικὸν τῷ κατὰ φύσιν ἀγαθῷ, τὸ δὲ θεωρητικὸν τῇ κατὰ φύσιν ἀληθείᾳ. Πᾶσα γὰρ πρᾶξις[1] διὰ τὸ ἀγαθὸν γίνεσθαι πέφυκε, καὶ πᾶσα θεωρία τὴν γνῶσιν διὰ μόνην ἐπιζητεῖ τὴν ἀλήθειαν, ὧν διανυσθέντων, οὐδὲν ἔσται τὸ σύνολον τὸ πλῆττον τῆς ψυχῆς τὸ πρακτικόν, οὔτε μὴν τὸ θεωρητικὸν αὐτῆς διὰ ξένων δριμύττον θεωρημάτων, παντὸς ἐπέκεινα γενομένης καὶ ὄντος καὶ νοουμένου, καὶ εἰς αὐτὸν εἰσδυσάσης τὸν Θεόν, τὸν μόνον ἀγαθὸν καὶ ἀληθινὸν καὶ ὑπὲρ πᾶσαν οὐσίαν ὄντα καὶ νόησιν.

Ὁ τοιοῦτος ταῖς διαφόροις προκοπαῖς τῶν ἀρετῶν γενόμενος νοῦς, ὅταν ἐξέλθῃ μετὰ τὴν νίκην ἀπὸ Δαρείου τοῦ βασιλέως, τουτέστι τοῦ φυσικοῦ νόμου, δείξας αὐτῷ τῆς ἀγάπης καὶ τῆς ἀληθείας τὴν δύναμιν κατὰ[2] τὴν τῶν ἀρετῶν πρὸς τὰ πάθη σύγκρισιν, καὶ λάβῃ ψῆφον νομίμως, τὴν μὲν αὐτοῦ προβολὴν ἐπικυροῦσαν, τὰς δὲ τῶν ἄλλων ἀκυροῦσαν, διαγινώσκων πόθεν τῆς νίκης αὐτῷ γέγονεν ἡ χάρις, «αἴρει τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον Ἰερουσαλὴμ καὶ εὐλογεῖ τὸν βασιλέα τοῦ οὐρανοῦ».

Πρόσωπον[3] οὖν ἐστι τοῦ τοιούτου νοὸς ἡ κατὰ τὸ κρυπτὸν τῆς ψυχῆς νοουμένη διάθεσις, ἐν ᾗ τῶν ἀρετῶν πάντες ὑπάρχουσιν οἱ χαρακτῆρες, ἣν «αἴρει πρὸς τὸν οὐρανόν», τὸ ὕψος δηλαδὴ τῆς θεωρίας, «ἐναντίον Ἰερουσαλήμ», τουτέστι τῆς κατὰ τὴν ἕξιν ἀπαθείας, ἢ πάλιν[4], «εἰς τὸν οὐρανὸν ἐναντίον Ἰερουσαλήμ», τὸ οἰκητήριον τὸ ἐν οὐρανῷ ἐπιζητῶν καὶ τὴν πόλιν τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς, περὶ ἧς τὰ «δεδοξασμένα ἐλαλήθη», φησὶν ὁ Δαυίδ. Οὐ γὰρ ἄλλως ἠδύνατο τὸν

χωρὶς λόγο τὰ αἰσθητά. Τέταρτον, σημαίνει 'ἀνατολὴ διασπορᾶς', ἐπειδὴ παρέχει στὶς διασπαρμένες στὰ αἰσθητὰ δυνάμεις τῆς ψυχῆς τὴν ἀνατολὴ τῶν ἔργων τῆς δικαιοσύνης, ποὺ δημιουργεῖ τὴ λογικὴ πράξη ὄχι ἄμοιρη ἀπὸ τὴ γνωστικὴ θεωρία, ποὺ ἐπαναφέρει πρὸς τὰ νοητὰ τὶς διάσπαρτες δυνάμεις. Πέμπτον σημαίνει 'ὁ ἴδιος ἀνάπαυση', ἐπειδὴ ἔφερε πλήρη εἰρήνη καὶ συνένωσε τὸ πρακτικὸ μὲ τὸ κατὰ φύση ἀγαθὸ καὶ τὸ θεωρητικὸ μὲ τὴν καταφύση ἀλήθεια. Γιατὶ κάθε πράξη φυσικὸ εἶναι νὰ γίνεται γιὰ τὸ ἀγαθὸ καὶ κάθε θεωρία ἐπιζητεῖ τὴν γνώση γιὰ μόνη τὴν ἀλήθεια. Ὅταν αὐτὰ πραγματοποιηθοῦν δὲ θὰ ὑπάρχει τίποτε ποὺ νὰ πλήττει καθόλου τὸ πρακτικὸ τῆς ψυχῆς, ἀλλὰ οὔτε καὶ τὸ θεωρητικό της θὰ ἐνοχλεῖ μὲ παράξενα θεωρήματα, γιατὶ θὰ ἔχει ξεπεράσει κάθε ὂν καὶ κάθε νοητὸ καὶ θὰ ἔχει εἰσδύσει στὸν ἴδιο τὸ Θεό, τὸν μόνο ἀγαθὸ καὶ ἀληθινὸ καὶ ἀνώτερο ἀπὸ κάθε οὐσία καὶ νόηση.

Ὁ νοῦς ποὺ διαμορφώθηκε ἔτσι μὲ τὶς διαφορετικὲς προόδους τῶν ἀρετῶν, ὅταν βγεῖ μετὰ τὴ νίκη ἀπὸ τὴ δουλεία τοῦ βασιλιᾶ Δαρείου, δηλαδὴ τοῦ φυσικοῦ νόμου, ἀφοῦ τοῦ δείξει τὴ δύναμη τῆς ἀγάπης καὶ τῆς ἀλήθειας κατὰ τὴ σύγκριση τῶν ἀρετῶν πρὸς τὰ πάθη καὶ λάβει τὴν νόμιμη ψῆφο ποὺ νὰ ἐπικυρώνει τὴν ἄμυνά του καὶ ν' ἀκυρώνει ὅλων τῶν ἄλλων τὶς ἐνέργειες, διακρίνοντας ἀπὸ ποῦ τοῦ ἔγινε ἡ χάρη τῆς νίκης, «ὑψώνει τὸ πρόσωπο πρὸς τὸν οὐρανὸ ἀπέναντι στὴν Ἰερουσαλὴμ καὶ δοξολογεῖ τὸ βασιλιὰ τοῦ οὐρανοῦ».

Πρόσωπο ἑνὸς τέτοιου νοῦ εἶναι ἡ διάθεση ποὺ ἐκδηλώνεται στὰ μύχια τῆς ψυχῆς, ὅπου ὑπάρχουν ὅλα τὰ εἴδη τῶν ἀρετῶν. Αὐτὴν «ὑψώνει στὸν οὐρανό», δηλαδὴ στὸ ὕψος τῆς θεωρίας, ἀπέναντι στὴν Ἰερουσαλήμ, δηλαδὴ τὴν ἀπάθεια τῆς ἕξης· ἢ πάλι, στὸν οὐρανὸ ἀπέναντι στὴν Ἰερουσαλήμ, ἀναζητώντας τὴν κατοικία στὸν οὐρανὸ[2] καὶ τὴν πόλη ὅσων πολιτογραφήθηκαν στοὺς οὐρανούς[3], γιὰ τὴν ὁποία λέει ὁ Δαβὶδ «ἔχει εἰπωθεῖ

2. Β' Κορ. 5,2. 2. Ἑβρ. 12,23.

Θεὸ εὐλογεῖν[5], *μὴ ἄρας πρὸς ὕψος θεωρίας καὶ γνώσεως κατὰ τὴν ἕξιν τῆς ἀπαθείας, ἤγουν τῆς ἀπήμονος καὶ εἰρηνικῆς καταστάσεως, τὸ κατὰ ψυχὴν τῆς διαθέσεως πρόσωπον, τὸ ἐκ πολλῶν καὶ διαφόρων ἀρετῶν, χαρακτήρων δίκην, συγκείμενον.*

Καὶ τί λέγων αἴρει τὸ πρόσωπον; «Παρὰ σοῦ ἡ νίκη»[6], *τὸ κατὰ τῶν παθῶν τῆς πρακτικῆς τέλος διὰ τῆς νίκης δηλῶν καὶ οἷον ἔπαθλον τῶν κατὰ τῆς ἁμαρτίας θείων ἀγώνων, «καὶ παρὰ σοῦ ἡ σοφία», τὸ διὰ θεωρίας, κατὰ τὴν γνῶσιν δηλαδή, τέλος, τὸ πᾶσαν τῆς ψυχῆς ἀφαιρούμενον ἄγνοιαν, «καὶ σὴ ἡ δόξα», τὸ ἐκ τούτων ἀναδεικνύμενον κάλλος τῆς θείας κατὰ τὸ θεμιτὸν ὡραιότητος δόξαν καλέσας, ὅπερ ἐστὶν ἕνωσις νίκης καὶ σοφίας, καὶ πράξεως καὶ θεωρίας, ἀρετῆς τε καὶ γνώσεως, ἀγαθότητός τε καὶ ἀληθείας. Αὗται γὰρ ἀλλήλαις ἑνούμεναι μίαν ἀπαστράπτουσαν δόξαν καὶ αὐγὴν τοῦ Θεοῦ. Διὸ προσφόρως ἐπάγει φάσκων «καὶ ἐγὼ σὸς οἰκέτης», εἰδὼς ὅτι πᾶσαν ἐν ἡμῖν ὡς ὀργάνοις ὁ Θεὸς ἐπιτελεῖ πρᾶξιν καὶ θεωρίαν, ἀρετήν τε καὶ γνῶσιν καὶ νίκην καὶ σοφίαν καὶ ἀγαθότητα καὶ ἀλήθειαν, μηδὲν ἡμῶν συνεισφερόντων τὸ σύνολον, πλὴν τῆς θελούσης τὰ καλὰ διαθέσεως, ἣν ἔχων ὁ μέγας Ζοροβάβελ πρὸς τοῖς εἰρημένοις φησίν· «εὐλογητὸς εἶ», πρὸς τὸν Θεὸν λέγων, «ὃς ἔδωκάς μοι σοφίαν· καὶ σοὶ ὁμολογῶ, Δέσποτα τῶν πατέρων». Ὡς εὐγνώμων οἰκέτης πάντα τῷ Θεῷ ἀνέθετο, τῷ πάντα δωρησαμένῳ, ἐξ οὗ λαβὼν εἶχε τὴν σοφίαν, αὐτῷ ὁμολογῶν ὡς Δεσπότῃ πατέρων τῶν κεχαρισμένων ἀγαθῶν τὴν δύναμιν. Εὐλογητὸν δὲ καλεῖ τὸν Θεὸν ὡς ἄπειρον ἔχοντα τὴν σοφίαν, μᾶλλον δὲ αὐτοσοφίαν, ἐξ οὗ λαβὼν ὁμολογεῖ τὴν χάριν. Δεσπότην δὲ πατέρων αὐτὸν προσαγορεύει, παραστῆσαι θέλων*

κάθε δόξα καὶ ἔπαινος»[4]. Γιατὶ δὲν μποροῦσε νὰ δοξολογήσει ἀλλιῶς τὸ Θεό, ἂν δὲ σήκωνε πρὸς τὸ ὕψος τῆς θεωρίας καὶ τῆς γνώσης ὡς πρὸς τὴν ἕξη τῆς ἀπάθειας, δηλαδὴ τῆς ἥσυχης καὶ εἰρηνικῆς κατάστασης, τὸ ψυχικὸ πρόσωπο τῆς διάθεσης, ποὺ σύγκειται, σὰν ἀπὸ διάφορους τύπους, ἀπὸ πολλὲς καὶ διάφορες ἀρετές.

Καὶ τί λέει ὅταν σηκώνει τὸ πρόσωπο; «Ἀπὸ ἐσένα προέρχεται ἡ νίκη», δηλώνοντας μὲ τὴ νίκη τὸ τέλος τῆς πρακτικῆς προσπάθειας κατὰ τῶν παθῶν καὶ ἕνα εἶδος ἐπάθλου γιὰ τοὺς θείους ἀγῶνες κατὰ τῆς ἁμαρτίας· καὶ «ἀπὸ ἐσένα ἡ σοφία», τὸ τέλος δηλαδὴ τῆς θεωρίας ὡς πρὸς τὴ γνώση, ποὺ ἀφαιρεῖ κάθε ἄγνοια τῆς ψυχῆς· καὶ «ἡ δόξα εἶναι δική σου»· τὸ κάλλος ποὺ αὐτὰ ἐκδηλώνουν, ὅσο τοὺς εἶναι ἐπιτρεπτό, ἀπὸ τὴ θεία ὡραιότητα τὸ κάλεσε δόξα, ποὺ ἀποτελεῖ ἕνωση νίκης καὶ σοφίας καὶ πράξης καὶ θεωρίας, ἀρετῆς καὶ γνώσης, ἀγαθότητας κι ἀλήθειας. Γιατὶ ἑνωμένες αὐτὲς ἡ μία μὲ τὴν ἄλλη ἀπαστράπτουν μιὰ δόξα καὶ λάμψη τοῦ Θεοῦ. Γι' αὐτὸ προσθέτει καὶ λέγει πρόσφορα· «καὶ ἐγὼ εἶμαι δικός σου δοῦλος», γνωρίζοντας ὅτι ὁ Θεὸς ἐπιτελεῖ μέσα μας, ἀφοῦ εἴμαστε ὄργανά του, κάθε πράξη καὶ θεωρία, ἀρετὴ καὶ γνώση, νίκη καὶ σοφία καὶ ἀγαθότητα κι ἀλήθεια, χωρὶς ἐμεῖς νὰ συνεισφέρομε ἀπολύτως τίποτε, παρὰ μόνο τὴ διάθεση ποὺ ἐπιθυμεῖ τὰ καλά. Ἔχοντας τὴ διάθεση αὐτὴ ὁ μέγας Ζοροβάβελ λέγει μαζὶ μὲ τὰ ὅσα ἔχουν προλεχθεῖ· «εἶσαι δοξασμένος ποὺ μοῦ ἔδωσες σοφία καὶ σ' εὐχαριστῶ, Δέποτα τῶν πατέρων μου». Σὰν δοῦλος γεμάτος εὐγνωμοσυνη ἀπέδωσε τὰ πάντα στὸ Θεὸ ἀπὸ τὸν ὁποῖο ἔλαβε καὶ εἶχε τὴ σοφία, ὁμολογώντας σ' αὐτὸν ὡς Δεσπότη τῶν πατέρων του τὴ δύναμη τῶν ἀγαθῶν ποὺ τοῦ εἶχε χαρίσει. Καλεῖ τὸ Θεὸ «δοξασμένο», ἐπειδὴ ἔχει ἄπειρη σοφία ἢ καλύτερα εἶναι αὐτοσοφία, ἀπὸ τὸν ὁποῖο ἔλαβε τὴ χάρη καὶ τὸ ὁμολογεῖ. Τὸν ὀνομάζει ἀκόμα Δεσπότη τῶν πατέρων, θέλοντας νὰ παραστήσει

4. Ψαλμ. 86,3.

ὅτι πάντα τὰ τῶν ἁγίων κατορθώματα Θεοῦ προδήλως ὑπῆρχον χαρίσματα, μηδενὸς τὸ παράπαν ἔχοντος μηδὲν ἢ τὸ δοθὲν ἀγαθὸν ὡς παρὰ Δεσπότου τοῦ Θεοῦ πρὸς ἀναλογίαν τῆς εὐγνωμοσύνης τε καὶ εὐνοίας τοῦ δεχομένου μετρούμενον, κἀκεῖνα μόνα κεκτημένου, ὅσα τῷ Δεσπότῃ δωρουμένῳ παρίσταται. Πατέρας[7] δὲ καλεῖ τοὺς ἀπ' αἰῶνος ἁγίους, ὧν τὴν πίστιν δεξάμενος καὶ μιμησάμενος τὸν βίον, τὸ ἐξ ἐκείνων γεννηθῆναι τῷ Πνεύματι θέλων κατώρθωσε, γονέων υἱὸς γεγενημένος αὐθαιρέτων αὐθαίρετος, ὅπερ τῶν παρὰ βούλησιν γινομένων ἀπὸ σαρκὸς πατέρων τε καὶ υἱῶν τοσοῦτόν ἐστι τῷ Θεῷ τιμιώτερον, ὅσον σαρκὸς ψυχὴ κατ' οὐσίας ὑπεροχὴν διενήνοχεν.

Οὗτος ὁ Ζοροβάβελ εἷς ὑπάρχει τῶν παρισταμένων νεανίσκων Δαρείῳ τῷ βασιλεῖ, τῷ φυσικῷ λέγω νόμῳ, καὶ πᾶσαν τῶν ἐν ἀνθρώποις θείων ἀγαθῶν δυσὶ περιγράψας λόγοις τὴν δύναμιν καὶ τὴν τῶν ἄλλων διασκεδάσας προπέτειαν καὶ εἰς ἑαυτὸν ἑλκύσας τὸν βασιλεύοντα νόμον τῆς φύσεως, ἄφεσιν θεσπίζοντα ταῖς κρατουμέναις εἰς δουλείαν τῆς τῶν παθῶν ἀλλοιώσεως τῆς ψυχῆς δυνάμεσιν. Τῶν γὰρ προϊσταμένων, ὡς ὑλικωτέρου[8] τοῦ σώματος, πονηρῶν πνευμάτων δύο τυγχανόντων, δι' αὐτῆς τῆς τοῦ ἀριθμοῦ ἰδιότητος ἐδηλοῦτο τὸ ἐμπαθὲς καὶ ἐπίκηρον. Ὁ δὲ τῆς ψυχῆς ὑπερασπίζων νοῦς, ἁπλῆς οὔσης κατὰ τὴν οὐσίαν, εἷς ὑπάρχων, τῆς ἀδιαιρέτου μονάδος ἔφερεν ἔμφασιν, ἧς καθοτιοῦν τὸ σύνολον οὐ πέφυκεν ἅπτεσθαι θάνατος, ὅτι μήτε διαιρέσεως καθόλου τομή.

Φησὶ γὰρ «ὁ εἷς», ἤγουν ὁ πρῶτος νεανίσκος, τὴν ἐμπαθῆ τοῦ σώματος εἰσφέρων εὐζωΐαν, «ὑπερισχύει ὁ οἶνος», οἶνον καλῶν πᾶσαν ὁμοῦ κατὰ περιγραφὴν τὴν ἐν ἡδοναῖς παθῶν παραφορὰν καὶ μέθην, ὡς ἐκστατικὴν τῆς διανοίας καὶ τῶν κατὰ φύσιν λογισμῶν τὴν χρῆσιν παραχαράττουσαν. «Θυμὸς»

ὅτι ὅλα τὰ κατορθώματα τῶν ἁγίων ἦταν ὁλοφάνερα δωρεὲς τοῦ Θεοῦ καὶ τίποτε περισσότερο δὲν εἶχε κανένας ἀπολύτως, παρὰ ὅποιο ἀγαθὸ τοῦ εἶχε δοθεῖ, ἐπειδὴ μετριόταν ἀπὸ τὸν Δεσπότη Θεὸ ἀνάλογα μὲ τὰ μέτρα τῆς εὐγνωμοσύνης καὶ τῆς ἀγάπης ἐκείνου ποὺ τὸ δεχόταν καὶ εἶχε ἐκεῖνα μόνο ἀποκτήματά του ὅσα τοῦ βρίσκονταν χαρισμένα ἀπὸ τὸν Δεσπότη. Πατέρες καλεῖ τοὺς ἁγίους ἀπὸ τὰ βάθη τῶν αἰώνων, τῶν ὁποίων δέχθηκε τὴν πίστη τους καὶ μιμήθηκε τὸ βίο τους[5], πραγματοποίησε θέλοντας τὴν ἐπιθυμία του νὰ γεννηθεῖ πνευματικὰ ἀπὸ ἐκείνους, μὲ θεληματικὴ ἐκλογὴ υἱὸς ἐκείνων ποὺ ἔγιναν πατέρες του αὐτοπροαίρετα, πράγμα ποὺ εἶναι τόσο πολὺ πιὸ ἀνώτερο στὰ μάτια τοῦ Θεοῦ ἀπὸ τὴν ἰδιότητα τοῦ σαρκικοῦ πατέρα καὶ υἱοῦ, ὅσο ὑπερέχει στὴν οὐσία ἡ ψυχὴ ἀπὸ τὴ σάρκα.

Αὐτὸς ὁ Ζοροβάβελ εἶναι ἕνας ἀπὸ τοὺς νεαροὺς ποὺ παραστέκονται στὸ βασιλιὰ Δαρεῖο, δηλαδὴ στὸ φυσικὸ νόμο, καὶ ποὺ ἔκλεισε ὅλη τὴ δύναμη τῶν θείων ἀγαθῶν πρὸς τοὺς ἀνθρώπους σὲ δύο λόγους, ποὺ διασκόρπισε τὴν προπέτεια τῶν ἄλλων[6] καὶ ἕλκυσε στὸν ἑαυτό του τὸ νόμο ποὺ βασιλεύει στὴ φύση καὶ θεσπίζει ἄφεση στὶς δυνάμεις τῆς ψυχῆς ποὺ εἶναι ὑποδουλωμένες στὴ δουλεία τῆς ἀλλοίωσης τῶν παθῶν. Ἐπειδὴ δηλαδὴ εἶναι δύο τὰ πονηρὰ πνεύματα ποὺ προΐστανται –ἀφοῦ τὸ σῶμα εἶναι ὑλικό– μὲ αὐτὸν τὸν ἀριθμὸ δηλωνόταν ἡ παθητότητα καὶ ἡ θνητότητα. Ὁ νοῦς πάλι ποὺ προστατεύει τὴν ψυχή, τὴν ἁπλὴ στὴν οὐσία, ὄντας ἕνας, ἔδινε τὴν ἔμφαση τῆς ἀδιαίρετης μονάδας, ποὺ ἀπὸ καμμιὰ ἀπολύτως ἄποψη δὲν τὴν ἀγγίζει θάνατος, ἀλλ' οὔτε τομὴ ἢ διαίρεση.

Λέει ὁ ἕνας, δηλαδὴ ὁ πρῶτος νέος, ἀναφέροντας τὴν καλοζωὴ τοῦ σώματος τὴ γεμάτη πάθος, «ὑπερισχύει τὸ κρασί»[7], ἀποκαλώντας κρασὶ ὅλη μαζὶ συμπεριληπτικὰ τὴν παραφορὰ καὶ τὴ μέθη τῶν παθῶν καὶ τῶν ἡδονῶν, ἐπειδὴ παραφέρει τὸ νοῦ καὶ παραχαράσσει τὴ χρήση τῶν φυσικῶν λογισμῶν. Γιατὶ

5. Λουκᾶ 1,70. 6. Ἔσδρα Α' 4,13–41. 7. Ἔσδρα Α' 3,10.

γὰρ «δρακόντων», φησίν, «ὁ οἶνος αὐτῶν καὶ θυμὸς ἀσπίδων ἀνίατος», τὴν ζέσιν τῶν σαρκικῶν ἡδονῶν «οἶνον δρακόντων» φήσας, καὶ τῆς παρακοῆς τὴν τυραννικὴν καὶ ὑπερήφανον καταφρόνησιν καλέσας «οἶνον ἀσπίδων». Τοῦτο γάρ, ὥς φασι, τὸ θηρίον παρὰ πάντα τὰ θηρία τῆς γῆς ἐμφράττει τὰ ὦτα πρὸς ἐπᾴσματα, ἐξ ὑπερηφανίας τυραννοῦν τοὺς ἀπᾴδοντας.

«Ὁ ἕτερος», ἤγουν ὁ δεύτερος, φησίν, «ὑπερισχύει ὁ βασιλεύς», βασιλέα καὶ οὗτος καλῶν πᾶσαν ὁμοῦ τὴν ἐν πλούτῳ καὶ δυναστείᾳ καὶ ταῖς ἄλλαις περιφανείαις κενὴν δόξαν, τὴν γεννητικὴν τῆς ἀγνοίας, καθ' ἣν ὁ τῆς φύσεως γίνεται σκεδασμός, πάντων ἀγνοούντων ἀλλήλους καὶ πᾶσι πάντων προσρηγνυμένων ὑπὲρ ἑνός, τοῦ πλέον ἀλλήλων θέλειν δοξάζεσθαι δυνάμει ἢ πλούτῳ ἢ τρυφῇ καὶ τοῖς ἄλλοις τρόποις, οἷς δοξάσεσθαι θέλουσιν οἱ τὴν θείαν καὶ μένουσαν ἠγνοηκότες δόξαν καὶ τὸ κατ' αὐτὴν κράτος περιφρονοῦντες. Οὗτοι μὲν πᾶσαν, ὡς εἰπεῖν, τὴν ἰλὺν τοῦ βυθοῦ τῶν παρὰ φύσιν παθῶν τοῖς δυσὶ τούτοις προβλήμασι περιγράψαντες, κριτὴν ἐποιοῦντο τῶν λεγομένων τὸν βασιλέα Δαρεῖον, τόν, ὡς ἔφην, κρατοῦντα νόμον τῆς φύσεως, ἐπικληθῆναι τοῖς αὐτῶν ἐλπίζοντες δόγμασιν.

«Ὁ δὲ τρίτος», ὅς ἐστιν ὁ τῆς ἀρετῆς καὶ τῆς γνώσεως προαϊστάμενος νοῦς καὶ τῆς κακῆς τῶν παθῶν δουλείας στερηθῆναι τὴν ψυχὴν βεβουλημένος, φησὶν «ὑπερισχύουσιν αἱ γυναῖκες καὶ ὑπερνικᾷ ἡ ἀλήθεια», γυναῖκας μὲν εἰπὼν τὰς θεοποιοὺς ἀρετάς, ἐξ ὧν ἡ πρὸς Θεὸν καὶ ἀλλήλους τοῖς ἀνθρώποις ἑνοποιὸς ἀγάπη συνέστηκε, πάντων τὴν ψυχὴν ἐξαρπάζουσα τῶν ὑπὸ γένεσιν καὶ φθορὰν καὶ τῶν ὑπὲρ αὐτὰ νοητῶν οὐσιῶν καὶ αὐτῷ τῷ Θεῷ κατ' ἐρωτικήν τινα σύγκρασιν περιπλέκουσα, καθ' ὅσον ἐστὶ δυνατὸν ἀνθρωπίνῃ φύσει, καὶ τὴν ἄχραντον καὶ θείαν μυστικῶς δημιουργοῦσα συμβίωσιν, ἀλή-

8. Δευτ. 32,33. 9. Ἔσδρα Α' 3,11.

λέει· «θυμὸς δρακόντων τὸ κρασί τους καὶ θυμὸς ἀνίατος ἀσπίδων»[8], ὀνομάζοντας «κρασὶ δρακόντων» τὴν πύρα τῶν σαρκικῶν ἡδονῶν καὶ τὴν τυραννικὴ καὶ ὑπεροπτικὴ καταφρόνηση τῆς πρακτικῆς καλώντας την «κρασὶ ἀσπίδων». Γιατὶ τὸ θηρίο αὐτό, ὅπως λένε, περισσότερο ἀπὸ ὅλα τὰ θηρία τῆς γῆς φράζει τ' αὐτιά του στὰ ἄσματα καὶ ταλαιπωρεῖ ἀπὸ περηφάνεια τοὺς ἐπωδούς.

«Ὁ ἄλλος», δηλαδὴ ὁ δεύτερος νεαρός, λέει, «ὑπερισχύει ὁ βασιλιάς»[9]· βασιλιὰ καὶ αὐτὸς καλεῖ ὅλη μαζὶ τὴν κενὴ δόξα γιὰ πλοῦτο καὶ δύναμη καὶ τὶς ἄλλες λαμπρότητες, ποὺ γεννᾶ τὴν ἄγνοια καὶ ἀπὸ τὴν ὁποία προκαλεῖται ὁ διασκορπισμὸς τῆς φύσης μας, ὅπου ὅλοι ἀγνοοῦν ὁ ἕνας τὸν ἄλλο κι ὅλοι ἐπιτίθενται σὲ ὅλους γιὰ χάρη ἑνός, θέλοντας νὰ δοξάζονται περισσότερο ἀπὸ τοὺς ἄλλους στὴ δύναμη, στὸν πλοῦτο, στὴν πολυτέλεια καὶ στὶς ἄλλες ἐκδηλώσεις, μὲ τὰ ὁποῖα θέλουν νὰ δοξάζονται ὅσοι ἀγνοοῦν τὴ θεία καὶ μόνιμη δόξα καὶ περιφρονοῦν τὴ δύναμή της. Αὐτοὶ ὅλη, ὅπως θὰ λέγαμε, τὴ λάσπη τοῦ βυθοῦ τῶν παραφύση παθῶν[10] κλείνοντάς την σ' αὐτὰ τὰ δύο σύμβολα, κριτὴ στὰ λεγομενά τους ἔκαμναν τὸ βασιλιὰ Δαρεῖο, τὸν κυρίαρχο, ὅπως εἶπα, νόμο τῆς φύσης, μὲ τὴν ἐλπίδα ὅτι θὰ ὑποχωροῦσε στὴ διδασκαλία τους.

Ὁ τρίτος πάλι, ποὺ εἶναι ὁ νοῦς ποὺ προΐσταται στὴν ἀρετὴ καὶ τὴ γνώση καὶ ποὺ θέλησε νὰ στερηθεῖ ἡ ψυχὴ ἀπὸ τὴν κακὴ δουλεία τῶν παθῶν, λέει «ὑπερισχύουν οἱ γυναῖκες καὶ ὑπερνικᾶ ἡ ἀλήθεια»[11]· γυναῖκες εἶπε τὶς θεοποιοὺς ἀρετές, ἀπὸ τὶς ὁποῖες ἀποτελέστηκε γιὰ τοὺς ἀνθρώπους ἡ ἀγάπη ποὺ τοὺς ἑνώνει μὲ τὸ Θεὸ καὶ μεταξύ τους, ποὺ ἁρπάζει τὴν ψυχὴ ἀπὸ ὅλα ὅσα ὑπόκεινται στὸ νόμο τῆς γένεσης καὶ τῆς φθορᾶς καὶ ἀπὸ τὶς πάνω ἀπὸ αὐτὰ νοητὲς οὐσίες καὶ τὴν περιπλέκει μὲ τὸν ἴδιο τὸ Θεὸ σὲ μιὰ ἐρωτικὴ ἕνωση, ὅσο εἶναι δυνατὸ στὴν ἀνθρώπινη φύση, δημιουργώντας μυστικὰ τὴν ἄυλη καὶ θεία

10. Ψαλμ. 68,2. 11. Ἔσδρα Α΄ 3,12.

θειαν δὲ φήσας τὴν μίαν καὶ μόνην αἰτίαν τῶν ὄντων καὶ ἀρχὴν καὶ βασιλείαν καὶ δύναμιν καὶ δόξαν, ἐξ ἧς καὶ δι' ἣν πάντα γέγονέ τε καὶ γίνεται καὶ πρὸς τὸ εἶναι ὑπ' αὐτῆς τε καὶ δι' αὐτῆς συγκρατεῖται καὶ ὑπὲρ ἧς πᾶσα τοῖς φιλοθέοις ἐστὶ σπουδή τε καὶ κίνησις. Καὶ συντόμως εἰπεῖν, διὰ μὲν τῶν γυναικῶν τὸ τέλος ἐνεδείξατο τῶν ἀρετῶν τὴν ἀγάπην, ὅπερ ἐστὶ ἡ κατ' ἔφεσιν τοῦ φύσει ἀγαθοῦ τῶν μετεχόντων ἀδιάπτωτος ἡδονὴ καὶ ἀδιαίρετος ἕνωσις, διὰ δὲ τῆς ἀληθείας[9] τὸ πέρας πασῶν ἐπεσήμανε τῶν γνώσεων καὶ αὐτῶν πάντων τῶν γινωσκομένων, εἰς ὅπερ, ὡς ἀρχὴν καὶ πέρας πάντων τῶν ὄντων, αἱ κατὰ φύσιν κινήσεις γενικῷ τινι λόγῳ συνέλκονται, πάντα νικώσης κατὰ φύσιν, ὡς ἀληθείας, τῆς τῶν ὄντων ἀρχῆς καὶ αἰτίας καὶ πρὸς ἑαυτὴν συνελκούσης τῶν γεγονότων τὴν κίνησιν.

Οὕτω διαλεχθεὶς ὁ φιλόσοφος νοῦς τῷ κατὰ φύσιν νόμῳ πᾶσαν αὐτοῦ τῶν πονηρῶν δαιμόνων ἀποκρούεται πλάνην, ψηφίσασθαι πείθων ἐλευθερίαν τοῖς πρὸς δουλείαν[10] παθῶν κεκρατημένοις λογισμοῖς τε τῆς ψυχῆς καὶ δυνάμεσι, καὶ τῶν τῆς νοουμένης αἰχμαλωσίας δεσμῶν λύσιν καὶ ἄφεσιν κηρῦξαι τοῖς καθειργεμένοις ἐν τῷ σκότει, τῇ προσπαθείᾳ λέγω τῶν αἰσθητῶν, ὥστε ἀναβάντας αὐτοὺς εἰς τὴν Ἰουδαίαν, φημὶ δὲ τὴν ἀρετήν, οἰκοδομῆσαι ἐν Ἱερουσαλήμ, τῇ ἕξει λέγω τῆς ἀπαθείας, τὸν ναὸν Κυρίου, τουτέστι τὴν δεκτικὴν τῆς σοφίας γνῶσιν.

Σοφὸς οὖν καὶ πάνυ σοφὸς ὁ μέγας ἐστὶ Ζοροβάβελ, οἷα παρὰ Θεοῦ τὴν σοφίαν λαβὼν καὶ δι' αὐτῆς δυνηθεὶς ἑκάστῳ τῶν πρὸς ἀπάτην προβεβλημένων ἐπὶ φθορᾷ τοῦ γένους τῶν ἀνθρώπων ὑπὸ τῶν ὑπεραγωνιζομένων τοῦ σώματος πονηρῶν πνευμάτων ἀντιπροβαλέσθαι καὶ νικῆσαι καὶ ἀνατρέψαι καὶ δι' ἑκατέρου τῶν οἰκείων προβλημάτων τὸ ἑκατέρου τῶν ἀντικειμένων πρόβλημα παντελῶς ἐξαφανίσαι καὶ τὴν ψυχὴν πονη-

συμβίωση. Ἀλήθεια πάλι εἶπε τὴ μία καὶ μόνη αἰτία τῶν ὄντων κι ἀρχὴ καὶ βασιλεία καὶ δύναμη καὶ δόξα, ποὺ ἀπὸ αὐτὴν καὶ ἐξαιτίας της ἔχουν γίνει καὶ γίνονται τὰ πάντα, καὶ ἀπὸ αὐτὴν κι ἐξαιτίας της συγκρατιοῦνται στὸ εἶναι, καὶ γιὰ χάρη της οἱ φίλοι τοῦ Θεοῦ κινητοποιοῦνται καὶ δραστηριοποιοῦνται. Καὶ μὲ δύο λόγια, μὲ τὶς γυναῖκες ἔδειξε τὸ τέλος τῶν ἀρετῶν, τὴν ἀγάπη, ἡ ὁποία εἶναι ἡ σύμφωνη μὲ τὸν πόθο τους ἀσταμάτητη ἡδονὴ καὶ ἀχώριστη ἕνωση ὅσων τὴ μετέχουν μὲ τὸ φύσει ἀγαθό, ἐνῶ μὲ τὴν ἀλήθεια ἐπισήμανε τὸ πέρας ὅλων τῶν γνώσεων κι ὅλων ὅσα γνωρίζονται, στὸ ὁποῖο, ὡς ἀρχὴ καὶ πέρας ὅλων τῶν ὄντων, συνέλκονται, σύμφωνα μ᾽ ἕνα γενικὸ λόγο, ὅλες οἱ κατὰ φύση κινήσεις, ἀφοῦ νικᾶ ἀπὸ τὴ φύση της, ὡς ἀλήθεια, ἡ ἀρχὴ καὶ αἰτία τῶν ὄντων καὶ συνέλκει πρὸς τὸν ἑαυτό της τὴν κίνηση τῶν δημιουργημάτων.

Ἐρχόμενος σὲ τέτοιο διάλογο ὁ φιλόσοφος νοῦς μὲ τὸ φυσικὸ νόμο, ἀποκρούει ὅλη τὴν πλάνη τῶν πονηρῶν δαιμόνων, πείθοντας νὰ ἐκλέξουν τὴν ἐλευθερία οἱ λογισμοὶ καὶ οἱ δυνάμεις τῆς ψυχῆς ποὺ εἶχαν ὑποδουλωθεῖ στὰ πάθη καὶ νὰ κηρύξουν λύτρωση καὶ ἀπελευθέρωση ἀπὸ τὰ δεσμὰ τῆς νοητῆς αἰχμαλωσίας στοὺς ἐγκάθειρκτους τοῦ σκότους[12] (ἐννοῶ τὴν προσκόλληση στὰ αἰσθητά), ὥστε ἀνεβαίνοντας στὴν Ἰουδαία, ἐννοῶ στὸ ὕψος τῆς ἀρετῆς, νὰ οἰκοδομήσουν στὴν Ἰερουσαλήμ, στὴν ἕξη δηλαδὴ τῆς ἀπάθειας, τὸ ναὸ τοῦ Κυρίου, ἤτοι τὴ γνώση ποὺ δέχεται τὴ σοφία.

Σοφὸς λοιπὸν καὶ μάλιστα πολὺ σοφὸς εἶναι ὁ Ζοροβάβελ, ἐπειδὴ εἶχε λάβει τὴ σοφία ἀπὸ τὸ Θεὸ κι ἐπειδὴ μπόρεσε μὲ αὐτὴν σὲ κάθετι ποὺ πρόβαλλαν γιὰ νὰ ξεγελάσουν καὶ νὰ καταστρέψουν τὸ γένος τῶν ἀνθρώπων τὰ πονηρὰ πνεύματα ποὺ ἀγωνίζονταν ἔνθερμα πρὸς ὑπεράσπιση τοῦ σώματος, αὐτὸς μπόρεσε ν᾽ ἀντιπροβληθεῖ καὶ νὰ τὰ νικήσει καὶ νὰ τ᾽ ἀνατρέψει καὶ μὲ καθένα ἀπὸ τὰ δύο του ὅπλα νὰ ἐξαφανίσει τε-

12. Ἠσ. 9,1-3.

ρᾶς λυτρώσασθαι δουλείας παθῶν. Ἐπειδὴ γὰρ ἐκεῖνοι διὰ μὲν τοῦ οἴνου τὴν ζέσιν τιμᾶσθαι τῶν σαρκικῶν ἡδονῶν ἐπεζήτουν, διὰ δὲ τοῦ βασιλέως τῆς κοσμικῆς δόξης τὸ κράτος ἐπεκύρουν, οὗτος τὴν πνευματικὴν καὶ πέρας οὐκ ἔχουσαν διὰ τῶν γυναικῶν εἰσήγαγεν ἡδονήν, καὶ διὰ τῆς ἀληθείας τὸ μὴ σαλευόμενον ἐνεδείξατο κράτος, καὶ ἔπεισε τῶν μὲν παρόντων καταφρονεῖν ἀγαθῶν, τῶν δὲν μελλόντων ἀντέχεσθαι.

Ταύτην ἔχει τὰ προβλήματα, κατ' ἐμὲ φάναι, τὴν ἔννοιαν καλήν τε καὶ σοφὴν καὶ τοῦ γραφῆναι πρὸς νουθεσίαν ἡμῶν οὐκ ἀναξίαν τοῦ Πνεύματος. Εἰ δέ τις ὑψηλότερον τὸν τῶν γεγραμμένων νοῦν σκοπῆσαι δυνηθῇ κατὰ τὴν χορηγουμένην αὐτῷ τοῦ νοεῖν τὰ θεῖα δύναμιν, φθόνος οὐδείς, ὅτι μηδὲ πέφυκεν ἐλαττοῦσθαι τοῦ Πνεύματος ἡ χάρις ἐν τοῖς συμμετέχουσι (δι' ὃ μάλιστα τὸ τοῦ φθόνου τίκτεσθαι πάθος), κἂν ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον ἔχῃ τῆς χάριτος. Ἕκαστος γὰρ κατὰ τὴν ἀναλογίαν τῆς ἐν αὐτῷ πίστεως φανερουμένην κέκτηται τοῦ Πνεύματος τὴν ἐνέργειαν, ὥστε ταμίας ὑπάρχει τῆς χάριτος ἕκαστος ἑαυτοῦ[11]*, καὶ οὔποτ' ἂν εὖ φρονῶν ἄλλῳ φθονήσειεν ἐνευδοκιμοῦντι τα ς χάρισι, ἐπ' αὐτῷ κειμένης τῆς δεκτικῆς τῶν θείων ἀγαθῶν διαθέσεως.*

Ἔλθωμεν δὲ καὶ ἐπ' ἄλλην μυστικὴν θεωρίαν, τὴν ἀρχικὴν τῶν γεγραμμένων ἀλήθειαν προδεικνύουσαν. Ζοροβάβελ ἐστὶν ἀληθινός τε καὶ νέος καὶ διὰ τοῦ παλαιοῦ τυπικῶς μηνυόμενος ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός, ὁ ἐν τῇ συγχύσει τῆς φύσεως ἡμῶν συλληφθεὶς καὶ κυηθεὶς καὶ τεχθείς, καὶ τέλειος κατὰ φύσιν γενόμενος ἄνθρωπος, ἵνα πρὸς ἑαυτὸν τῆς συγχύσεως ἀποστᾶσαν ἐπαναγάγῃ τὴν φύσιν, ὁ μὴ γενόμενος μὲν σὺν ἡμῖν αἰχμάλωτος[12] *καὶ πρὸς τὴν τῶν παθῶν ἀποικισθεὶς σύγχυσιν («οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ»), ἐν ἡμῖν δὲ τοῖς αἰχμαλώτοις ὡς αἰχμά-*

λείως τὸ ὅπλο καθενὸς ἀπὸ τοὺς δύο ἀντιπάλους καὶ νὰ λυτρώσει τὴν ψυχὴ ἀπὸ τὴν πονηρὴ δουλεία τῶν παθῶν. Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι ἐπιδίωκαν μὲ τὸ κρασὶ νὰ τιμήσουν τὴ θέρμη τῶν σαρκικῶν ἡδονῶν καὶ μὲ τὸ βασιλιὰ τόνιζαν τὴ δύναμη τῆς κοσμικῆς δόξας, ὁ Ζοροβάβελ εἰσήγαγε μὲ τὶς γυναῖκες τὴν πνευματικὴ ἡδονὴ ποὺ δὲν ἔχει πέρας καὶ μὲ τὴν ἀλήθεια παρουσίασε τὴν ἀσάλευτη δύναμη κι ἔπεισε νὰ καταφρονοῦν τὰ παρόντα ἀγαθὰ καὶ νὰ περιμένουν τὰ μελλοντικά.

Αὐτὴ τὴν ἔννοια ἔχουν κατὰ τὴ γνώμη του τὰ προβαλλόμενα σύμβολα, ποὺ εἶναι καλὴ καὶ σοφὴ κι ὄχι ἀνάξια νὰ γραφεῖ γιὰ πνευματικὴ νουθεσία. Ἂν ὅμως μπορέσει κάποιος ν' ἀτενίσει ἀπὸ ψηλότερη σκοπιὰ τὸ νόημα τῶν λόγων αὐτῶν ἀνάλογα μὲ τὴ δύναμη ποὺ τοῦ παραχωρεῖται νὰ νοεῖ τὰ θεῖα, κανένας φθόνος· γιατὶ δὲν εἶναι στὴ φύση του νὰ ἐλαττώνεται ἡ χάρη τοῦ Πνεύματος σ' αὐτοὺς ποὺ τὴ μετέχουν –πράγμα γιὰ τὸ ὁποῖο γεννιέται κυρίως τὸ πάθος τοῦ φθόνου– εἴτε ἔχει περισσότερη ὁ ἕνας καὶ λιγότερη ὁ ἄλλος. Γιατὶ στὸν καθένα ἐκδηλώνεται ἡ ἐνέργεια τοῦ Πνεύματος ἀνάλογα μὲ τὴν πίστη του, ὥστε καθένας εἶναι οἰκονόμος τῆς χάριτος στὸν ἑαυτό του καὶ ποτὲ ὅποιος σκέφτεται ὀρθὰ δὲ θὰ φθονήσει ἄλλον ποὺ ἔχει ἄφθονα τὰ χαρίσματα, ἀφοῦ ἐξαρτᾶται ἀπὸ τὸν ἴδιο ἡ διάθεση ποὺ δέχεται τὰ θεῖα ἀγαθά.

Ἂς πᾶμε τώρα στὴν ἄλλη μυστικὴ θεωρία, ποὺ δείχνει τὴν ἀρχικὴ ἀλήθεια τῶν λεγομένων τοῦ χωρίου. Ζοροβάβελ ἀληθινὸς καὶ νέος ποὺ τυπικὰ προμηνύεται ἀπὸ τὸν παλαιό, εἶναι ὁ Κύριός μας καὶ Θεὸς Ἰησοῦς Χριστός, ποὺ ἔχει συλληφθεῖ καὶ κυοφορηθεῖ καὶ γεννηθεῖ μέσα στὴ σύγχυση τῆς φύσης μας κι ἔγινε τέλειος ἄνθρωπος κατὰ τὴ φύση, γιὰ νὰ ἐπαναφέρει στὸν ἑαυτό του τὴ φύση μας, ἀφοῦ τὴν ἀπομακρύνει ἀπὸ τὴ σύγχυση, αὐτὸς ποὺ δὲν ἔγινε συναιχμάλωτός μας καὶ δὲν βρέθηκε στὴ σύγχυση τῶν παθῶν, γιατὶ «δὲν ἔκανε ἁμαρτία οὔτε βρέθηκε δόλος στὸ στόμα του»[13], ἀλλὰ γεννήθηκε ὡς αἰχμάλωτος ἀνά-

13. Ἡσ. 53,9. Α΄ Πέτρ. 2,22.

λωτος γεννηθεὶς καὶ μεθ' ἡμῶν τῶν ἀνόμων λογισθείς, διὰ φιλανθρωπίαν γενόμενος «ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας[13] καὶ περὶ ἁμαρτίας»· ἐν ὁμοιώματι μὲν σαρκὸς ἁμαρτίας, ὅτι, φύσει Θεὸς ὑπάρχων ἀπαθής, ἀτρέπτως κατ' οἰκονομίαν φύσει παθητὸς γενέσθαι κατηξίωσεν ἄνθρωπος, περὶ ἁμαρτίας δέ, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ἤχθη εἰς θάνατον καὶ ὑπὲρ ἡμῶν ὠδηνήθη καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐτραυματίσθη καὶ ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν, ἵνα ἡμεῖς τῷ μώλωπι αὐτοῦ ἰαθῶμεν. «Πνεῦμα» γὰρ «πρὸ προσώπου ἡμῶν», φησίν, «Χριστὸς Κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν, οὗ εἴπαμεν· Ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν».

Οὗτός ἐστιν ἡ δικαία 'ἀνατολὴ' τῆς ἡμῶν ἐκ τῆς ἁμαρτίας διασπορᾶς, περὶ ἧς διὰ τοῦ προφήτου φησὶ τὸ Πνεῦμα τὸ ἅγιον ὅτι ἀνατελεῖ ὑμῖν ἀνατολὴ δικαία, καὶ «ἰδοὺ ἀνὴρ (ἀνατολὴ ὄνομα αὐτῷ) καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ ἥλιος δικαιοσύνης καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ», τοῦ «ὑποκάτωθεν[14]» δηλοῦντος τὸ ἀπόρρητον μυστήριον τῆς τοῦ Λόγου σαρκώσεως, ἐξ ἧς ἀνέτειλεν ἡ τῶν ὅλων σωτηρία, πτέρυγες δὲ ἂν εἶεν τοῦ ἡλίου τῆς δικαιοσύνης αἱ δύο διαθῆκαι, δι' ὧν ἱπτάμενος ἐν ἡμῖν ὁ Λόγος τὴν πληγὴν θεραπεύει τῆς παραβάσεως καὶ τὴν κατ' ἀρετὴν τελείαν χαρίζεται ρῶσιν, διὰ μὲν τῆς παλαιᾶς ποιούμενος τὴν τῆς κακίας ἀναίρεσιν, διὰ τῆς νέας δὲ τὴν θέσιν τῆς ἀρετῆς ἐργαζόμενος. Ἢ παλιν, πτέρυγές εἰσιν ἡ πρόνοια καὶ ἡ κρίσις, δι' ὧν ἱπτάμενος ὁ Λόγος ἀγνώστως ἐπιβατεύει τοῖς οὖσι, σοφίας[15] μὲν λόγοις θεραπεύων τοὺς θέλοντας, παιδείας δὲ τρόποις τοὺς πρὸς ἀρετὴν δυσκινήτους ἰώμενος, καὶ τοῖς μὲν σαρκὸς μολυσμὸν ἐκκαθαίρων, τοῖς δὲ ψυχῶν κηλῖδας ἰώμενος.

---

14. Ἠσ. 53,12. Ματθ. 15,28. Λουκᾶ 22,37.
15. Ρωμ. 8,3.

μεσά μας καὶ λογίστηκε μαζὶ μ' ἐμᾶς τοὺς ἀνόμους[14], ἀφοῦ ἔγινε ἀπὸ φιλανθρωπία «ὁμοίωμα τῆς σάρκας τῆς ἁμαρτίας»[15] καὶ περὶ ἁμαρτίας. Ἔγινε ὁμοίωμα τῆς σάρκας τῆς ἁμαρτίας, γιατί, ἐνῶ ἀπὸ τὴ φύση του εἶναι Θεὸς ἀπαθής, ἔκρινε ἄξιο νὰ γίνει κατ' οἰκονομία, χωρὶς ὅμως τροπή, παθητὸς στὴ φύση ἄνθρωπος, ἐνῶ περὶ ἁμαρτίας, ἐπειδὴ ὁδηγήθηκε στὸ θάνατο γιὰ τὶς ἁμαρτίες μας καὶ δοκίμασε τὴν ὀδύνη καὶ γιὰ τὶς ἁμαρτίες μας τραυματίστηκε καὶ κακοποιήθηκε γιὰ τὶς ἀνομίες, «γιὰ νὰ γίνομε ἐμεῖς ὑγιεῖς μὲ τὸ τραῦμα ἐκείνου»[16]. Γιατὶ «μπροστὰ στὰ μάτια μας συλλήφθηκε ὡς Πνεῦμα ὁ Χριστὸς ὁ Κύριός μας μέσα στὰ ἁμαρτήματα, γιὰ τὸν ὁποῖο εἴπαμε· «κάτω ἀπὸ τὸν ἴσκιο του θὰ ζήσομε ἀνάμεσα στὰ ἔθνη».

Αὐτὸς εἶναι ἡ δίκαιη 'ἀνατολὴ τῆς διασπορᾶς' μας ἀπὸ τὴν ἁμαρτία, γιὰ τὴν ὁποία λέει τὸ ἅγιο Πνεῦμα μὲ τὸ στόμα τοῦ προφήτη ὅτι θ' ἀνατείλει γιὰ μᾶς ἀνατολὴ δίκαιη, καὶ «νά, ἕνας ἄνδρας –ἀνατολὴ εἶναι τὸ ὄνομά του»[17]– καὶ «θ' ἀνατείλει κάτω ἀπ' αὐτὸν»[18] καὶ εἶναι «ἥλιος τῆς δικαιοσύνης καὶ ὑπάρχει θεραπευτικὴ ἰδιότητα στὰ φτερά του»[19]· 'ὁ ἄνδρας κάτω ἀπὸ αὐτὸν' δηλώνει τὸ ἀπόρρητο μυστήριο τῆς σάρκωσης τοῦ Λόγου, ἀπὸ τὴν ὁποία ἀνέτειλε ἡ σωτηρία ὅλων. Φτερὰ τοῦ ἥλιου τῆς δικαιοσύνης μπορεῖ νὰ εἶναι οἱ δύο διαθῆκες, μὲ τὶς ὁποῖες πετώντας σ' ἐμᾶς ὁ Λόγος θεραπεύει τὴν πληγὴ τῆς παράβασης καὶ χαρίζει τὴν τέλεια ἀνάρρωση στὴν ἀρετή, μὲ τὴν παλαιὰ ἐπιτελώντας τὴν ἀναίρεση τῆς κακίας καὶ μὲ τὴν νέα πραγματοποιώντας τὴ στερέωση τῆς ἀρετῆς. Ἢ ἀλλιῶς, φτερὰ εἶναι ἡ πρόνοια καὶ ἡ κρίση, μὲ τὶς ὁποῖες φτερουγίζοντας ἀδιάγνωστα ὁ λόγος σταματᾶ πάνω στὰ ὄντα, μὲ τοὺς λόγους τῆς σοφίας θεραπεύοντας ὅσους θέλουν καὶ μὲ τοὺς τρόπους τῆς παιδείας γιατρεύοντας τοὺς δυσκίνητους στὴν ἀρετή, στοὺς πρώτους καθαρίζοντας τοὺς μολυσμοὺς τῆς σάρκας, καὶ στοὺς ἄλλους θεραπεύοντας τοὺς ρύπους τῶν ψυχῶν.

16. Ἠσ. 53,45. 17. Ἰερ. 23,5.
18. Ζαχ. 6,12. 19. Μαλαχ. 3,20.

Οὗτός ἐστιν ὁ τὴν αἰχμαλωσίαν τοῦ ἀληθινοῦ Ἰσραὴλ ἐπανάγων, οὐκ ἀπὸ γῆς εἰς γῆν, καθὼς ὁ παλαιὸς πέπραχε Ζοροβάβελ, ἀπὸ Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν τὸν λαὸν μεταβιβάσας, ἀλλ᾽ ἀπὸ γῆς εἰς οὐρανὸν καὶ ἀπὸ κακίας εἰς ἀρετὴν καὶ ἀπὸ ἀγνωσίας εἰς ἐπίγνωσιν ἀληθείας Θεοῦ καὶ ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν καὶ εἰς ἀθανασίαν ἀπὸ θανάτου, καὶ συντόμως εἰπεῖν, ἀπὸ τοῦ φαινομένου κόσμου καὶ ῥέοντος εἰς τὸν σταθερὸν καὶ νοούμενον, καὶ ἀπὸ τῆς διαλυομένης ζωῆς εἰς τὴν ἀδιάλυτον καὶ μένουσαν. Οὗτός ἐστιν ὁ ἀληθινὸς οἰκοδόμος τοῦ διαρρυέντος τοῖς παραπτώμασι λογικοῦ ναοῦ καὶ ἐμπρησθέντος ἀλλοτρίῳ πυρί, ὅπερ ἡμεῖς ἐξεκαύσαμεν, πορευθέντες τῷ φωτὶ τοῦ πυρὸς ἡμῶν καὶ τῇ φλογί, ᾗ ἐξεκαύσαμεν, οὐ μόνον τῷ σαρκικῷ[16] φρονήματι τὸ τῆς ψυχῆς νοερὸν ἕπεσθαι δουλικῶς παρασκευάσαντες, ἀλλὰ καὶ τὴν τῶν παθῶν ὕλην ἀνέδην δι᾽ ἐνεργείας ἐξάψαντες. Οὗτός ἐστιν ὁ πείσας διὰ σοφίας Δαρεῖον τὸν βασιλέα, τουτέστι τὸν νόμον τῆς φύσεως· οὐ γὰρ θέμις κατὰ τὸν τόπον τοῦτον εἰς τὸν διάβολον λαμβάνειν τὸν Δαρεῖον, συνεργὸν μὲν γεγενημένον ἑκουσίως τῆς κατὰ τὴν ἄφεσιν τοῦ λαοῦ χάριτος, πεισθέντα δὲ μηδὲν ἰσχυρότερον εἶναι μηδὲ τῇ φύσει πρὸς σωτηρίαν λυσιτελέστερον πίστεως καὶ ἀγαθῆς συνειδήσεως. Ἀληθείας[17] γὰρ λόγον ἡ πίστις ἐπέχει καὶ τῆς διὰ τῶν γυναικῶν ἀλληγορικῶς νοουμένης θείας ἀγάπης ἡ ἀγαθὴ συνείδησις ἐπιφέρεται τόπον, ἐν ᾗ τὸ παράπαν θείων ἐντολῶν οὐκ ἔστι παράβασις. Οὗτός ἐστιν ὁ δειμάμενος ἐν ἑαυτῷ καθ᾽ ἕνωσιν ἄρρητόν τε καὶ ἀδιαίρετον «τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν», λέγω δὲ τὴν διὰ τὴν ἁμαρτίαν τῷ θανάτῳ διαφθαρεῖσαν φύσιν. Οὗτός ἐστι Ζοροβάβελ, ὁ μετὰ δόξης ἐγείρας πεπτωκότα τὸν οἶκον τοῦ Θεοῦ, περὶ οὗ φησι τὸ Πνεῦμα τὸ ἅγιον· «ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν προτέραν». Δευτέραν γὰρ κοινωνίαν ὁ Λόγος ἐκοινώνησε τῇ φύσει, πολὺ

Αὐτὸς εἶναι ποὺ ἐπαναφέρει τοὺς αἰχμαλώτους τοῦ ἀληθινοῦ Ἰσραήλ, ὄχι ἀπὸ χώρα σὲ χώρα, ὅπως ἔκανε ὁ Παλαιὸς Ζοροβάβελ, μεταφέροντας τὸ λαὸ ἀπὸ τὴ Βαβυλώνα στὴν Ἰουδαία, ἀλλὰ ἀπὸ τὴ γῆ στὸν οὐρανὸ καὶ ἀπὸ τὴν κακία στὴν ἀρετή, ἀπὸ τὴν ἀγνωσία στὴν ἐπίγνωση τῆς ἀλήθειας τοῦ Θεοῦ[20] καὶ ἀπὸ τὴ φθορὰ στὴν ἀφθαρσία καθὼς καὶ καὶ ἀπὸ τὸ θάνατο στὴν ἀθανασία, καὶ γιὰ νὰ μιλήσω μὲ συντομία, ἀπὸ τὸν φαινόμενο καὶ παροδικὸ κόσμο στὸ σταθερὸ καὶ νοητὸ καὶ ἀπὸ τὴ ζωὴ τῆς ἀποσύνθεσης στὴν ἀδιάλυτη καὶ μόνιμη. Αὐτὸς εἶναι ὁ ἀληθινὸς οἰκοδόμος τοῦ λογικοῦ νοῦ ποὺ κατέρρευσε ἀπὸ τὰ παραπτώματα καὶ πυρπολήθηκε ἀπὸ ἰδιόρρυθμη φωτιά, ποὺ ἐμεῖς ἀνάψαμε καὶ βαδίσαμε μὲ τὸ φῶς τῆς φωτιᾶς καὶ τὴ φλόγα ποὺ ἀνάψαμε, κάνοντας ὄχι μόνο ν' ἀκολουθεῖ δουλικὰ τὸ νοερὸ μέρος τῆς ψυχῆς τὸ σαρκικό φρόνημα, ἀλλὰ κι ἀνάβοντας μὲ τὴν ἀπερισκεψία μας τὴν ὕλη τῶν παθῶν. Αὐτὸς εἶναι ποὺ ἔπεισε μὲ σοφία τὸ βασιλιὰ Δαρεῖο, δηλαδὴ τὸ νόμο τῆς φύσης. Γιατὶ δὲν ἐπιτρέπεται στὸ χωρίο αὐτὸ νὰ παίρνομε τὸ Δαρεῖο στὴ θέση τοῦ διαβόλου, ἀφοῦ ἔγινε συνεργὸς θέλοντας τῆς χάριτος στὴ λύτρωση τοῦ λαοῦ κι ἀφοῦ πείσθηκε ὅτι δὲν εἶναι τίποτε πιὸ ἰσχυρὸ κι ἀποτελεσματικότερο γιὰ τὴ σωτηρία τῆς ἀνθρώπινης φύσης ὅσο ἡ πίστη καὶ ἡ ἀγαθὴ συνείδηση. Γιατὶ ἡ πίστη ἔχει τὴ θέση τῆς ἀλήθειας καὶ ἔχει τὴ θέση τῆς θείας ἀγάπης ποὺ νοεῖται ἀλληγορικὰ μὲ τὶς γυναῖκες ἡ ἀγαθὴ συνείδηση ὅπου δὲν ὑπάρχει ἀπολύτως καμμιὰ παράβαση τῶν θείων ἐντολῶν. Αὐτὸς εἶναι ποὺ οἰκοδόμησε μὲ τὸν ἑαυτό του σὲ μιὰ ἕνωση ἄρρητη κι ἀδιαίρετη «τὴν σκηνὴ τοῦ Δαβὶδ ποὺ ἔπεσε»[21], ἐννοῶ τὴ φύση μας ποὺ διαφθάρθηκε ἀπὸ τὸ θάνατο ἐξαιτίας τῆς παράβασης. Αὐτὸς εἶναι ὁ Ζοροβάβελ ποὺ ἀνοικοδόμησε ὁλόλαμπρο τὸν οἶκο τοῦ Θεοῦ ποὺ εἶχε πέσει, γιὰ τὸν ὁποῖο λέει τὸ ἅγιο Πνεῦμα «ἡ δόξα τοῦ οἴκου αὐτοῦ ἡ τελευταία εἶναι ἀνώτερη ἀπὸ τὴν πρώτη»[22]. Γιατὶ ὁ λόγος ἦρθε σὲ

20. Α' Τιμ. 2,4. 21. Ἀμὼς 9,11. Πράξ. 15,16. 22. Ἀγγ. 2,9.

τῆς προτέρας παραδοξοτέραν, ὅσῳ πρῶτον τοῦ κρείττονος μεταδούς, ὕστερον μετέλαβε θέλων τοῦ χείρονος, ἵνα καὶ τὴν εἰκόνα σώσῃ καὶ τὴν σάρκα ἀθανατίσῃ καί, τὸν ἐνηχηθέντα τῇ φύσει λόγον τοῦ ὄφεως παντελῶς ἐξαφανίσας, ὡς ἐξ ἀρχῆς καθαρὰν κακίας πάλιν παραστήσῃ τὴν φύσιν, τῇ θεώσει πλεονεκτοῦσαν[18] τὴν πρώτην διάπλασιν, καί, ὥσπερ ἐξ ἀρχῆς μὴ οὖσαν ὑπεστήσατο, οὕτω διαρρυεῖσαν ἀνασώσηται, στομώσας πρὸς ἀπτωσίαν τῇ ἀτρεψίᾳ, καὶ τὴν ἐπ' αὐτῇ πᾶσαν βουλὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἐπιτελέσῃ, θεώσας αὐτὴν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως. «Αἱ χεῖρες»[19], γάρ φησι, «Ζοροβάβελ» τοῦ νοητοῦ «ἐθεμελίωσαν τὸν οἶκον τοῦτον», τουτέστι τὸν ἄνθρωπον, «καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν», τὴν προτέραν λέγων διάπλασιν καὶ τὴν ἐν αὐτῷ καθ' ἕνωσιν ἄρρητον τελευταίαν ἀνάπλασιν. Οὗτός ἐστιν ὁ ἀληθινὸς Ζοροβάβελ, ὁ τῶν αἰχμαλώτων λυτρωτής, ὁ ἔχων ἐν τῇ «χειρὶ τὸν λίθον τὸν κασσιτήρινον», τὸν τοῖς «ἑπτὰ» τοῦ «Κυρίου» κοσμούμενον «ὀφθαλμοῖς», δι' ὧν ὁ Θεὸς «ἐπιβλέπει ἐπὶ πᾶσαν τὴν γῆν». Κατὰ μὲν τὴν ἱστορίαν οὐδαμῶς ἐσχηκὼς φαίνεται Ζοροβάβελ ἐν τῇ χειρὶ κασσιτήρινον λίθον ἑπτὰ ὀφθαλμοὺς ἔχοντα, καὶ αὐτοὺς τοῦ Κυρίου, ἐπιβλέποντας ἐπὶ πᾶσαν τὴν γῆν. Οὐκοῦν, ἐπειδὴ παντελῶς ἀμήχανον τοῦτο στῆναι κατὰ τὴν λέξιν, ἐπὶ τὴν τῶν γεγραμμένων χωρῶμεν διάνοιαν.

Ζοροβάβελ ἐστίν, καθως πολλάκις προλαβὼν ἔφην, ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός. Τούτου δὲ λίθος[20] ἐστὶν ἡ πίστις ἡ εἰς αὐτόν· ἐν τῇ χειρὶ δέ, ὅτι τῇ πράξει τῶν ἐντολῶν ἡ πίστις τοῦ Χριστοῦ διαφαίνεται· «πίστις» γὰρ «χωρὶς ἔργων νεκρά», ὥσπερ καὶ «ἔργα δίχα πίστεως». Πράξεως δὲ σύμβουλόν ἐστι προδήλως ἡ χείρ. Φέρων οὖν ἐν τῇ χειρὶ τὸν λίθον ὁ Κύριος ἔμπρακτον ἡμᾶς διδάσκει τὴν εἰς αὐτὸν πίστιν ἔχειν τοῖς

δεύτερη κοινωνία μὲ τὴ φύση μας πολὺ πιὸ παράδοξη ἀπὸ τὴν πρώτη· ὅσο καλὸ τῆς εἶχε μεταδώσει πρῶτα, τόσο κακὸ μετάλαβε ὕστερα θέλοντας, ὥστε καὶ τὴν εἰκόνα νὰ διασώσει καὶ τὴ σάρκα ν' ἀθανατίσει καί, ἐξαφανίζοντας τελείως τὸ λόγο ποὺ τὸ φίδι ψιθύρισε στὸν ἄνθρωπο, νὰ παραστήσει πάλι τὴ φύση μας ὅπως στὴν ἀρχὴ καθαρὴ ἀπὸ τὴν κακία, πλεονεκτώντας ἀπὸ τὸ πρῶτο πλάσιμό της κατὰ τὴ θέωση· καὶ ὅπως στὴν ἀρχὴ τὴν ἔκανε νὰ ὑπάρξει ἀπὸ τὸ μηδέν, ἔτσι καὶ τώρα ποὺ εἶχε διαλυθεῖ νὰ τὴν ξανασώσει, κλείνοντας μὲ τὴν ἀτρεψία τὸ δρόμο πρὸς τὴν πτώση, καὶ νὰ πραγματοποιήσει σ' αὐτὴν κάθε ἀπόφαση τοῦ Θεοῦ καὶ Πατέρα, θεώνοντάς την μὲ τὴ δύναμη τῆς ἐνανθρώπησής του. Γιατὶ λέει, «τὰ χέρια τοῦ Ζοροβάβελ τοῦ νοητοῦ θεμελίωσαν τὸν οἶκο τοῦτο», δηλαδὴ τὸν ἄνθρωπο, «καὶ τὰ χέρια του θὰ τὸν ὁλοκληρώσουν»[23], ἐννοώντας τὴν προηγούμενη διάπλαση καὶ τὴν τελευταία ἀνάπλαση μέσα σ' αὐτὸν μ' ἄρρητη ἕνωση. Αὐτὸς εἶναι ὁ ἀληθινὸς Ζοροβάβελ, ὁ λυτρωτὴς τῶν αἰχμαλώτων, ποὺ κρατάει στὸ χέρι του «τὴν πέτρα τοῦ κασσίτερου, ποὺ τὴν κοσμοῦν τὰ ἑφτὰ μάτια τοῦ Κυρίου, μὲ τὰ ὁποῖα ὁ Θεὸς ἐπιβλέπει πάνω σὲ ὅλη τὴ γῆ»[24]. Σύμφωνα μὲ τὴν ἱστορία πουθενὰ δὲ φαίνεται ὁ Ζοροβάβελ νὰ κρατάει στὸ χέρι του τὴν πέτρα τοῦ κασσίτερου μὲ τὰ ἑπτὰ μάτια, ποὺ εἶναι μάτια τοῦ Κυρίου, ποὺ ἐπιβλέπει πάνω σὲ ὅλη τὴ γῆ. Ἑπομένως, ἐπειδὴ τὸ χωρίο εἶναι ἀδύνατο νὰ σταθεῖ λεκτικά, ἂς προχωρήσομε στὸ νόημά του.

Ὁ Ζοροβάβελ εἶναι, ὅπως πολλὲς φορὲς εἶπα προηγουμένως, ὁ Κύριός μας καὶ Θεὸς Ἰησοῦς Χριστός. Ἡ πέτρα τοῦ Χριστοῦ εἶναι ἡ πίστη σ' αὐτόν· τὴν κρατάει στὸ χέρι, γιατὶ ἡ πίστη στὸ Χριστὸ διαφαίνεται στὴν πράξη τῶν ἐντολῶν· ἐπειδὴ πίστη χωρὶς ἔργα εἶναι νεκρή[25]. Καὶ εἶναι ὁλοφάνερο ὅτι σύμβολο τῆς πράξης εἶναι τὸ χέρι. Κρατώντας λοιπὸν ὁ Κύριος τὴν πέτρα στὸ χέρι μᾶς διδάσκει νὰ εἶναι ἔμπρακτη ἡ πίστη μας σ'

23. Ζαχ. 4,9. 24. Ζαχ. 4,10. 25. Ἰακ. 2,26.

ἑπτὰ τοῦ Κυρίου κοσμουμένην ὀφθαλμοῖς, τουτέστι ταῖς ἑπτὰ τοῦ ἁγίου Πνεύματος ἐνεργείαις.

«Καὶ ἐπαναπαύσεται», φησίν, «ἐπ' αὐτὸν» ἑπτὰ πνεύματα· «πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα γνώσεως, πνεῦμα ἐπιστήμης, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα φόβου Θεοῦ». Ἔστι δὲ τὸ μὲν πεῦμα[21] τοῦ φόβου τοῦ Θεοῦ ἡ τῶν κατ' ἐνέργειαν κακῶν ἀποχή· τὸ δὲ πνεῦμα τῆς ἰσχύος ἐστὶν ἡ πρὸς ἐνέργειαν καὶ πρᾶξιν τῶν ἐντολῶν πρόθυμος ὁρμὴ καὶ κίνησις· τὸ δὲ πνεῦμα τῆς βουλῆς ἐστιν ἡ ἕξις τῆς διακρίσεως, καθ' ἣν σὺν λόγῳ τὰς θείας πράττομεν ἐντολὰς καὶ τῶν κρειττόνων διαιροῦμεν τὰ χείρονα· τὸ δὲ πνεῦμα τῆς ἐπιστήμης ἐστὶν ἡ τῶν κατ' ἀρετὴν τῆς πράξεως τρόπων ἄπτωτος εἴδησις, καθ' οὓς πράττοντες τῆς ὀρθῆς τοῦ λόγου κρίσεως οὐδαμῶς διαπίπτομεν· τὸ δὲ πνεῦμα τῆς γνώσεώς ἐστιν ἡ τῶν ἐν ταῖς ἐντολαῖς λόγων περίληψις, καθ' οὓς οἱ τρόποι τῶν ἀρετῶν συνεστήκασι· πνεῦμα δὲ συνέσεώς ἐστιν ἡ πρὸς τοὺς τρόπους καὶ τοὺς λόγους τῶν ἀρετῶν συγκατάθεσις, ἤ, κυριώτερον εἰπεῖν, μεταποίησις, καθ' ἣν σύγκρασις γίνεται τῶν φυσικῶν δυνάμεων πρὸς τοὺς τρόπους καὶ τοὺς λόγους τῶν ἐντολῶν· πνεῦμα δὲ σοφίας ἐστὶν ἡ πρὸς τὴν αἰτίαν τῶν ἐν ταῖς ἐντολαῖς πνευματικωτέρων λόγων ἀνάληψίς τε καὶ ἕνωσις, καθ' ἥν, ἀγνώστως τοὺς ἐν Θεῷ, κατὰ θεμιτὸν ἀνθρώποις, ἁπλοῦς μυούμενοι τῶν ὄντων λόγους, ὡς ἔκ τινος βλυστανούσης πηγῆς τῆς καρδίας τὴν ἐν τοῖς ὅλοις ἀλήθειαν ποικίλως τοῖς ἄλλοις ἀνθρώποις προφέρομεν, ἀπὸ μὲν τῶν ἐκ Θεοῦ τελευταίων, ἡμῖν δὲ προσεχῶν, ἐπὶ τὰ πρῶτα, καὶ ἡμῶν μὲν πόρρω, τῷ δὲ Θεῷ προσεχῆ, καθ' ὁδὸν καὶ τάξιν ἀναβαίνοντες.

Ἀπὸ γὰρ τῆς ἀργίας[22] τῶν κακῶν διὰ φόβου ἐπὶ τὴν τῶν ἀρετῶν δι' ἰσχύος ἐρχόμεθα πρᾶξιν, ἀπὸ δὲ τῆς τῶν ἀρετῶν πράξεως ἐπὶ τὴν διάκρισιν τῆς βουλῆς, ἀπὸ δὲ τῆς διακρίσεως

αὐτὸν καὶ νὰ κοσμεῖται μὲ τὰ ἑφτὰ μάτια τοῦ Κυρίου; δηλαδὴ μὲ τὶς ἑπτὰ ἐνέργειες τοῦ ἁγίου Πνεύματος.

«Καὶ θ' ἀναπαυθοῦν», λέει, «πάνω σ' αὐτὸν ἑπτὰ πνεύματα· πνεῦμα σοφίας, πνεῦμα φρόνησης, πνεῦμα γνώσης, πνεῦμα ἐπιστήμης, πνεῦμα βουλῆς, πνεῦμα δύναμης, πνεῦμα φόβου Θεοῦ»[26]. Καὶ εἶναι τὸ πνεῦμα τοῦ φόβου τοῦ Θεοῦ ἡ ἀποχὴ ἀπὸ τὰ ἐνεργούμενα κακά. Τὸ πνεῦμα τῆς δύναμης εἶναι ἡ πρόθυμη ὁρμὴ καὶ κίνηση πρὸς ἐνέργεια καὶ πράξη τῶν ἐντολῶν. Τὸ πνεῦμα τῆς βουλῆς εἶναι ἡ ἕξη τῆς διάκρισης, σύμφωνα μὲ τὴν ὁποία πράττομε μὲ λόγο τὶς θεῖες ἐντολὲς καὶ χωρίζομε τὰ χειρότερα ἀπὸ τὰ καλύτερα. Τὸ πνεῦμα τῆς ἐπιστήμης εἶναι ἡ ἄπταιστη γνώση τῶν τρόπων τῆς πράξης τῶν σύμφωνων μὲ τὴν ἀρετή, μὲ τοὺς ὁποίους δὲν ἔκανε λάθος ποτὲ στὴν ὀρθὴ κρίση τοῦ λόγου. Τὸ πνεῦμα τῆς γνώσης εἶναι ἡ περίληψη τῶν λόγων τῶν ἐντολῶν, ποὺ συνιστοῦν τοὺς τρόπους τῶν ἀρετῶν. Τὸ πνεῦμα τῆς σύνεσης εἶναι ἡ συγκατάθεσή μας στοὺς τρόπους καὶ στοὺς λόγους τῶν ἐντολῶν ἤ, γιὰ νὰ κυριολεκτήσομε, ἡ μεταποίηση, μὲ τὴν ὁποία γίνεται ἀνάμιξη τῶν φυσικῶν δυνάμεων πρὸς τοὺς τρόπους καὶ τοὺς λόγους τῶν ἐντολῶν. Τὸ πνεῦμα τῆς σοφίας εἶναι ἡ ἀνάληψη καὶ ἡ ἕνωση πρὸς τὴν αἰτία τῶν πνευματικότερων λόγων μέσα στὶς ἐντολές, σύμφωνα μὲ τὶς ὁποῖες μὲ τρόπο ἄγνωστο μυούμαστε, ὅσο εἶναι δυνατὸ στοὺς ἀνθρώπους, τοὺς ἁπλοὺς μέσα στὸ Θεὸ λόγους τῶν ὄντων, καὶ ἀπὸ τὴν καρδιά μας, σὰν ἀπὸ κάποια πηγὴ ποὺ ἀναβρύζει, προβάλλομε στοὺς ἄλλους ἀνθρώπους μὲ ποικίλους τρόπους τὴν ἀλήθεια ποὺ βρίσκεται σὲ ὅλα τὰ ὄντα, ἀπὸ τὰ πιὸ μακρινὰ στὸ Θεὸ καὶ πιὸ κοντινὰ σ' ἐμᾶς στὰ πρῶτα, μακρινότερα ἀπὸ ἐμᾶς καὶ κοντινὰ στὸ Θεό, προχωρώντας καθοδικὰ καὶ μὲ τάξη.

Γιατὶ ἐρχόμαστε μὲ φόβο ἀπὸ τὴν ἀργία τῶν κακῶν στὴ δυναμικὴ ἐκτέλεση τῶν ἀρετῶν, ἀπὸ τὴν ἐκτέλεση τῶν ἀρετῶν στὴ διάκριση τῆς σκέψης, ἀπὸ τὴ διάκριση στὴν ἕξη, δηλαδὴ

26. Ἡσ. 11,2.

ἐπὶ τὴν ἕξιν τῶν ἀρετῶν, ἤγουν ἐπιστήμην, ἀπὸ δὲ τῆς ἕξεως τῶν ἀρετῶν ἐπὶ τὴν γνῶσιν τῶν ἐν αὐταῖς ταῖς ἀρεταῖς λόγων, ἀπὸ δὲ ταύτης εἰς τὴν πρὸς τοὺς ἐγνωσμένους λόγους τῶν ἀρετῶν μεταποιητικὴν ἕξιν, φημὶ δὲ τὴν σύνεσιν, καὶ ἀπὸ ταύτης εἰς τὴν ἁπλῆν τῆς ἐν ὅλοις ἀληθείας ἀκριβῆ θεωρίαν, ἀφ' ἧς ὁρμώμενοι, πολλοὺς καὶ ποικίλους ἐκ τῆς τῶν ὄντων αἰσθητῶν τε καὶ νοητῶν οὐσιῶν σοφῆς θεωρίας εὐσεβεῖς λόγους περὶ τῆς ἀληθείας ἀποδώσομεν. Διὰ τούτων οὖν ἀναβαίνοντες τῶν ὀφθαλμῶν τῆς πίστεως, ἤγουν φωτισμῶν, πρὸς τὴν θείαν τῆς σοφίας[23] *συναγόμεθα μονάδα, τὴν γεγενημένην δι' ἡμᾶς τῶν χαρισμάτων διαίρεσιν πρὸς τὴν αἰτίαν τῶν χαρισμάτων συνάγοντες ταῖς κατὰ μέρος τῶν ἀρετῶν ἀναβάσεσι, μηδὲν τῶν εἰρημένων, συνεργίᾳ Θεοῦ, παραλιμπάνοντες, ἵνα μή, κατ' ὀλίγον ἀμιλοῦντες, τυφλὴν*[24] *ἡμῶν τὴν πίστιν καὶ ἀνόμματον καταστήσωμεν, οὐκ ἔχουσαν τοὺς διὰ τῶν ἔργων τοῦ Πνεύματος φωτισμούς, καὶ κολασθῶμεν δικαίως εἰς ἀπείρους αἰῶνας, ὡς ἐν ἑαυτοῖς κατὰ τὴν πίστιν, ὅσον τὸ ἐφ' ἡμῖν, τοὺς θείους ἐκτυφλώσαντες ὀφθαλμούς.*

Πᾶς γὰρ ὁ τῆς πίστεως ἐν ἑαυτῷ διὰ τῆς ἀργίας[25] *τῶν ἐντολῶν τοὺς τοιούτους ἀνορύξας ὀφθαλμούς, πάντως κατάκριτος, μηκέτι τὸν Θεὸν ἔχων εἰς αὐτὸν ἐπιβλέποντα. Καὶ οἶμαί γε ταύτης ἕνεκα τῆς αἰτίας λίθον κασσιτήρινον τῇ Γραφῇ προσηγορεῦσθαι τὴν πίστιν, διὰ τὸ τὴν αὐτὴν καὶ τιμωρητικὴν εἶναι τῶν μὴ κοσμούντων αὐτὴν ταῖς ἐντολαῖς, καὶ περιποιητικὴν τῶν διατηρούντων αὐτὴν κατηγλαϊσμένην ταῖς ἐνεργείαις τοῦ Πνεύματος. Ἔσται γάρ, φησὶ Συμεὼν ὁ μέγας περὶ τοῦ Κυρίου λέγων, «εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ», πτῶσιν μὲν τῶν ἀπιστούντων, ἀνάστασιν δὲ τῶν πιστευόντων. Φασὶ γάρ τινες ἐξ ἀργύρου καὶ μολίβου σύνθετον εἶναι τὸν κασσίτηρον. Οὐκοῦν, ὁ μὲν μόλιβος παιδείας καὶ τιμωρίας καὶ κολάσεως καὶ τοῦ βάρους τῆς κατακρίσεως φέρει σύμβολον, ὁ δὲ*

στὴν ἐπιστήμη τῶν ἀρετῶν, ἀπὸ τὴν ἕξη τῶν ἀρετῶν στὴ γνώση τῶν λόγων ποὺ περιέχονται σ' αὐτές, ἀπὸ τὴ γνώση στὴ μεταποίησή μας, ἐννοῶ τὴ σύνεση, σύμφωνα μὲ τοὺς λόγους ποὺ μάθαμε τῶν ἀρετῶν, κι ἀπὸ αὐτὴν στὴν ἁπλὴ κι ἀκριβὴ θεωρία τῆς ἀλήθειας τῶν ὅλων, ἀπὸ τὴν ὁποία ξεκινώντας θὰ διατυπώσομε ἀπὸ τὴ σοφὴ θεωρία τῶν αἰσθητῶν ὄντων καὶ νοητῶν οὐσιῶν πολλοὺς καὶ διάφορους εὐσεβεῖς λόγους γιὰ τὴν ἀλήθεια. Ἀνεβαίνοντας μὲ αὐτοὺς τοὺς ὀφθαλμούς, δηλαδὴ μὲ αὐτοὺς τοὺς φωτισμοὺς τῆς πίστης, συναγόμαστε στὴ θεία μονάδα τῆς σοφίας, συνάγοντας τὴ διαίρεση τῶν χαρισμάτων ποὺ ἔγινε γιὰ χάρη μας μὲ τὶς ἐπιμέρους ἀναβάσεις μας σὲ καθε ἀρετὴ πρὸς τὴν αἰτία τῶν χαρισμάτων, μὴ παραλείποντας βέβαια, μὲ τὴ βοήθεια τοῦ Θεοῦ, τίποτε ἀπὸ ὅσα εἴπαμε, γιὰ νὰ μὴν κάνομε μὲ τὴ βαθμιαία ἀμέλειά μας τὴν πίστη μας τυφλὴ καὶ ἀόμματη, ποὺ δὲ θὰ ἔχει τοὺς πνευματικοὺς φωτισμοὺς ἀπὸ τὰ ἔργα, καὶ νὰ μὴν κολαστοῦμε δίκαια στοὺς ἄπειρους αἰῶνες, ἐπειδὴ ὅσο ἐξαρτόταν ἀπὸ ἐμᾶς τυφλώσαμε μέσα μας τοὺς θείους ὀφθαλμοὺς τῆς πίστης.

Γιατὶ καθένας ποὺ μὲ τὴν ἀργία τῶν ἐντολῶν βγάζει ἀπὸ μέσα του αὐτοὺς τοὺς ὀφθαλμοὺς τῆς πίστης, εἶναι ὁπωσδήποτε καταδικασμένος, ἀφοῦ δὲν ἔχει τὸ Θεὸ νὰ ρίχνει τὸ βλέμμα του σ' αὐτόν. Καὶ γι' αὐτὸ τὸ λόγο νομίζω ἡ πίστη ὀνομάζεται στὴ Γραφὴ πέτρα ἀπὸ κασσίτερο, ἐπειδὴ ἡ ἴδια καὶ τιμωρεῖ ὅσους δὲν τὴν κοσμοῦν μὲ τὶς ἐντολὲς καὶ ἀμείβει ὅσους μὲ τὶς ἐνέργειες τοῦ Πνεύματος τὴν διατηροῦν ἀστραφτερή. Γιατὶ λέει ὁ μέγας Συμεὼν γιὰ τὸν Κύριο· «θὰ προκαλέσει τὴν πτώση καὶ τὴν ἀνάσταση πολλῶν μέσα στὸν Ἰσραήλ»[27], πτώση ἐκείνων ποὺ ἀπιστοῦν καὶ ἀνάσταση ἐκείνων ποὺ πιστεύουν. Γιατὶ λένε μερικοί, ὅτι ὁ κασσίτερος εἶναι κράμα ἀπὸ ἀσήμι καὶ μολύβι. Ἔτσι τὸ μολύβι εἶναι τὸ σύμβολο τῆς παιδαγωγίας καὶ τῆς τιμωρίας καὶ τοῦ κολασμοῦ καὶ τοῦ βάρους τῆς καταδίκης, ἐνῶ

---

27. Λουκᾶ 2,34.

ἄργυρος λαμπρότητος καὶ δόξης καὶ περιφανείας ὡσαύτως τύπος ἐστίν. Εἰ δὲ τοῦτο, καὶ ἡ πίστις ἡ διὰ τοῦ κασσιτήρου[26] *σημαινομένη καὶ παιδεύει καὶ τιμωρεῖται καὶ κολάζει καὶ κατακρίνει τοὺς ἀδοκίμους ἐν αὐτῇ γενομένους διὰ τῆς ἀργίας τῶν ἐντολῶν, ὡς μόλιβον ἔχουσα τυχὸν τῆς σαρκὸς τὴν ἀσθένειαν*[27] *ἐν τῷ λόγῳ δυναμωθεῖσαν κατὰ τὴν ἕνωσιν, καὶ λαμπρύνει πάλιν καὶ δοξάζει καὶ φωτίζει καὶ πρὸς ἐκθέωσιν ἄγει τοὺς ἐν αὐτῇ γενομένους δοκίμους διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, ὡς ἄργυρον ἔχουσα τάχα τὴν τοῦ Λόγου θεότητα τοῖς ἀξίοις ὁλικῶς κατὰ τὸ δυνατὸν ἐναστράπτουσαν.*

Ἔλαβον δέ τινες τὸν κασσιτήρινον λίθον εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὡς ἐκ δύο συγκείμενον φύσεων, θεότητός τε καὶ ἀνθρωπότητος. Εἰ δέ τις τὴν τοῦ Χριστοῦ πίστιν ἢ τὸν Χριστὸν αὐτὸν θεωρῆσαι βούλεται γνωστικώτερον, μόλιβός ἐστιν ἡ πίστις καὶ αὐτὸς ὁ Χριστός, ὡς παιδεύων ψυχὴν καὶ κολάζων σάρκα καὶ τιμωρούμενος πάθη καὶ κατακρίνων δαίμονας, ἄργυρος δέ, ὡς νοῦν λαμπρύνων ταῖς ἀρεταῖς καὶ δοξάζων ταῖς γνώσεσι καὶ τῇ θεώσει ποιῶν αὐτὸν φῶς, τοῦ πρώτου φωτὸς ἀπεικόνισμα. Κατὰ ταύτην τὴν ἔννοιαν ἐκληπτέον καὶ τὴν ἐξ αὐτοῦ γινομένην πτῶσιν καὶ ἀνάστασιν· πτῶσιν γὰρ ποιεῖται σαρκός, ἤγουν σαρκικοῦ φρονήματος καὶ παθῶν καὶ ἁμαρτίας καὶ δαιμόνων, ἀνάστασιν δὲ νοός, ἤγουν πνευματικοῦ φρονήματος καὶ φυσικῶν δυνάμεων καὶ ἀρετῆς καὶ τῶν συνεκτικῶν τῆς γνώσεως λογισμῶν. Καὶ ἁπλῶς, ὅλου τοῦ παλαιοῦ κατὰ τὸν Ἀδὰμ ἀνθρώπου καὶ τοῦ γράμματος τοῦ νόμου ἐν τοῖς ἀξίοις ποιεῖται πτῶσιν ὁ Λόγος, καὶ τοῦ νέου κατ' αὐτὸν ἀνθρώπου καὶ τοῦ πνεύματος τοῦ νόμου ἀνάστασιν.

Τυχὸν δὲ καὶ διὰ τοῦτο κασσιτηρίνῳ λίθῳ κατὰ τὴν Γραφὴν παρεικάζεται ἡ πίστις τῶν ἐν τοῖς μελαίνουσιν[28] *αὐτῆς τὴν ἀρετὴν ἢ τὴν γνῶσιν δυναμένων πάλιν διὰ μετανοίας κατὰ τὴν πρᾶξιν καὶ θεωρίαν λαμπρύνεσθαι καὶ τὴν οἰκείαν αὖθις ἀπολαμβάνειν φωτεινὴν τοῦ βίου διαύγειαν.*

τὸ ἀσήμι εἶναι ὁ τύπος τῆς λαμπρότητας τῆς δόξας καὶ τῆς περιφάνειας. Ἂν αὐτὸ εἶναι ἔτσι, τότε καὶ ἡ πίστη, ποὺ δηλώνεται μὲ τὸν κασσίτερο, καὶ παιδεύει καὶ τιμωρεῖ καὶ κολάζει καὶ καταδικάζει ὅσους φάνηκαν ἀδόκιμοι σ' αὐτὴν μὲ τὴν ἀργία τῶν ἐντολῶν, ἔχοντας σὰν μολύβι τὴν ἀσθένεια τῆς σάρκας δυναμωμένη στὸ λόγο κατὰ τὴν ἕνωση, καὶ ἐπίσης λαμπρύνει καὶ δοξάζει καὶ φωτίζει καὶ ὁδηγεῖ στὴ θέωση ὅποιους ἀναδειχθοῦν δόκιμοι σ' αὐτὴν μὲ τὴν ἐργασία τῶν ἐντολῶν, θεωρώντας ἴσως σὰν ἄργυρο τὴ θεότητα τοῦ Λόγου ποὺ ἀστράφτει κατὰ τὸ δυνατὸ σ' ὅλους τοὺς ἄξιους.

Μερικοὶ θεώρησαν ὡς πέτρα ἀπὸ κασσίτερο τὸν Κύριό μας Ἰησοῦ Χριστό, ἐπειδὴ ἀποτελεῖται ἀπὸ δύο φύσεις, τὴ θεία καὶ τὴν ἀνθρώπινη. Ἂν ὅμως θέλει κάποιος νὰ ἑρμηνεύσει μὲ βαθύτερο νόημα τὴν πίστη στὸ Χριστὸ ἢ τὸν ἴδιο τὸ Χριστό, μολύβι εἶναι ἡ πίστη καὶ ὁ ἴδιος ὁ Χριστός, ἐπειδὴ παιδαγωγεῖ τὴν ψυχὴ καὶ κολάζει τὴ σάρκα καὶ τιμωρεῖ τὰ πάθη καὶ καταδικάζει τοὺς δαίμονες, καὶ ἀσήμι πάλι εἶναι ἐπειδὴ λαμπρύνει τὸ νοῦ μὲ τὶς ἀρετὲς καὶ τὸν δαμάζει μὲ τὶς γνώσεις καὶ μὲ τὴν θέωση τὸν κάνει φῶς, ἀπεικόνισμα τοῦ πρώτου φωτός. Μὲ αὐτὴν τὴν ἔννοια πρέπει νὰ ἐκλάβομε καὶ τὴν πτώση ἀπὸ αὐτὸ τὸ φῶς καὶ τὴν ἀνάσταση. Γιατὶ προξενεῖται πτώση τῆς σάρκας, δηλαδὴ τοῦ σαρκικοῦ φρονήματος καὶ τῶν παθῶν τῆς ἁμαρτίας καὶ τῶν δαιμόνων, καὶ ἀνάσταση τοῦ νοῦ, δηλαδὴ τοῦ πνευματικοῦ φρονήματος καὶ τῶν φυσικῶν δυνάμεων καὶ τῆς ἀρετῆς καὶ τῶν λογισμῶν ποὺ ἀπαρτίζουν τὴ γνώση. Καὶ γενικὰ ὁ Λόγος πραγματοποιεῖ μέσα στοὺς ἄξιους τὴν πτώση ὅλου τοῦ σύμφωνου μὲ τὸν Ἀδὰμ παλαιοῦ ἀνθρώπου καὶ τοῦ γράμματος τοῦ νόμου, καὶ τὴν ἀνάσταση τοῦ σύμφωνου μὲ αὐτὸν νέου ἀνθρώπου καὶ τοῦ πνεύματος τοῦ νόμου.

Ἀλλὰ ἴσως καὶ γι' αὐτὸ παρομοιάζεται ἀπὸ τὴ Γραφὴ μὲ πέτρα ἀπὸ κασσίτερο ἡ πίστη ἐκείνων ποὺ τὴν μαυρίζουν στὴν πράξη ἢ στὴ γνώση καὶ μποροῦν μὲ τὴ μετάνοια νὰ λαμπρυνθοῦν πάλι στὴν πράξη καὶ στὴ θεωρία καὶ νὰ λάβουν πάλι τὴ φωτεινὴ διαύγεια τοῦ βίου.

ΣΧΟΛΙΑ

Πρακτικῆς ἀρετῆς τέλος εἶναί φασι τὸ ἀγαθόν· τοῦτο δὲ θείας ἐνεργείας ὑπάρχει συμπλήρωσις, πρὸς ἣν ἄγει τὸ λογικὸν τῆς ψυχῆς, τῷ τε θυμῷ καὶ τῇ ἐπιθυμίᾳ κατὰ φύσιν χρώμενον, ἐν ᾗ τὸ καθ' ὁμοίωσιν πέφυκεν ἀναφαίνεσθαι κάλλος. Θεωρητικῆς δὲ φιλοσοφίας τέλος εἶναί φασι τὴν ἀλήθειαν, ἥτις ἀμερῶς τῶν περὶ Θεὸν ἁπάντων ἑνοειδής ἐστι γνῶσις, πρὸς ἣν ὁ καθαρὸς φέρεται νοῦς, ἀποσβέσας ἑαυτοῦ παντελῶς τὴν κατ' αἴσθησιν κρίσιν, ἐν ᾗ γνώσει δῆλον ἀκίβδηλον τὸ τῆς θείας εἰκόνος ἀξίωμα δείκνυται.

Τὰς μὲν γυναίκας εἰς ἀρετάς, ὧν ἡ ἀγάπη τέλος ἐστίν, ἐθεώρησεν, τὴν ἀλήθειαν δὲ πρὸς τὴν ἄποσον ἀνήγαγε γνῶσιν, ὧν, ἀγάπης τέ φησι καὶ γνώσεως, ὁ βασιλεύων τῆς φύσεως ἐπιγνοὺς τὸν χαρακτῆρα νόμος ἀποβάλλεται, καθάπερ οἶνον, τὴν τῶν παθῶν τῆς σαρκὸς ἡδονὴν καί, ὥσπερ βασιλέα, τὴν πάντων ἀσχέτως κατοιομένην δοξομανίαν.

Ἡ κατ' ἀρετὴν διάθεσις, φησίν, πρόσωπόν ἐστι τοῦ θεωρητικοῦ νοός, ὡς εἰς οὐρανὸν πρὸς τὸ ὕψος τῆς ἀληθινῆς ἐπαιρόμενον γνώσεως.

Ἄλλη περὶ τοῦ αὐτοῦ θεωρία, καθ' ἣν τὴν ἐν οὐρανοῖς ἀπογραφὴν λέγει μόνων ἐκείνων εἶναι τῶν κατὰ πρόθεσιν ὅλους ἑαυτοὺς ἀπογράφεσθαι τῷ καλάμῳ παρεχόντων τοῦ Πνεύματος· βουλομένους γάρ, ἀλλ' οὐκ ἀναγκαζομένους ἐν οὐρανοῖς ἀπογράφεται τὸ Πνεῦμα τὸ ἅγιον.

Οὐδεὶς δύναται, φησίν, ἀληθῶς τὸν Θεὸν εὐλογεῖν, μὴ τὸ σῶμα καθαγιάσας ταῖς ἀρεταῖς καὶ τὴν ψυχὴν καταφωτίσας ταῖς γνώσεσιν.

Τὴν μὲν νίκην τῶν κατὰ τὸ πρακτικὸν τῆς ψυχῆς θείων ἀγώνων πέρας εἶναί φησιν, ὅπέρ ἐστι τὸ ἀμιγὲς ἀγαθόν, τὴν δὲ σοφίαν τῶν κατὰ τὸ γνωστικὸν τῆς ψυχῆς μυστι-

ΣΧΟΛΙΑ

1. Τῆς πρακτικῆς ἀρετῆς τὸ τέλος εἶναι, λένε, τὸ ἀγαθό, τὸ ὁποῖο συμπληρώνει τὴ θεία ἐνέργεια· σ' αὐτὴν ὁδηγεῖ τὸ λογικὸ τῆς ψυχῆς, χρησιμοποιώντας σύμφωνα μὲ τὴ φύση τὸ θυμικὸ καὶ τὴν ἐπιθυμία, στὴν ὁποία ἐμφανίζεται τὸ κάλλος τῆς ὁμοίωσης. Τῆς θεωρητικῆς φιλοσοφίας τέλος εἶναι, λένε, ἡ ἀλήθεια, ἡ ὁποία εἶναι ἡ ἑνιαία, χωρὶς μέρη, γνώση ὅλων τῶν γύρω ἀπὸ τὸ Θεό, πρὸς τὴν ὁποία φέρεται ὁ καθαρὸς νοῦς, ἐξαλείφοντας τελείως ἀπὸ τὸν ἑαυτό του τὴν κρίση μὲ τὴν αἴσθηση. Στὴ γνώση αὐτὴ φανερώνεται ἀπαραποίητη ἡ ἀξία τῆς θείας εἰκόνας.
2. Τὶς γυναῖκες τὶς εἶδε ὡς ἀρετές, ποὺ τέλος τους ἔχουν τὴν ἀγάπη, ἐνῶ τὴν ἀλήθεια τὴν ἐξήγησε ὡς ἄποση γνώση. Ὅταν ἦρθε σ' ἐπίγνωση τοῦ χαρακτήρα τους, τῆς ἀγάπης λέει καὶ τῆς γνώσης, ὁ νόμος ποὺ βασιλεύει στὴ φύση μας ἀποβάλλει σὰ νὰ ἦταν κρασὶ τὴν ἡδονὴ τῶν σαρκικῶν παθῶν καὶ σὰν βασιλιὰ τὴν δοξομανία ποὺ ἔχει καταλάβει ἀσυγκράτητα τοὺς πάντες.
3. Ἡ σύμφωνη μὲ τὴ ἀρετὴ διάθεση εἶναι, λέει, τὸ πρόσωπο τοῦ θεωρητικοῦ νοῦ, ἐπειδὴ ὑψώνεται στὸν οὐρανὸ στὸ ὕψος τῆς ἀληθινῆς γνώσης.
4. Ἄλλη ἑρμηνεία γιὰ τὸ ἴδιο, σύμφωνα μὲ τὴν ὁποία ἡ ἀπογραφὴ στοὺς οὐρανοὺς λέει ὅτι ἀνήκει σ' ἐκείνους μόνο ποὺ προσφέρουν ὅλο τὸν ἑαυτό τους θέλοντας ν' ἀπογραφεῖ μὲ τὸ κοντύλι τοῦ Πνεύματος· γιατὶ τὸ ἅγιο Πνεῦμα κάνει τὴν ἀπογραφὴ στοὺς οὐρανοὺς τῶν ἀνθρώπων ἐκείνων ποὺ θέλουν ὄχι ποὺ ἀναγκάζονται.
5. Κανένας δὲν μπορεῖ νὰ δοξολογήσει ἀληθινὰ τὸν Θεό, ἂν δὲν ἁγιάσει τὸ σῶμα του μὲ τὶς ἀρετὲς καὶ δὲν καταφωτίσει τὴν ψυχὴ μὲ τὶς γνώσεις.
6. Ἡ νίκη εἶναι, λέει, τὸ κατὰ τὴν πράξη τέρμα τῶν θείων ἀγώνων τῆς ψυχῆς, πράγμα ποὺ εἶναι τὸ καθαρὸ ἀγαθό, ἐνῶ ἡ σοφία, ἀποφαίνεται, ὅτι εἶναι τὸ τέλος τῆς γνώσης τῶν

κῶν ὑπάρχειν τέλος ἀποφαίνεται θεαμάτων, ὅπερ ἐστὶν ἡ ἁπλῆ ἀλήθεια, πρὸς ἅπερ νοῦς τε, γενόμενος τῆς κατ' αἴσθησιν καθαρὸς φαντασίας, ἄγει καὶ λόγος, ὑποζεύξας ἑαυτῷ τὸ τῆς ψυχῆς ζωτικόν, ὧν, νίκης τέ φησι καὶ σοφίας, ἤγουν ἀγαθότητος καὶ ἀληθείας, ἡ σύνοδος μίαν δείκνυσιν οἷς ἂν ἐγγένηται δόξαν τοῦ καθ' ὁμοίωσιν ἀκραιφνοῦς ἀπαστράπτουσαν.

Οἱ κατὰ πνεῦμα πατέρες, φησίν, διὰ τῆς διδασκαλίας θελόντων υἱῶν θέλοντες καθίστανται πατέρες, λόγῳ καὶ βίῳ κατὰ Θεὸν αὐτοὺς διαπλάττοντες, καὶ οἱ κατὰ πνεῦμα υἱοὶ κατὰ θέλησιν διὰ τῆς μαθήσεως αὐθαιρέτων υἱοὶ γίνονται πατέρων αὐθαίρετοι, γνωμικῶς κατὰ Θεὸν ὑπ' αὐτῶν λόγῳ τε καὶ βίῳ διαπλαττόμενοι. Ἡ γὰρ χάρις τοῦ Πνεύματος γνωμικὴν τὴν τῶν κατ' αὐτὴν γεννώντων καὶ γεννωμένων ἐργάζεται γέννησιν, ὅπερ οἱ κατὰ σάρκα πατέρες οὐκ ἔχουσιν, ἀκουσίων υἱῶν γινόμενοι πατέρες ἀκούσιοι· φύσεως γὰρ ἀλλ' οὐ γνώμης ἔργον καθέστηκεν ἡ τῶν φυσικῶς γεννώντων τε καὶ γεννωμένων διάπλασις.

Ἡ δυὰς ἐνταῦθα τὴν ὕλην δηλοῖ καὶ τὸ εἶδος, ὧν ἡ μὲν σύνοδος ποιεῖται σώματος γένεσιν, ἡ δὲ διάλυσις πέφυκε τοῦ αὐτοῦ ποιεῖσθαι φθοράν. Οὐκοῦν τὰ ἐξ ὕλης καὶ εἴδους ὄντα τῇ ἀρχῇ φυσικῶς ἀντικείμενον ἔχει τὸ τέλος, εἴπερ ἡ φθορὰ τῆς γενέσεώς ἐστιν ἀναίρεσις.

Γενέσεως δὲ καὶ φθορᾶς ὑπερασπίζουσιν αἱ δύο δυνάμεις, ἥ τε κατ' ἐπιθυμίαν καὶ ἡ θυμική· ἡ μὲν ἐφιεμένη δι' ἑαυτῆς κρατῆσαι πρὸς τὸ εἶναι τὴν γένεσιν, ἡ δὲ τὴν ἐκ τῆς φθορᾶς ἀγωνιστικῶς ἀπωθουμένη διάλυσιν. Τούτων συνήγοροι τῶν δυνάμεων οἱ πονηροὶ καθίστανται δαίμονες, οἱ μὲν τὴν κατ' ἐπιθυμίαν τῆς ψυχῆς ἀπὸ τῶν θείων ἐκστα-

μυστικῶν θεαμάτων ἀπὸ τὴν ψυχή, πράγμα ποὺ εἶναι ἡ ἁπλὴ ἀλήθεια. Πρὸς αὐτὰ ὁδηγεῖ ὁ νοῦς ἀφοῦ γίνει καθαρὸς ἀπὸ τὴ φαντασία τῆς αἴσθησης, καὶ ὁ λόγος ἀφοῦ ὑποτάξει στὸν ἑαυτό του τὸ ζωτικὸ μέρος τῆς ψυχῆς. Ἡ ἕνωση, λέει, αὐτῶν τῶν δύο, τῆς νίκης καὶ τῆς σοφίας, δηλαδὴ τῆς ἀγαθότητας καὶ τῆς ἀλήθειας, δείχνει, σὲ ὅποιους πραγματοποιεῖται, μιὰ δόξα ποὺ ἀπαστράπτει τὴν ὁλοκάθαρη ὁμοίωση.

7. Οἱ πνευματικοί, λέει, πατέρες γίνονται θέλοντας μὲ τὴ διδασκαλία τους πατέρες υἱῶν ποὺ κι αὐτοὶ θέλουν, πλάθοντάς τους σύμφωνα μὲ τὸ Θεὸ μὲ τὸ λόγο καὶ μὲ τὸ βίο τους. Καὶ οἱ πνευματικοὶ υἱοὶ μὲ τὴ θέλησή τους γίνονται μὲ τὴ μάθηση αὐτοπροαίρετα υἱοὶ αὐτοπροαίρετων πατέρων, διαπλασσόμενοι μὲ τὴ θέλησή τους ἀπὸ αὐτοὺς μὲ τὸ λόγο καὶ τὸ βίο τους. Γιατὶ ἡ χάρη τοῦ Πνεύματος ἐπιτελεῖ σύμφωνα μὲ τὴ γνώμη τους τὴ γέννηση ἐκείνων ποὺ γεννοῦν καὶ γεννιοῦνται σύμφωνα μὲ αὐτήν, πράγμα ποὺ δὲν τὸ ἔχουν οἱ κατὰ σάρκα πατέρες, ἀλλὰ γίνονται χωρὶς νὰ τὸ θέλουν πατέρες ἀκούσιων υἱῶν. Γιατὶ ἡ διάπλαση ἐκείνων ποὺ γεννοῦν φυσικὰ καὶ γεννιοῦνται εἶναι ἔργο τῆς φύσης κι ὄχι τῆς γνώμης.

8. Ἡ δυάδα ἐδῶ δηλώνει τὴν ὕλη καὶ τὸ εἶδος, ἡ συνένωση τῶν ὁποίων προκαλεῖ τὴ γένεση τοῦ σώματος, ἐνῶ ἡ διάλυσή τους, ὡς ἀπὸ τὴ φύση της, προκαλεῖ τὴ φθορά τους. Ἐπομένως τὰ σύνθετα ἀπὸ ὕλη καὶ εἶδος ὄντα ἔχουν ἀντίθετο στὴν ἀρχή τους τὸ τέλος, ἐφόσον ἡ φθορὰ εἶναι ἀναίρεση τῆς γένεσης.

Τὴν γένεση καὶ τὴ φθορὰ τὶς ὑπερασπίζονται δύο δυνάμεις, ἀπὸ τὴ μιὰ ἡ ἐπιθυμία κι ἀπὸ τὴν ἄλλη τὸ θυμικό· ἡ μία ἐπιθυμεῖ νὰ κρατήσει τὴ γένεση στὸ εἶναι, ἡ ἄλλη ἀπωθεῖ ἀγωνιστικὰ τὴ διάλυση ποὺ προκαλεῖ ἡ φθορά. Συνήγοροι τῶν δυνάμεων αὐτῶν γίνονται οἱ πονηροὶ δαίμονες, ἀπὸ τοὺς ὁποίους ἄλλοι προβάλλουν στὸ νόμο τῆς φύσης τὴ

σιν, ἧς ὁ οἶνος ὑπάρχει σύμβολον, οἱ δὲ τὴν ἐπὶ τοῖς ὑλικοῖς τυραννίδα τῆς θυμικῆς δυνάμεως, ἧς εἰκὼν ἡ βασιλεία καθέστηκε, προβαλλόμενοι τῷ νόμῳ τῆς φύσεως παραπεῖσαι βουλόμενοι τὴν κατ' αὐτὰς ἐμπαθῆ ψηφίσασθαι ζωήν.

Ἡ δὲ μονὰς τὴν ἁπλῆν σημαίνει κατ' οὐσίαν ψυχήν, ὡς εἰκόνα τῆς κατ' οὐσίαν ὑπερφυοῦς τρισυποστάτου μονάδος, ἧς ὁ νοῦς, φημὶ δὲ τῆς ψυχῆς, ὡς εἷς μιᾶς ὑπάρχει συνήγορος, τὴν εἰς τὸν Θεὸν πίστιν διὰ τῆς ἀληθείας καὶ τὴν εἰς αὐτὸν ἀγάπην διὰ τῶν γυναικῶν, πάντων ἰσχυροτέραν ἀποδεικνὺς τῷ νόμῳ τῆς φύσεως, καὶ τὸ κατ' αὐτὰς κράτος αὐτὸν πείθων ψηφίσασθαι.

9 Ὅτι τῇ καθ' ὑπεροχὴν στερήσει τῶν πολλῶν ὡς ἓν καὶ μόνον ἡ ἀλήθεια πέφυκεν ἀναφαίνεσθαι, φησίν, καλύπτουσα πάντων τῶν νοεῖν ἢ νοεῖσθαι δυναμένων τὰς γνωστικὰς δυνάμεις, ὡς ὑπὲρ τὰ νοοῦντά τε καὶ τὰ νοούμενα καθ' ὕπαρξιν ὑπερούσιον οὖσα καὶ ἀπείρῳ δυνάμει τὰς κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος τῶν ὄντων ἀκρότητος περιγράφουσα, πᾶσαν πάντων πρὸς ἑαυτὴν συνέλκει κίνησιν, τοῖς μὲν παρεχομένη γνῶσιν ἀρίδηλον ἧς ἐστερήθησαν χάριτος, τοῖς δὲ δωρουμένη κατ' αἴσθησιν ἄρρητον ἧς εἶχον τὴν ἔφεσιν ἀγαθότητος τῇ μεθέξει φανερὰν τὴν ἐπίγνωσιν.

10 Τὸν ἐν Βαβυλῶνι λαὸν ἀλληγορικῶς νοεῖ τοὺς εἰς δουλείαν παθῶν κεκρατημένους λογισμούς, τὸν δὲ Δαρεῖον τὸν φυσικὸν νόμον, τὸν δὲ Ζοροβάβελ τὸν γνωστικὸν νοῦν, τὴν Ἰουδαίαν δὲ τὴν ἀρετήν, τὴν Ἰερουσαλὴμ δὲ τὴν ἕξιν τῆς ἀπαθείας, τὸν δὲ ναὸν τὴν δεκτικὴν τῆς σοφίας γνῶσιν, τὴν δὲ πρὸς τὴν Ἰουδαίαν ἐκ Βαβυλῶνος ἀνάβασιν τὴν ἀπὸ τῶν σωματικῶν εἰς τὰ πνευματικὰ διὰ μετανοίας τῆς διανοίας μετάθεσιν.

11 Αἴτιον εἶναι λέγει τῆς τῶν θείων διανομῆς ἀγαθῶν τὸ μέ-

σύμφωνη μὲ τὴν ἐπιθυμία ἀπομάκρυνση τῆς ψυχῆς ἀπὸ τὰ θεῖα, ποὺ σύμβολό της εἶναι τὸ κρασί, κι ἄλλοι τὴν τυραννικὴ ἐξουσία τοῦ θυμικοῦ πάνω στὰ ὑλικά, ποὺ εἰκόνα της εἶναι ἡ βασιλεία, θέλοντας νὰ τὴν παραπείσουν ὥστε νὰ ψηφίσει τὴ σύμφωνη μ' αὐτὲς γεμάτη πάθος ζωή.

Ἡ μονάδα σημαίνει τὴν ἁπλὴ στὴν οὐσία ψυχή, ὡς εἰκόνα τῆς ὑπερφυσικῆς στὴν οὐσία τρισυπόστατης μονάδας, τῆς ὁποίας συνήγορος, ἐννοῶ τῆς ψυχῆς, ποὺ εἶναι μία, εἶναι ὁ νοῦς ὡς ἕνας κι αὐτός, ποὺ ὑποδεικνύει μὲ τὸ νόμο τῆς φύσης ἰσχυρότερη ἀπὸ ὅλα τὴν πίστη στὸ Θεὸ μὲ τὴν ἀλήθεια καὶ τὴν ἀγάπη σ' αὐτὸν μὲ τὶς γυναῖκες καὶ τὴν πείθει νὰ ψηφίσει τὴν ὑπερίσχυση αὐτῶν τῶν δύο.

9. Μὲ τὴν ὑπεροχικὴ στέρηση τῶν πολλῶν ὡς ἕνα καὶ μόνο, λέει, ἔχει στὴ φύση της νὰ ἐμφανίζεται ἡ ἀλήθεια, καλύπτοντας ὅλα ὅσα εἶναι δυνατὸ νὰ νοοῦν καὶ νὰ νοοῦνται τὶς γνωστικὲς δυνατότητες, ἐπειδὴ εἶναι μὲ τὴν ὑπερούσια ὕπαρξή της πάνω ἀπὸ ὅσα νοοῦν καὶ νοοῦνται καὶ μὲ τὴν ἄπειρη δύναμή της περικλείει τὰ ἄκρα τῶν ὄντων στὴν ἀρχὴ καὶ στὸ τέλος τους, συνέλκει πρὸς τὸν ἑαυτό της στὸ σύνολό της τὴν κίνηση ὅλων, παρέχοντας σὲ ἄλλα ὁλοφάνερη γνώση τῆς χάριτος ποὺ στερήθηκαν καὶ σὲ ἄλλα δωρίζοντας μὲ μιὰ ἄρρητη αἴσθηση φανερὰ μὲ τὴ μέθεξή της τὴν ἐπίγνωση τῆς ἔφεσης καὶ τῆς ἀγαθότητας ποὺ εἶχαν.

10. Τοὺς λογισμοὺς ποὺ κρατιοῦνται στὴ δουλεία τῶν παθῶν θεωρεῖ ἀλληγορικὰ ὡς τὸν Ἰουδαϊκὸ λαὸ στὴ Βαβυλώνα, τὸν Δαρεῖο ὡς τὸ φυσικὸ νόμο, τὸ Ζοροβάβελ ὡς τὸ γνωστικὸ νοῦ, τὴν Ἰουδαία ὡς τὴν ἀρετή, τὴν Ἰερουσαλὴμ ὡς τὴν ἕξη τῆς ἀπάθειας, τὸ ναὸ ὡς τὴ γνώση ποὺ δέχεται τὴ σοφία, τὴν ἀνάβαση ἀπὸ τὴ Βαβυλώνα στὴν Ἰουδαία ὡς τὴ μετάθεση τῆς διάνοιας ἀπὸ τὰ σωματικὰ στὰ πνευματικὰ μὲ τὴ μετάνοια.

11. Αἴτιο τῆς διανομῆς τῶν θείων ἀγαθῶν εἶναι, λέει, τὸ μέτρο

τρον τῆς ἑκάστου πίστεως· καθὼς γὰρ πιστεύομεν, καὶ τὴν ἐπὶ τὸ πράττειν τῆς προθυμίας ἐπόδοσιν ἔχομεν. Ὁ γοῦν πράττων κατὰ τὴν ἀναλογίαν τῆς πράξεως ἐπιδείκνυται τὸ μέτρον τῆς πίστεως, δεχόμενος, ὡς ἐπίστευσεν, τὸ μέτρον τῆς χάριτος. Ὁ δὲ μὴ πράττων κατὰ τὴν ἀναλογίαν τῆς ἀπραξίας ἐπιδείκνυται τὸ μέτρον τῆς ἀπιστίας, δεχόμενος, ὡς ἠπίστησεν, τὴν τῆς χάριτος στέρησιν. Οὐκοῦν κακῶς ποιεῖ βασκαίνων τοῖς κατορθοῦσιν ὁ φθονερός, ἐπ' αὐτῷ σαφῶς ἀλλ' οὐκ ἐπ' ἄλλῳ κειμένης τῆς τοῦ πιστεύειν τε καὶ πράττειν καὶ πρὸς τὸ μέτρον τῆς πίστεως ἐρχομένην δέξασθαι τὴν χάριν ἐπιλογῆς.

12 Καλῶς ἐδείχθη τῇ ἀληθείᾳ συμβαίνων ὁ τύπος. Ὥσπερ γὰρ ὁ Ζοροβάβελ οὐ γέγονεν αἰχμάλωτος, ἀλλ' ἐκ τῶν αἰχμαλώτων ἐν Βαβυλῶνι τότε δεδουλωμένων ἐγεννήθη καὶ γέγονεν αὐτῶν λυτρωτής, οὕτω καὶ ὁ Κύριος, ἀναμάρτητος ὤν, ἐξ ἡμῶν ἐν ἡμῖν ὡς εἷς ἐξ ἡμῶν κατελογίσθη, τὸ τῆς φύσεως ἡμῶν ἑκουσίως ὑποδὺς παθητόν, καθ' ὅ, τῆς ἡμῶν πρὸς ἀλήθειαν φυσικῆς ἀνασχόμενος ἀσθενείας, τοῦ φθοροποιοῦ κράτους ἡμᾶς ἠλευθέρωσε καὶ εἰς οὐρανοὺς ἡμᾶς ἀνήγαγεν ἀπὸ γῆς, τῇ μὲν δυνάμει τῆς αὐτοῦ σαρκώσεως ὅλην ἀνελλιπῶς ἐν ἑαυτῷ καθ' ἕνωσιν ἄρρητον τὴν φύσιν προσλαβών, τῇ δὲ κλήσει τῆς χάριτος μόνους ἐκείνους τοὺς δεξαμένους τε περιχαρῶς τὴν κλῆσιν καὶ διὰ τῶν ἔργων τὴν χάριν αἰδεσθέντας τῆς ἀναπλάσεως.

13 Σὰρξ ἁμαρτίας ἐστὶν ἡ ἐκ σπορᾶς ἀνδρὸς τὴν γένεσιν ἔχουσα· κατὰ ταὐτὸν γὰρ ἔχει δυνάμει τὴν ἁμαρτίαν καὶ τὴν φθορὰν κατὰ φύσιν, τὴν μὲν ἀρχήν, τὴν δὲ τέλος ἔχουσα τῆς οἰκείας γενέσεως. Ἡ δὲ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἐστὶ σὰρξ ἡ δίχα σπορᾶς ἀνδρὸς συστᾶσα τοῦ Κυρίου σάρξ, κατὰ φύσιν μὲν ἔχουσα τὴν φθοράν, καθ' ἣν ἡμῖν ὅμοιος ἦν, κατὰ δύναμιν δὲ φύσει τὴν ἀναμαρτησίαν, καθ' ἣν ἡμῖν ἀνόμοιος ἦν.

τῆς πίστης τοῦ καθενός. Ἀνάλογα δηλαδὴ μὲ τὴν πίστη μας ἔχομε καὶ τὴν ἔνταση τῆς προθυμίας μας γιὰ τὴν πράξη. Ὅποιος λοιπὸν πράττει, δείχνει τὸ μέτρο τῆς πίστης του ἀνάλογο μὲ τὴν πράξη του, δεχόμενος, σύμφωνα μὲ τὴν πίστη του, τὸ μέτρο τῆς χάριτος. Ὅποιος ὅμως δὲν πράττει δείχνει ἀνάλογο μὲ τὴν ἀπραξία του τὸ μέτρο τῆς ἀπιστίας του, δεχόμενος σύμφωνα μὲ τὴν ἀπιστία του, τὴ στέρηση τῆς χάριτος. Ἐπομένως κάνει ἄσχημα ὁ φθονερὸς ζηλεύοντας ὅσους πετυχαίνουν, ἀφοῦ ἀπὸ τὸν ἴδιο ἐξαρτᾶται κι ὄχι ἀπὸ ἄλλον ἡ ἐπιλογὴ νὰ πιστεύει καὶ νὰ πράττει καὶ νὰ δεχθεῖ τὴν χάρη ἀνάλογα μὲ τὸ μέτρο τῆς πίστης.

12. Ἀποδείχτηκε ὅτι καλὰ ταιριάζει ὁ τύπος μὲ τὴν ἀλήθεια. Ὅπως δηλαδὴ ὁ Ζοροβάβελ δὲν εἶχε αἰχμαλωτιστεῖ, ἀλλὰ γεννήθηκε ἀπὸ τοὺς αἰχμαλώτους τότε τῆς Βαβυλώνας κι ἔγινε ὁ λυτρωτής τους, ἔτσι κι ὁ Κύριος, ἐνῶ ἦταν ἀναμάρτητος, ἀπὸ μᾶς καὶ ἀνάμεσά μας θεωρήθηκε σὰν ἕνας ἀπὸ μᾶς, ἀφοῦ ἀνέλαβε θέλοντας τὴν παθητότητα τῆς φύσης μας, σύμφωνα μὲ τὴν ὁποία, ἀναλαμβάνοντας τὴ φυσική μας ἀσθένεια πρὸς τὴν ἀλήθεια, μᾶς ἐλευθέρωσε ἀπὸ τὴ φθοροποιὸ δύναμη καὶ ἀπὸ τὴ γῆ μᾶς ἀνέβασε στοὺς οὐρανούς, ἀφοῦ προσέλαβε ὅλη, χωρὶς καμμιὰ ἔλλειψη, μὲ μιὰ ἄρρητη ἕνωση, τὴ φύση μας μὲ τὴ δύναμη τῆς σάρκωσής του καὶ μὲ τὴν κλήση τῆς χάριτος ἐκείνους μόνο ποὺ δέχτηκαν περίχαρα τὴν κλήση καὶ μὲ τὰ ἔργα τους σεβάστηκαν τὴ χάρη τῆς ἀνάπλασης.

13. Σάρκα τῆς ἁμαρτίας εἶναι ἡ σάρκα ποὺ γεννήθηκε ἀπὸ τὴ μεσολάβηση τοῦ ἄνδρα, καὶ γι' αὐτὸ ἀκριβῶς ἔχει δυνάμει τὴν ἁμαρτία καὶ τὴ φθορὰ κατὰ φύση, ἔχοντας τὴ μία ἀρχὴ καὶ τὴν ἄλλη τέλος τῆς γένεσής του. Καὶ ἡ σάρκα ποὺ εἶναι ὁμοίωμα σάρκας τῆς ἁμαρτίας εἶναι ἡ σάρκα τοῦ Κυρίου ποὺ ἔλαβε σύσταση χωρὶς μεσολάβηση ἄνδρα, ποὺ ἔχει βέβαια στὴ φύση του τὴ φθορά, ὡς πρὸς τὴν ὁποία ἦταν ὅμοιός μας, ἀλλὰ κατὰ δύναμη, ὡς ἀπὸ τὴ φύση του, ἔχει τὴν ἀναμαρτησία, ὡς πρὸς τὴν ὁποία ἦταν ἀνόμοιός μας.

14 Ἐπειδή, φησίν, ὡς πρὸς τὴν ἄκρατον τε καὶ ἄκραν θεολογίαν δεύτερός ἐστιν ὁ τῆς σαρκώσεως λόγος (ἡ μὲν γὰρ τοῦ περὶ τὴν οὐσίαν ἄκρου καθέστηκε λόγου, ὁ δὲ τῆς κατὰ τὴν πρόνοιαν ἀκροτάτης ἐνεργείας ὑπάρχει συνεκτικός), «ὑποκάτωθεν ἀνατολὴ» προσηγορεύθη τῷ Πνεύματι· ἐν γὰρ τῷ Λόγῳ τῆς θείας σαρκώσεως ἡ τῶν αἰώνων τε καὶ τῶν ἐν αἰῶνι περιέχεται γένεσις καὶ ἡ πρὸς ἀοριστίαν τῆς ὑπὲρ αἰῶνας κατὰ χάριν ζωῆς τῶν ὄντων παράτασις.

15 Ὁ τῶν καλῶν, φησίν, ἐραστὴς κατὰ πρόνοιαν σοφίας λόγοις ἑκουσίως ἐπείγεται πρὸς τὴν τῆς θεωρίας χάριν, ὁ δὲ τούτων ἀνέραστος κατὰ τὴν δικαίαν κρίσιν παιδείας τρόποις ἀκουσίως κακίας ἀπάγεται, ὁ μὲν ὡς φιλόθεος διὰ τῆς προνοίας θεούμενος, ὁ δὲ διὰ τῆς κρίσεως ὡς φίλυλος εἰς κατάκρισιν ἐλθεῖν μὴ συγχωρούμενος.

16 Πῦρ μὲν ἡμῶν ὑπάρχει ψεκτὸν ὁ τῆς σαρκὸς νόμος, φῶς δὲ τούτου τοῦ πυρός ἐστιν ἡ κατὰ τοῦτον τὸν ψεκτὸν νόμον ἐν ἕξει τῶν παθῶν κίνησις, ἡ δὲ ψεκτὴ φλόξ ἐστιν ἡ διὰ τῆς ἐνεργείας ἔκκαυσις τῶν παθῶν.

Ἢ πάλιν, πῦρ μέν ἐστι ψεκτὸν ἡ κακία, φῶς δὲ ψεκτὸν ἡ τῆς κακίας ἕξις, φλὸξ δὲ ἡ ἐνέργεια. Οὐ δεῖ οὖν τούτῳ τὸν νοῦν θερμαίνεσθαι τῷ πυρί, μηδὲ τούτῳ φωτίζεσθαι τῷ φωτί, μηδὲ ταύτῃ καταπίμπρασθαι τῇ φλογί· τὸ γὰρ καθ' ἡδονὴν πρὸς αἴσθησιν φῶς πρὸς νοῦν σκότος ὑπάρχει βαθύτατον.

17 Ἡ μὲν ὄντως πίστις ἀληθείας ἐστὶν συστατική, ψεῦδος οὐκ ἔχουσα, ἡ δὲ ἀγαθὴ συνείδησις τὴν τῆς ἀγάπης ἐπιφέρεται δύναμιν, ὡς μηδεμίαν ἔχουσα θείας παράβασιν ἐντολῆς.

18 Ἡ ἀνάστασις ἀνάπλασίς ἐστι τῆς φύσεως, πλεονεκτοῦσα τὴν τῆς φύσεως ἐν τῷ παραδείσῳ διάπλασιν, γενικῶς μὲν τῇ καθόλου τῶν ὅλων ἀτρεψίᾳ, ἰδικῶς δὲ τῇ κατὰ χάριν ἀρρήτῳ θεώσει τῶν ἁγίων.

14. Ἐπειδή, λέει, ὡς πρὸς τὴν ἄκρατη καὶ ἄκρα θεολογία ὁ λόγος τῆς σάρκωσης εἶναι δεύτερος –γιατὶ ἡ μία ἀναφέρεται στὴν οὐσία τοῦ ἄκρου Λόγου κι ὁ ἄλλος εἶναι συνεκτικὸς τῆς ἀνώτατης ἐνέργειας τῆς πρόνοιας– ὀνομάσθηκε ἀπὸ τὸ Πνεῦμα ἀνατολὴ ἐκ τῶν κάτω. Γιατὶ στὸ λόγο τῆς θείας σάρκωσης περιέχεται ἡ γένεση τῶν αἰώνων καὶ ὅσα περιέχουν οἱ αἰῶνες, καὶ ἡ παράταση στὴν ἀοριστία τῆς ὑπεραιώνιας κατὰ χάρη ζωῆς.

15. Ὁ ἐραστὴς τῶν καλῶν, λέει, μὲ ἑκούσιους λόγους προνοητικὰ ἐπείγεται πρὸς τὴ χάρη τῆς θέωσης, ἐνῶ ὅποιος δὲν ἔχει ἐρωτευθεῖ αὐτὰ τὰ καλὰ μὲ δίκαιη ἀπόφαση μὲ διάφορες μορφὲς παιδείας ἀπάγεται χωρὶς νὰ θέλει ἀπὸ τὴν κακία· ὁ ἕνας ὡς φίλος τοῦ Θεοῦ θεώνεται μὲ τὴν πρόνοια, ἐνῶ ὁ ἄλλος μὲ τὴν κρίση ὡς φιλόυλος δὲν ἀφήνεται νὰ φτάσει στὴν κατάκριση.

16. Ὁ νόμος τῆς σάρκας εἶναι γιὰ μᾶς φωτιὰ ψεκτή. Φῶς τῆς φωτιᾶς αὐτῆς εἶναι ἡ ἕξη τῆς κίνησης τῶν παθῶν σύμφωνα μ' αὐτὸν τὸν ψεκτὸ νόμο, ἐνῶ ἡ ψεκτὴ φλόγα εἶναι τὸ συδαύλισμα τῶν παθῶν μὲ τὴν ἐνέργειά τους.

Ἢ πάλι φωτιὰ ψεκτὴ εἶναι ἡ κακία, ἐνῶ φῶς ψεκτὸ εἶναι ἡ ἕξη τῆς κακίας καὶ φλόγα ἡ ἐνέργειά της. Δὲν πρέπει λοιπὸν ὁ νοῦς νὰ θερμαίνεται μ' αὐτὴ τὴ φωτιά, οὔτε νὰ φωτίζεται μὲ τοῦτο τὸ φῶς οὔτε μ' αὐτὴ τὴ φλόγα νὰ κατακαίεται. Γιατὶ τὸ φῶς ποὺ προκαλεῖ τὴν ἡδονὴ τῆς αἴσθησης γίνεται βαθύτατο σκοτάδι τοῦ νοῦ.

17. Ἡ ἀληθινὴ πίστη ἀποτελεῖ τὴν ἀλήθεια, χωρὶς νὰ ἔχει ψεῦδος, ἐνῶ ἡ ἀγαθὴ συνείδηση προκαλεῖ τὴ δύναμη τῆς ἀγάπης, ἐπειδὴ δὲν τὴ συνοδεύει καμμιὰ παράβαση θείας ἐντολῆς.

18. Ἡ ἀνάσταση εἶναι ἀνάπλαση τῆς φύσης μας, ὄντας ἀνώτερη ἀπὸ τὴν πλάση τῆς φύσης μας στὸν παράδεισο, γενικὰ μὲ τὴν πλήρη ἀτρεψία τῶν ὅλων, καὶ εἰδικὰ μὲ τὴν κατὰ χάρη ἄρρητη θέωση τῶν ἁγίων.

19 *Χεῖρας τυχὸν εἶπεν ὁ λόγος τοῦ νοητοῦ Ζοροβάβελ τήν τε δημιουργικὴν δύναμιν, καθ' ἣν τὴν ἐπὶ τὸ εὖ εἶναι λαμβάνομεν γένεσιν, καὶ τὴν ἀνανεωτικήν, καθ' ἣν τὴν ἐπὶ τὸ εὖ εἶναι δεχόμεθα χάριν, ἢ τὴν ἐν ἡμῖν κατὰ τὴν πρᾶξιν τῶν ἀρετῶν ἀγαθουργὸν αὐτοῦ χάριν καὶ τὴν ἐπ' αὐτῇ κατὰ τὴν θεωρίαν ἀδιασκέδαστον χύσιν τῆς γνώσεως.*

20 *Λίθος ἡ πίστις ἐκλήθη διὰ τὸ στερρὸν ἄτρεπτόν τε καὶ βάσιμον καὶ παντελῶς ἀκίνητον τῆς κατ' αὐτὴν ἀληθείας καὶ μηδαμῶς ὑπεῖκον ψεύδους ἐπαναστάσεσιν, ἐν χειρὶ δὲ διὰ τὸ κατ' ἐνέργειαν πρακτικὸν καὶ πασῶν κατὰ περιγραφὴν τῶν ἀρετῶν συνεκτικόν, ἑπτὰ δὲ ὀφθαλμοὺς ἔχουσα διὰ τὸ διακριτικόν τε καὶ θεωρητικὸν καὶ τῆς παντελοῦς τῶν ὑπὸ χρόνον ἀπταίστου γνώσεως περιεκτικὸν καὶ τῆς ἀμιγοῦς, ὡς ἐν ἀριθμοῖς, ἑπταπλῆς τοῦ παναγίου Πνεύματος ἐνεργείας δεκτικόν.*

21 *Διάληψις ἀποδεικτικὴ τῆς ἰδιότητος ἑκάστου πνευματικοῦ χαρίσματος· φόβου γὰρ ἴδιον ἡ ἀποχὴ τῶν κακῶν, ἰσχύος δὲ ἡ πρᾶξις τῶν ἀγαθῶν, βουλῆς δὲ ἡ τῶν ἀντικειμένων διάκρισις, ἐπιστήμης δὲ ἡ τῶν καθηκόντων ἀνόθευτος εἴδησις, γνώσεως δὲ ἡ κατ' ἐνέργειαν τῶν ἐν ταῖς ἀρεταῖς θείων λόγων περίληψις, συνέσεως δὲ ἡ πρὸς τὰ γνωσθέντα διόλου τῆς ψυχῆς συνδιάθεσις, σοφίας δὲ ἡ πρὸς Θεὸν ἀδιάγνωστος ἕνωσις, καθ' ἣν τοῖς ἀξίοις ἡ ἔφεσις ἀπόλαυσις γίνεται, μεθέξει ποιοῦσα θεὸν τὸν μετέχοντα καὶ τῆς θείας αὐτὸν ὑποφήτην καθιστῶσα μακαριότητος κατὰ τὴν ἀέναον πρὸς τοὺς δεομένους τῶν θείων μυστηρίων ἀνεκπόμπευτον προβολὴν καὶ διέξοδον.*

22 *Τὸ πρὸς ἡμᾶς, φησίν, κατ' ἐνέργειαν πρῶτον ἀγαθόν, ὅπερ ἐστὶν ὁ φόβος, τελευταῖον ἀπηριθμήσατο τῆς Γραφῆς ὁ*

19. Χέρια τοῦ νοητοῦ Ζοροβάβελ ἴσως ὀνόμασε ὁ λόγος καὶ τὴν δημιουργικὴ δύναμη μὲ τὴν ποία λαμβάνομε τὴ γένεση γιὰ τὴ μακαριότητα, καὶ τὴν ἀνανεωτικὴ δύναμη μὲ τὴν ὁποία δεχόμαστε τὴ χάρη τῆς αἰώνιας μακαριότητας· ἢ τὴν ἀγαθοποιὸ μέσα μας χάρη του κατὰ τὴν ἐκτέλεση τῶν ἀρετῶν καὶ τὴν ἀδιασκόρπιστη ἔκχυση σ' αὐτὴν τῆς γνώσης κατὰ τὴ θεωρία.

20. Πέτρα ὀνομάστηκε ἡ πίστη ἐξαιτίας τῆς στερεότητας, τῆς ἀτρεψίας, τῆς βασιμότητας, τῆς πλήρους ἀκινησίας τῆς ἀλήθειάς της καὶ ἐπειδὴ δὲν ὑποχωρεῖ μὲ κανένα τρόπο στὶς ἐπαναστάσεις τοῦ ψεύδους. Εἶναι 'στὰ χέρια' ἐξαιτίας τῆς ἐνεργητικότητάς της στὴν πράξη καὶ τῆς συνεκτικότητας στὴν περιγραφὴ ὅλων τῶν ἀρετῶν· ἔχει αὐτὴ ἑπτὰ μάτια ἐξαιτίας τῆς δύναμης διάκρισης καὶ θεωρίας καὶ τῆς δύναμης περίληψης τῆς πλήρους ἀλάθευτης γνώσης ὅσων ὑπάρχουν μέσα στὸ χρόνο, καὶ ἐπειδὴ εἶναι δεκτικὴ τῆς ἀσύμμικτης, ὅπως στοὺς ἀριθμούς, ἑπταπλῆς ἐνέργειας τοῦ παναγίου Πνεύματος.

21. Διάκριση ποὺ ἀποδεικνύει τὴν ἰδιότητα κάθε πνευματικοῦ χαρίσματος, γιατὶ ἰδιαίτερο γνώρισμα τοῦ φόβου εἶναι ἡ ἀποχὴ ἀπὸ τὰ κακά, τῆς ἰσχύος ἡ πράξη τῶν ἀγαθῶν, τῆς βουλῆς, ἡ διάκριση τῶν ἀντιθέτων, τῆς ἐπιστήμης ἡ ἀνόθευτη ἐνημέρωση γιὰ τὰ καθήκοντα, τῆς γνώσης ἡ ἔμπρακτη περίληψη τῶν θείων λόγων γιὰ τὴν ἀρετή, τῆς σύνεσης ἡ καθολικὴ συμμετοχὴ τῆς ψυχῆς σὲ ὅσα ἔγιναν γνωστά, τῆς σοφίας ἡ ἀκατανόητη ἕνωση μὲ τὸ Θεό, κατὰ τὴν ὁποία ἡ ἔφεση γίνεται γιὰ τοὺς ἄξιους ἀπόλαυση, κάμνοντας ὅποιον τὴ μετέχει θεὸ μὲ τὴ μέθεξη καὶ καθιστώντας τον διδάσκαλο τῆς θείας μακαριότητας κατὰ τὴν ἀσταμάτητη καὶ ἀνεπίδεικτη προβολὴ κι ἐξήγηση τῶν θείων μυστηρίων σὲ ἐκείνους ποὺ τὰ ζητοῦν.

22. Τὸ ἀγαθό, λέει, ποὺ πρέπει νὰ εἶναι πρῶτο στὶς ἐνέργειές μας καὶ ποὺ εἶναι ὁ φόβος, ὁ λόγος τῆς Γραφῆς τὸ ἀρίθμη-

λόγος, ὡς σοφίας ἀρχήν, ἀφ' ἧς κινούμενοι πρὸς τὸ τῆς σοφίας τέλος τὴν σύνεσιν ἀναβαίνομεν, μεθ' ἣν προσεχεῖς αὐτῷ γινόμεθα τῷ Θεῷ, μόνην τὴν σοφίαν τῆς πρὸς αὐτὸν ἑνώσεως μεσιτεύουσαν ἔχοντες. Οὐ γάρ ἐστι δυνατὸν ἐπιλαβέσθαι σοφίας τὸν μὴ πρότερον διὰ τοῦ φόβου καὶ τῶν διὰ μέσου λοιπῶν χαρισμάτων τήν τε λήμην τῆς ἀγνοίας καὶ τὸν τῆς κακίας κονιορτὸν ἑαυτοῦ παντελῶς ἀποσεισάμενον. Διὰ τοῦτο Θεῷ μὲν προσεχῆ τὴν σοφίαν, ἡμῖν δὲ προσεχῆ τὸν φόβον ἡ γραφικὴ τάξις διέθηκεν, ἵν' ἡμεῖς εὐταξίας μάθωμεν ὅρον καὶ νόμον.

23 Ἡ σοφία, φησίν, μονάς ἐστιν, ταῖς ἐξ αὐτῆς διαφόρους ἀρεταῖς ἀτμήτως ἐνθεωρουμένη καὶ μονοειδῶς ταῖς τῶν ὅλων ἀρετῶν ἐνεργείαις ἐπισυναγομένη, καὶ πάλιν ἁπλῆ μονὰς ἀποδεικνυμένη ταῖς πρὸς αὐτὴν τῶν ἐξ αὐτῆς ἀρετῶν ἀποκαταστάσεσιν, ὅταν ἡμεῖς, δι' οὓς κατὰ τὴν ἑκάστης ἀρετῆς γένεσιν ποιεῖται τὴν πρόοδον, ἀνατατικῶς δι' ἑκάστης ἀρετῆς πρὸς αὐτὴν συναγώμεθα.

24 Τυφλὴν ἔχει τὴν πίστιν, φησίν, ὁ τὰ κατὰ τὴν πίστιν θεῖα προστάγματα μὴ ἐργαζόμενος. Εἰ γὰρ φῶς εἰσι τὰ τοῦ Κυρίου προστάγματα, δῆλον ὅτι δίχα θείου φωτός ἐστιν ὁ μὴ πράττων τὰ θεῖα προστάγματα, καὶ ψιλὴν ἀλλ' οὐκ ἀληθῆ τὴν τῆς πίστεως ἐπιφέρεται κλῆσιν.

25 Εἰ τὰς ἐνεργείας τοῦ Πνεύματος, φησίν, ὀφθαλμοὺς Κυρίου προσηγόρευσεν ὁ λόγος, ὁ μὴ τούτους τῇ πράξει τῶν ἐντολῶν διανοίγων ἐπιβλέποντα τὸν Θεὸν ἐπ' αὐτὸν οὐκ ἔχει. Δι' ἄλλων γάρ, ὡς εἰκός, ἐπισκοπεῖν ὀφθαλμῶν τοὺς ἐπὶ γῆς οὐ πέφυκεν ὁ Θεός, εἴπερ θείας ὁράσεως ἀκτίς ἐστιν ὁ κατ' ἀρετὴν ἡμῶν φωτισμός.

26 Ὁ κασσίτηρος, φησίν, τήν τε τοῦ ἀργύρου καὶ τοῦ μολίβου φυσικῶς ἔχων ἰδιότητα, χαρακτηρίζει τὴν πίστιν· κολά-

σε τελευταῖο, ἐπειδὴ εἶναι ἀρχὴ τῆς σοφίας. Ξεκινώντας ἀπὸ αὐτὴν ἀνεβαίνομε στὸ τέλος τῆς σοφίας, ποὺ εἶναι ἡ σύνεση· κι ἔπειτα ἀπὸ αὐτὴν γινόμαστε ἄμεσα κοινωνοὶ τοῦ Θεοῦ, ἔχοντας ὡς ἐνδιάμεση τῆς ἕνωσής μας μαζί του τὴ σοφία μόνο. Γιατὶ δὲν εἶναι δυνατὸ ν' ἀποκτήσει σοφία ὅποιος προηγουμένως δὲν ἔχει ἀποτινάξει τελείως ἀπὸ τὸν ἑαυτό του μὲ τὸ φόβο καὶ τὰ λοιπὰ ἐνδιάμεσα χαρίσματα τὴν τσίμπλα τῆς ἄγνοιας καὶ τὸν κονιορτὸ τῆς κακίας. Γι' αὐτὸ ἄμεσα κοντὰ στὸ Θεὸ τοποθέτησε ἡ Γραφὴ τὴ σοφία καὶ ἄμεσα κοντὰ σ' ἐμᾶς τὸ φόβο, γιὰ νὰ μάθομε τὸν ὅρο καὶ τὸ νόμο τῆς εὐταξίας.

23. Ἡ σοφία, λέει, εἶναι μονάδα, ποὺ θεωρεῖται ἀκατάτμητα στὶς διάφορες ἀρετὲς ποὺ προέρχονται ἀπὸ αὐτὴν καὶ συλλέγεται ἑνιαῖα ἀπὸ τὶς ἐνέργειες ὅλων τῶν ἀρετῶν. Καὶ πάλι ἀποδεικνύεται ἁπλὴ μονάδα μὲ τὶς ἀποκαταστάσεις σ' αὐτὴν τῶν ἀρετῶν ποὺ προέρχονται ἀπὸ αὐτήν, ὅταν ἐμεῖς, γιὰ τοὺς ὁποίους δημιουργεῖ τὴν πρόοδο κατὰ τὴ γένεση κάθε μιᾶς ἀρετῆς, συναγόμαστε μὲ κάθε ἀρετὴ μὲ τάση ἀνόδου πρὸς αὐτήν.

24. Ἔχει, λέει, τυφλὴ τὴν πίστη ὅποιος δὲν ἐργάζεται τὰ θεῖα προστάγματα τῆς πίστης. Γιατί, ἂν εἶναι φῶς τὰ προστάγματα τοῦ Κυρίου, εἶναι φανερὸ πὼς εἶναι δίχως θεῖο φῶς ὅποιος δὲν πράττει τὰ θεῖα προστάγματα καὶ φέρει ἁπλὴ κι ὄχι ἀληθινὴ τὴν κλήση τῆς πίστης.

25. Ἂν, λέει, ὁ λόγος τοῦ Κυρίου ὀνόμασε ὀφθαλμοὺς τὶς ἐνέργειες τοῦ Πνεύματος, ὅποιος δὲν τοὺς ἀνοίγει μὲ τὴν πράξη τῶν ἐντολῶν, δὲν ἔχει τὸ Θεὸ νὰ ρίχνει ἐπάνω του τὸ βλέμμα του. Γιατί, ὅπως εἶναι φυσικό, δὲν εἶναι στὴ φύση τοῦ Θεοῦ νὰ βλέπει μὲ ἄλλους ὀφθαλμοὺς τοὺς ἀνθρώπους στὴ γῆ, ἐφόσον ἀκτίνα τῆς θείας ὅρασης εἶναι ὁ φωτισμός μας ἀπὸ τὶς ἀρετές.

26. Ὁ κασσίτερος, λέει, ἔχοντας ἀπὸ τὴ φύση του τὴν ἰδιότητα καὶ τοῦ ἀργύρου καὶ τοῦ μολυβιοῦ, χαρακτηρίζει τὴν πίστη·

ζει γὰρ μὴ φυλαττομένη, μόλιβον ἔχουσα τὴν ἐπ' αἰῶσι τῶν μὴ φυλαξάντων αὐτὴν κατηγορίαν, καὶ δοξάζει τοὺς φυλάττοντας, ἄργυρον ἔχουσα διαφανῆ καὶ λαμπρὸν τὴν ἐπ' αἰῶσι τῶν φυλαξάντων αὐτὴν συνηγορίαν.

27 *Οὐδεὶς ἁμαρτάνων, φησίν, δύναται τῆς ἁμαρτίας συνήγορον ἔχειν τῆς σαρκὸς τὴν ἀσθένειαν. Ἡ γὰρ πρὸς τὸν Θεὸν Λόγον ἕνωσις ὅλην τὴν φύσιν τῇ λύσει τῆς κατάρας ἀνέρρωσεν, ἀπροφάσιστον ἡμῖν ποιησαμένη τὴν πρὸς τὰ πάθη τῆς γνώμης προσπάθειαν· ἡ γὰρ τοῦ Λόγου θεότης, κατὰ χάριν ἀεὶ συνοῦσα τοῖς εἰς αὐτὸν πιστεύουσιν, τὸν ἐν τῇ σαρκὶ νόμον τῆς ἁμαρτίας ἀπομαραίνει.*

28 *Ὥσπερ, φησίν, ὁ κασσίτηρος μελαινόμενος λαμπρύνεται πάλιν, οὕτω καὶ οἱ πιστεύοντες, κἂν μελαίνονται ἁμαρτάνοντες, λαμπρύνονται πάλιν μετανοοῦντες, δι' ἣν αἰτίαν κασσιτήρῳ τυχὸν ἡ πίστις παρεικάσθη.*

ὅταν δηλαδὴ δὲν φυλάγεται αὐτὴ κολάζει, κρατώντας βαριὰ σὰν μολύβι τὴν κατηγορία ὅσων δὲν τὴν φύλαξαν στοὺς αἰῶνες, ἐνῶ δοξάζει ὅσους τὴ φυλάγουν, κρατώντας σὰν ἀσήμι διάφανη καὶ λαμπρὴ τὴ συνηγορία τους στοὺς αἰῶνες.

27. Κανένας, λέει, ποὺ ἁμαρτάνει δὲν μπορεῖ νὰ πάρει συνήγορο τῆς ἁμαρτίας του τὴν ἀδυναμία τῆς σάρκας. Γιατὶ ἡ ἕνωση μὲ τὸ Θεὸ Λόγο ἐνδυνάμωσε μὲ τὴ διάλυση τῆς κατάρας ὅλη ἡ φύση μας κι ἀφαίρεσε κάθε πρόφαση ἀπὸ τὴ γνώμη μας γιὰ τὴν προσκόλλησή της στὰ πάθη. Ὄντας δηλαδὴ ἡ θεότητα τοῦ Λόγου κατὰ χάρη μαζὶ πάντοτε μὲ ὅσους πιστεύουν σ' αὐτὸν ἀπομαραίνει τὸ νόμο τῆς ἁμαρτίας ποὺ εἶναι στὴ σάρκα μας.

28. Ὅπως, λέει, ὁ κασσίτερος ὅταν μαυρίσει ἀποχτᾶ πάλι τὴ λάμψη του, ἔτσι κι ὅσοι πιστεύουν ἀκόμα κι ἂν μαυρίζουν ἁμαρτάνοντας, παίρνουν πάλι τὴ λάμψη του μὲ τὴ μετάνοια. Γι' αὐτὸ τὸ λόγο ἴσως καὶ ἡ πίστη παρομοιάστηκε μὲ κασσίτερο.

ΕΡΩΤΗΣΙΣ ΝΕ'

«Οἱ δὲ πάντες ἦσαν ἐξ Ἰσραὴλ ἀπὸ δωδεκαετοῦς, χωρὶς παίδων καὶ γυναικῶν, μυριάδες τέσσαρες τρισχίλιοι τριακόσιοι ἑξήκοντα· παῖδες τούτων καὶ παιδίσκοι ἑπτακισχίλιοι τριακόσιοι ἑπτά· ψάλται καὶ ψαλμῳδοὶ ὀκτακόσιοι πεντηκονταπέντε· κάμηλοι τετρακόσιοι τριακονταπέντε, καὶ ἵπποι ἑπτακισχίλιοι ἑπτακόσιοι τριακονταέξ· ἡμίονοι ὀκτακόσιοι τεσσαράκοντα πέντε· ὑποζύγια πεντακισχίλια πεντακόσια εἰκοσιπέντε». Ποίησον ἀγάπην τοιούτων μεγάλων καὶ ὑψηλῶν περὶ τῆς ἐκ τῆς αἰχμαλωσίας ἐπανόδου ὑπὸ τοῦ ἁγίου Πνεύματος διὰ τῶν προφητῶν εἰρημένων· τίς ἡ τοσαύτη ταπεινότης καὶ ἀκαιρόγραφος ἐξήγησις καὶ ἀναξιότης τοῦ Πνεύματος, καμήλων μνημονεῦσαι καὶ ἵππων καὶ ἡμιόνων καὶ ὄνων καὶ ταῦτα μετὰ ἀκριβείας ἀριθμοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ μὲν δι' ἀκριβείας περὶ τούτων εἰπεῖν μόνων ἐκείνων ἐστὶ τῶν διὰ πολλὴν καθαρότητα νοῦ θεόθεν ὅλην εἰληφότων τὴν ἐφικτὴν ἀνθρώποις χάριν(1) τοῦ Πνεύματος, καθ' ἥν, τῷ πελάγει τῶν μυστικῶν θεαμάτων γνωστικῶς ἐνδιαθέτοντες, τοὺς λόγους μόνον ὁρῶσι τῶν γεγραμμένων γυμνοὺς τῶν ἐπ' αὐτοῖς τυπικῶν συνθημάτων, μηδενὸς τὸ σύνολον ποιούμενοι λόγον τῶν τυπούντων αὐτοὺς συμβόλων, εἰ μή που βουληθῶσι(2) σοφῶς αὐτοὺς τυπῶσαι σωματικῶς τοῖς διὰ νηπιότητα νοῦ γενέσθαι, μὴ δυναμένοις ὑπὲρ τὴν αἴσθησιν, ἵνα, τοῖς τύποις πρότε-

ΕΡΩΤΗΣΗ 55

«Ὅλοι οἱ Ἰσραηλίτες ἀπὸ δώδεκα χρόνων καὶ ἐπάνω, χωρὶς τὰ παιδιὰ καὶ τὶς γυναῖκες, ἦταν σαράντα τρεῖς χιλιάδες τριακόσιοι ἑξήντα· τ' ἀγόρια καὶ τὰ κορίτσια τους ἦταν ἑφτὰ χιλιάδες τριακόσια ἑφτά, ψάλτες καὶ ψαλμωδοὶ ὀχτακόσιοι σαράντα πέντε· καμῆλες τετρακόσιες τριάντα πέντε, ἵπποι ἑφτὰ χιλιάδες ἑπτακόσιοι τριάντα ἕξι, ἡμίονοι ὀχτακόσιοι σαράντα πέντε, ὑποζύγια πέντε χιλιάδες εἰκοσιπέντε»[1]. Δεῖξε ἀγάπη γιὰ τὰ τόσα μεγάλα καὶ ὑψηλὰ ποὺ εἶπε τὸ ἅγιο Πνεῦμα μὲ τὸ στόμα τῶν προφητῶν γιὰ τὴν ἐπιστροφὴ ἀπὸ τὴν αἰχμαλωσία. Τί σημαίνει ἡ τόση ἀσχολία μὲ ταπεινὰ καὶ ἡ ἄκαιρη ἐξήγηση καὶ ἡ ἐπιμονὴ τοῦ Πνεύματος σ' ἀνάξια πράγματα, νὰ μνημονεύσει δηλαδὴ καμῆλες καὶ ἵππους καὶ ἡμιόνους καὶ ὄνους καὶ μάλιστα μὲ τὸν ἀκριβὴ ἀριθμό τους;

ΑΠΟΚΡΙΣΗ

Τὸ νὰ μιλήσουν γι' αὐτὰ μὲ ἀκρίβεια εἶναι γνώρισμα ἐκείνων ποὺ γιὰ τὴν πολλὴ καθαρότητα τοῦ νοῦ τους ἔχουν λάβει ἀπὸ τὸ Θεὸ ὅλη τὴ χάρη τοῦ Πνεύματος ποὺ μποροῦν νὰ λάβουν οἱ ἄνθρωποι, μὲ τὴν ὁποία χάρη διασχίζοντας γνωστικὰ τὸ πέλαγος τῶν μυστικῶν θεαμάτων, βλέπουν μονάχα τοὺς λόγους γυμνοὺς ἀπὸ τὰ τυπικὰ σύμβολα ποὺ τοὺς καλύπτουν, χωρὶς νὰ ἀναφέρονται καθόλου στοὺς τύπους ποὺ τὰ συμβολίζουν, ἐκτὸς μόνο ἂν κάπου θελήσουν νὰ τοὺς διατυπώσουν ὑλικὰ γιὰ χάρη ἐκείνων ποὺ ἐξαιτίας τῆς νηπιότητας τοῦ νοῦ τους δὲν μποροῦν νὰ ξεπεράσουν τὴν αἴσθηση, ὥστε, ἀφοῦ πρῶτα

1. Ἔσδρα Α' 5,41ἑ.

ρον ἐγγυμνασθέντες κατὰ τὴν αἴσθησιν, πρὸς τοὺς ἄνευ αἰσθήσεως ἀρχετύπους ἐλθεῖν ποθήσωσι λόγους. Τὸ δὲ στοχασμῷ τοῖς ὑψηλοτέροις ἐπιβάλλειν διὰ τὴν φυσικῶς ἐν ἡμῖν ἐφιεμένην τῆς τῶν θείων γνώσεως δύναμιν οὐκ ἄτοπον, δύο καλῶν ἐκ τοῦ στοχασμοῦ τοῖς εἰλικρινὲς περὶ τὰ θεῖα κεκτημένοις τὸ σέβας ἀναδεικνυμένων. Ἢ γὰρ ἐπιτυγχάνει τῆς ἀληθείας τῶν νοουμένων ὁ στοχαστικὴν τὴν ἔφοδον τῶν θείων ποιούμενος καὶ προσφέρει χαίρων «θυσίαν αἰνέσεως» [3] τὴν εὐχαριστίαν τῷ δεδωκότι τοῦ ζητουμένου τὴν εἴδησιν, ἢ διαφεύγουσαν εὑρίσκει τῶν γεγραμμένων τὴν ἔννοιαν καὶ τὰ θεῖα πλέον σεβάζεται, τὴν τῆς οἰκείας δυνάμεως ὑπερβαίνοντα μανθάνων κατάληψιν. Τοίνυν κἀγώ, στοχαστικῶς ἐπιβάλλων τοῖς προκειμένοις, τὸν Θεὸν ἐπικαλοῦμαι γενέσθαι τῶν λεχθησομένων συλλήπτορα, κατὰ πάντα τρόπον πρὸς τὸ ὕψος τῶν γραφικῶν αἰνιγμάτων ἀσθενοῦσαν εὑρίσκων τῆς ἐμαυτοῦ διανοίας τὴν δύναμιν. Κἄν τε γὰρ ἐπιτύχω, τοῦ Θεοῦ τὸ πᾶν ὑπάρχει κατόρθωμα, διὰ τῆς καταλήψεως ἐνάγοντός με πρὸς εὐχαριστίαν· κἄν τε γὰρ μή, καὶ οὕτω πάλιν τοῦ Θεοῦ τὸ τῆς ἀκαταληψίας ὑπάρχει καλόν, τὸν ὡς εἰκὸς ἐκ τῆς γνώσεως τεχθησόμενόν μοι κατὰ πρόνοιαν τῦφον προανακόπτοντος [4] καὶ τὴν ἀκαταληψίαν ποιουμένου μοι μετριοφροσύνης ὑπόθεσιν.

Οὐκοῦν στοχασμῷ, καθὼς εἴρηται, τὴν τῶν γεγραμμένων διάνοιαν ἐπερχόμενος, ἐντεῦθεν ἄρχομαι τῆς τῶν προκειμένων γραφῆς. Ἐν τῷ πρὸ τούτου κεφαλαίῳ γέγραπται περὶ τοῦ Ζοροβάβελ· «καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τὸ πρόσωπον αὐτοῦ εἰς τὸν οὐρανὸν ἐναντίον Ἱερουσαλήμ, εὐλόγησε τῷ βασιλεῖ τοῦ οὐρανοῦ». Δῆλόν ἐστιν [5] ὅτι μετὰ τὴν τῶν προβλημάτων τῶν πρὸς Δαρεῖον τὸν βασιλέα γεγενημένων προαγωγήν, ἐξῆλθεν ἀπὸ προσώπου, δηλονότι Δαρείου τοῦ βασιλέως. Δαρεῖος μὲν οὖν ἐστιν, ὡς ἤδη φθάσας πρὸ τούτων ἔφην τῶν λόγων, ὁ κρατῶν τῆς φύσεως νόμος. Καὶ συνᾴδει γε σαφῶς οὕτω νοουμε-

ἀσκηθοῦν στὰ αἰσθητὰ μὲ τοὺς τύπους, νὰ ποθήσουν νὰ μεταβοῦν στοὺς χωρὶς αἰσθητὰ σύμβολα ἀρχέτυπους λόγους. Τὸ νὰ ἐπιδιώκομε ὅμως μὲ τὴ σκέψη τὰ ὑψηλότερα χάρη στὴ φυσικὴ δύναμη ποὺ διαθέτομε νὰ ἐπιθυμοῦμε τὴ γνώση τῶν θείων, δὲν εἶναι ἄτοπο, ἀφοῦ ἀπὸ τὴ σκέψη ἀνακύπτουν δύο καλὰ γιὰ ὅσους ἔχουν εἰλικρινὴ σεβασμὸ γιὰ τὰ θεῖα. Ἢ δηλαδὴ πετυχαίνει τὴν ἀλήθεια ὅσων νοεῖ ὅποιος κάνει στοχαστικὴ ἔφοδο στὰ θεῖα καὶ προσφέρει μὲ χαρὰ ὡς «θυσία αἰνέσεως»[2] τὴν εὐχαριστία σ' ἐκεῖνον ποὺ ἔδωσε τὴ γνώση τῶν ζητουμένων, ἢ βρίσκει ὅτι διαφεύγει ἡ ἔννοια τῶν γραπτῶν καὶ σέβεται περισσότερο τὰ θεῖα διαπιστώνοντας ὅτι ὑπερβαίνουν τὴν καταληπτικὴ δύναμή του. Γι' αὐτὸ λοιπὸν κι ἐγώ, σκεπτόμενος ὅσα ἐξετάζομε, ἐπικαλοῦμαι τὸ Θεὸ νὰ γίνει βοηθὸς σὲ ὅσα θὰ πῶ, ἐπειδὴ βρίσκω μὲ κάθε τρόπο τὴ δύναμη τῆς διάνοιάς μου νὰ μὴν μπορεῖ νὰ φτάσει τὸ ὕψος τῶν γραφικῶν αἰνιγμάτων. Κι ἂν ἐπιτύχω, ὅλο τὸ κατόρθωμα θὰ εἶναι τοῦ Θεοῦ, ποὺ μὲ ὁδηγεῖ μὲ τὴν κατανόηση στὴν εὐχαριστία. Ἂν δὲν ἐπιτύχω, κι ἔτσι πάλι τὸ καλὸ τῆς ἀκαταληψίας εἶναι τοῦ Θεοῦ, ποὺ ἐμποδίζει προνοητικὰ τὴν ἔπαρση πού, ὅπως εἶναι φυσικό, θὰ μοῦ γεννηθεῖ ἀπὸ τὴ γνώση, καὶ κάνει τὴν ἀδυναμία κατανόησης ἀφορμὴ μετριοφροσύνης.

Στοχαζόμενος λοιπόν, καθὼς εἶπα, τὸ νόημα τῶν γραφομένων, ἀρχίζω ἀπὸ τὸ σημεῖο αὐτὸ τῶν λεγομένων τῆς Γραφῆς. Στὸ προηγούμενο κεφάλαιο ἔχει γραφεῖ γιὰ τὸ Ζοροβάβελ· «καὶ ὅταν βγῆκε ὁ νέος, ὑψώνοντας τὸ πρόσωπό του στὸν οὐρανὸ μπροστὰ στὴν Ἰερουσαλὴμ δοξολόγησε τὸ βασιλιὰ τοῦ οὐρανοῦ»[3]. Εἶναι φανερὸ ὅτι μετὰ τὴν παρουσία τῶν προβλημάτων ποὺ εἶχαν συμβεῖ στὸ βασιλιὰ Δαρεῖο, βγῆκε ἀπὸ μπροστά του, δηλαδη μπροστὰ ἀπὸ τὸ Δαρεῖο τὸ βασιλιά. Ὁ Δαρεῖος λοιπὸν εἶναι, ὅπως εἶπα ἤδη πρὶν ἀρχίσω αὐτὴ τὴν ἐξέταση, ὁ νόμος ποὺ διέπει τὴν φύση. Καὶ εἶναι σαφὴς μὲ τὸ νόημα αὐτὸ

2. Ψαλμ. 49,2. 3. Ἔσδρα Α΄ 4,58.

νος τῇ τοῦ οἰκείου ὀνόματος ἑρμηνείᾳ. 'Γενεὰ' γὰρ ἢ 'γενεαλογία' ἢ 'γενεαλογούμενος' δηλοῖ τὸ τοῦ Δαρείου ὄνομα, καθώς φασιν οἱ τὴν ἀκρίβειαν τῆς τοιᾶσδε φωνῆς ἐπιστάμενοι. Φυσικοῦ δὲ νόμου καθέστηκεν ἴδιον τὸ τῆς γενεᾶς καὶ τῆς γενεαλογίας ὄνομα· τῶν γὰρ ὑπὸ φύσιν[6] τὸ γένος καὶ τὰ γενεαλογούμενα, καὶ τῶν περὶ φύσιν ἡ γενεαλογία. Οὐκοῦν καλῶς ὁ Δαρεῖος εἰς τὸν τῆς φύσεως ἐλήφθη νόμον. Περιέχει γὰρ ὁ νόμος τῆς φύσεως καὶ τὰ ὑπὸ τὴν φύσιν ἀναγόμενα γένη καὶ εἴδη καὶ τὰ περὶ τὴν φύσιν θεωρούμενα, τὸν χρόνον φημὶ καὶ τὸν τόπον. Παντὸς γὰρ γενητοῦ τὰ ὧν οὐκ ἄνευ φυσικῶς συνεπιθεωρεῖται.

Δαρεῖος οὖν ἐστιν, ὡς ἔφην, ὁ νόμος τῆς φύσεως, Ζοροβάβελ δὲ ὁ θεωρητικὸς νοῦς ὁ ἐξελθών, ὡς ἀπὸ Δαρείου, τοῦ νόμου τῆς φύσεως, καὶ τὴν ὑπὸ χρόνον καὶ τόπον τῶν φαινομένων ὑπερβὰς διακόσμησιν καὶ ἄρας τὸ πρόσωπον τῆς κατ' ἀρετὴν γνωστικῆς διαθέσεως εἰς τὸν οὐρανόν, τουτέστι τὸ ὕψος τῶν νοητῶν οὐσιῶν, ἐναντίον τῆς ἐν οὐρανοῖς νοουμένης Ἱερουσαλήμ, ἐκείνης λέγω τῆς Ἱερουσαλὴμ τῆς «ἐπὶ τῶν χειρῶν» Κυρίου ἐχούσης «ἐζωγραφημένα τὰ τείχη», ἐν ᾗ «πάντων εὐφραινομένων ἐστὶν ἡ κατοικία», πρὸς ἣν ἡ ἀληθινὴ τῶν αἰχμαλώτων ἐπάνοδος γίνεται, τῶν ἐπιζητούντων «τὸ ἐξ οὐρανοῦ», κατὰ τὸν θεῖον ἀπόστολον, «οἰκητήριον»[7], τῶν μετὰ τοῦ μεγάλου Δαυὶδ δυναμένων λέγειν «ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου· κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ», δεξιὰν λέγοντος τυχὸν τὴν πνευματικὴν τῶν θείων καὶ ἐπαινουμένων πρᾶξιν, γλῶσσαν δὲ κολλωμένην τῷ λάρυγι[8] τὴν ἐν ἡμῖν τοῦ λόγου γνωστικὴν ἐνέργειαν, κολλωμένην ἐξ ἀγνοίας τῷ λαιμῷ, τουτέστι τῷ περὶ

ἡ συμφωνία μὲ τὴ σημασία τοῦ ὀνόματός του. Γιατὶ τὸ ὄνομα τοῦ Δαρείου σημαίνει 'γενεὰ' ἢ 'γενεαλογία' ἢ 'γενεαλογούμενος', ὅπως λένε ὅσοι γνωρίζουν μὲ ἀκρίβεια αὐτὴ τὴ γλώσσα. Καὶ εἶναι ἴδιο τοῦ φυσικοῦ νόμου τὸ ὄνομα τῆς γενεᾶς καὶ τῆς γενεαλογίας. Γιατὶ τὸ γένος καὶ τὰ γενεαλογούμενα ὑπάγονται στὴ φύση καὶ ἡ γενεαλογία εἶναι ἀπὸ ἐκεῖνα ποὺ ἀναφέρονται στὴ φύση. Ὀρθὰ λοιπὸν ὁ Δαρεῖος, θεωρήθηκε ὡς ὁ νόμος τῆς φύσης. Γιατὶ ὁ νόμος τῆς φύσης περιέχει καὶ τὰ γένη και τὰ εἴδη ποὺ ὑπάγονται στὴ φύση καὶ ὅσα θεωροῦνται γύρω ἀπὸ τὴ φύση, ἐννοῶ τὸ χρόνο καὶ τὸν τόπο. Γιατὶ μὲ κάθε γενικὸ ἐξετάζονται μαζὶ καὶ οἱ φυσικὲς προϋποθέσεις του.

Ὁ Δαρεῖος λοιπὸν εἶναι, ὅπως εἶπα, ὁ νόμος τῆς φύσης, ἐνῶ ὁ Ζοροβάβελ εἶναι ὁ θεωρητικὸς νοῦς πού, σὰν βγῆκε ἀπὸ τὸ Δαρεῖο, ἀπὸ τὸ νόμο τῆς φύσης, κι ἀφοῦ ξεπέρασε τὴ διευθέτηση τῶν φαινομένων μέσα στὸ χρόνο καὶ τὸν τόπο καὶ ὕψωσε τὸ πρόσωπο τῆς σύμφωνης μὲ τὴν ἀρετὴ γνωστικῆς διάθεσής του πρὸς τὸν οὐρανό, δηλαδὴ πρὸς τὸ ὕψος τῶν νοητῶν οὐσιῶν, ἀπέναντι τῆς νοητῆς Ἰερουσαλὴμ τοῦ οὐρανοῦ, ἐννοῶ ἐκείνη «ποὺ ἔχει ζωγραφισμένα τὰ τείχη της πάνω στὰ χέρια τοῦ Κυρίου»[4], «στὴν ὁποία βρίσκεται ἡ κατοικία ὅλων ὅσοι εὐφραίνονται»[5], πρὸς τὴν ὁποία γίνεται ἡ ἀληθινὴ ἐπάνοδος τῶν αἰχμαλώτων, «ποὺ ἀναζητοῦν τὸ οὐράνιο κατοικητήριο»[6], σύμφωνα μὲ τὸν θεῖο Ἀπόστολο, αὐτῶν ποὺ μποροῦν νὰ ποῦν μαζὶ μὲ τὸ μεγάλο Δαβὶδ «ἂν σὲ λησμονήσω, Ἰερουσαλήμ, μακάρι νὰ λησμονηθεῖ τὸ δεξί μου χέρι· νὰ κολλήσει ἡ γλώσσα μου στὸ λάρυγγά μου ἂν δὲ σὲ θυμηθῶ»[7], λέγοντας δεξὶ χέρι ἴσως τὴν πνευματικὴ πράξη τῶν θείων καὶ ἐπαινουμένων καὶ γλώσσα ποὺ κολλάει στὸ λάρυγγα τὴ γνωστικὴ ἐνέργεια τοῦ λόγου μέσα μας, ποὺ ἀπὸ ἄγνοια κολλάει στὸ λαιμό, δηλαδὴ ποὺ κλεί-

4. Ἡσ. 49,16. 5. Ψαλμ. 86,7.
6. Β' Κορ. 5,2. 7. Ψαλμ. 136,5ἑ.

τὸν λαιμὸν πηγνυμένην πάθει καὶ ἀκίνητον μένουσαν περὶ τὴν ἔφεσιν τῶν ἀρρήτων ἀγαθῶν καὶ διὰ τοῦτο γεύσασθαι μὴ δυναμένην τῆς τοῦ Κυρίου χρηστότητος.

Εἰ δὲ χρόνου καὶ φύσεως(9) πρὸς Ἰερουσαλὴμ ἐπειγόμενος ἐκβαίνει τοὺς λόγους ὁ Ζοροβάβελ, εἴτε ὁ καθ' ἡμᾶς θεωρητικὸς νοῦς εἴτε ὁ ὑπὲρ ἡμᾶς δημιουργὸς Λόγος ἐν ἡμῖν καθ' ἡμᾶς γενόμενος καὶ διὰ τοῦτο γενόμενος ἄνθρωπος, ἵνα πρὸς ἑαυτὸν ἐπαναγάγῃ διὰ σαρκώσεως τοὺς πρὸς τὰ πάθη καὶ τὸν θάνατον τῆς σαρκὸς ἑαυτοὺς ἀπὸ τῆς ἀπαθείας καὶ τῆς ζωῆς ἐξώσαντας, εἰκότως τοὺς αὐτῷ γεγενημένους κατὰ τὸ θεμιτὸν παραπλησίους ἑαυτῷ συνεξάγει καὶ πρὸς τὴν Ἰερουσαλὴμ ἄγει τὴν ἐπουράνιον, ὧν τῆς ἀρετῆς τὴν ἀκρότητα καὶ τῆς γνώσεως τοῖς προκειμένοις εἴδεσί τε καὶ ἀριθμοῖς συμβολικῶς διαποικίλας ὁ λόγος παρείκασε. Πᾶς γὰρ θεοφιλὴς καὶ δίκαιος ἄνθρωπος, νοητῶς τὴν ἐπάνοδον πρὸς τὴν ἄνω ποιούμενος Ἰερουσαλήμ, τοὺς προκειμένους τῶν διαφόρων εἰδῶν ἀριθμοὺς συμπληροῖ, τοὺς ἑκάστου καὶ εἴδους καὶ ἀριθμοῦ λόγους εἰς μίαν ἀρετῆς τε καὶ γνώσεως συνάγων ἐκπλήρωσιν.

Καὶ δηλοῖ τοῦτο σαφῶς τῆς προκειμένης ἡμῖν εἰς ἐξέτασιν γραφῆς ὁ λόγος, ἔχων οὕτως· «οἱ δὲ πάντες ἦσαν ἐξ Ἰσραὴλ ἀπὸ δωδεκαετοῦς, χωρὶς παίδων καὶ γυναικῶν, μυριάδες τέσσαρες τρισχίλιοι τριακόσιοι ἑξήκοντα». Εὖγε τῆς ἀρκιβείας τῶν λογίων τοῦ Πνεύματος, ἐπισημηναμένου μηδένα τῶν ἀριθμουμένων ἐν Ἰσραὴλ καὶ τῆς Βαβυλωνίας ἐκβεβηκότων (ταύτην δὲ λέγω τοῦ παρόντος αἰῶνος τὴν σύγχυσιν) εἶναι παντελῶς ὑπὸ τὸν δωδεκαετῆ χρόνον, δηλοῦντος τοῦ λόγου μυστικῶς ὅτι μόνος ὁ γενόμενος ὑπὲρ αἴσθησιν καὶ χρόνον (τοῦτο γὰρ ὁ δώδεκα σημαίνει σαφῶς ἀριθμός, ἐκ πέντε διὰ τὰς αἰσθήσεις

νει ἀπὸ τὸ πάθος γύρω ἀπὸ τὸ λαιμὸ καὶ μένει ἀκίνητη ὡς πρὸς τὴν ἔφεση τῶν ἄρρητων ἀγαθῶν καὶ γι' αὐτὸ δὲν μπορεῖ νὰ γευθεῖ τὴν ἀγαθότητα τοῦ Κυρίου[8].

Ἂν ὅμως βγαίνει ἀπὸ τὰ ὅρια τοῦ χρόνου καὶ τῆς φύσης καθὼς βιάζεται νὰ φθάσει στὴν Ἰερουσαλὴμ ὁ Ζοροβάβελ, εἴτε ὁ θεωρητικὸς νοῦς ποὺ διαθέτομε εἴτε ὁ πάνω ἀπὸ μᾶς δημιουργὸς Λόγος ποὺ ἔγινε μέσα μας ὅπως εἴμαστε ἐμεῖς καὶ γι' αὐτὸ ἔγινε ἄνθρωπος, γιὰ νὰ ἐπαναφέρει στὸν ἑαυτό του μὲ τὴ σάρκωση ἐκείνους ποὺ ἐξώθησαν τὸν ἑαυτό τους ἀπὸ τὴν ἀπάθεια καὶ τὴ ζωὴ πρὸς τὰ πάθη καὶ τὸ θάνατο, εὔλογα ἐκείνους ποὺ ἔγιναν κατὰ τὸ δυνατὸ παραπλήσιοι μ' ἐκεῖνον τοὺς βγάζει μαζί του καὶ τοὺς ὁδηγεῖ στὴν Ἰερουσαλὴμ τῶν οὐρανῶν, τῶν ὁποίων τὴν ἀκρότητα τῆς ἀρετῆς καὶ τῆς γνώσης τὴν παρομοίασε ὁ λόγος μὲ τὰ προκείμενα εἴδη καὶ τοὺς ἀριθμοὺς διαφοροποιώντας τα συμβολικά. Γιατὶ κάθε ἄνθρωπος ποὺ ἀγαπᾶ τὸ Θεὸ καὶ εἶναι δίκαιος, πραγματοποιώντας νοητὰ τὴν ἐπιστροφή του στὴν ἄνω Ἰερουσαλήμ, συμπληρώνει τοὺς ἀριθμοὺς ποὺ ἀναφέρθηκαν τῶν διάφορων εἰδῶν, συγκεντρώνοντας τοὺς λόγους τοῦ κάθε εἴδους καὶ ἀριθμοῦ σὲ μιὰ ὁλοκλήρωση ἀρετῆς καὶ γνώσης.

Καὶ τὸ δηλώνει αὐτὸ μὲ σαφήνεια ὁ λόγος τῆς Γραφῆς ποὺ ἔχομε νὰ ἐξετάσομε καὶ ποὺ εἶναι ὁ ἑξῆς· «καὶ ὅλοι οἱ Ἰσραηλίτες ἀπὸ δώδεκα χρόνων καὶ ἐπάνω, χωρὶς τὰ παιδιὰ καὶ τὶς γυναῖκες, ἦταν σαράντα τρεῖς χιλιάδες τριακόσιοι ἑξήντα». Πολὺ καλὴ ἡ ἀκρίβεια τῶν λόγων τοῦ Πνεύματος, ποὺ ἐπισήμανε ὅτι κανένας ἀπολύτως ἀπὸ ὅσους Ἰσραηλίτες εἶχαν μετρηθεῖ καὶ εἶχαν βγεῖ ἀπὸ τὴ Βαβυλωνία (κι ἐννοῶ τὴν πνευματικὴ σύγχυση τῆς ζωῆς αὐτῆς) δὲν ἦταν στὸν κύκλο τῶν δέκα χρόνων. Ὁ λόγος δηλώνει μυστικὰ ὅτι μόνο ὅποιος ξεπέρασε τὴν αἴσθηση καὶ τὸ χρόνο (αὐτὸ σημαίνει χωρὶς ἀμφιβολία ὁ ἀριθμὸς δώδεκα ποὺ εἶναι τὸ ἄθροισμα τοῦ πέντε τῶν αἰσθήσεων καὶ τῶν

8. Ψαλμ. 33,9. Α' Πέτρ. 2,3.

καὶ ἑπτὰ διὰ τὸν χρόνον συναγόμενος) καὶ τὴν πρὸς ταῦτα τῆς ψυχῆς διακόψας σχέσιν ἐκβαίνει τῆς αὐτῶν συγχύσεως, πρὸς τὴν ἄνω πόλιν ἐπειγόμενος, ἔχων, χωρὶς παίδων καὶ γυναικῶν, μυριάδας τέσσαρας τρισχιλίους τριακοσίους ἑξήκοντα.

Παῖδές[10] *εἰσι τυχὸν οἱ περὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων καὶ οὐκ ἐφ' ἡμῖν παθῶν λογισμοί, γυναῖκες δὲ ἢ αἱ ἐνθυμήσεις ἢ αἱ κατὰ φύσιν ὀρέξεις καὶ ἡδοναί, μὴ φέρουσι τοῖς κεκτημένοις διαβολήν, ὡς ἀναγκαῖον παρακολούθημα καθεστῶσαι φυσικῆς ὀρέξεως. Ἡδονὴν γὰρ ποιεῖ κατὰ φύσιν, καὶ μὴ βουλομένων ἡμῶν, καὶ ἡ τυχοῦσα τροφή, προλαβοῦσαν ἔνδειαν παραμυθουμένη, καὶ πόσις, ἀποκρουομένη τοῦ δίψους τὴν ὄχλησιν, καὶ ὕπνος, τὴν ἐκ τῆς ἐγρηγόρσεως δαπανηθεῖσαν ἀνανεούμενος δύναμιν, καὶ ὅσα τῶν καθ' ἡμᾶς φυσικῶν ἕτερα τυγχάνει, πρὸς μὲν σύστασιν φύσεως ἀναγκαῖα, πρὸς δὲ κτῆσιν ἀρετῆς ὑπάρχοντα χρήσιμα τοῖς σπουδαίοις· ἅπερ, κἂν μὴ συναριθμῆται τοῖς ἀνδράσιν, ἀλλὰ συνεκβαίνει παντὶ νοΐ φεύγοντι τῆς ἁμαρτίας τὴν σύγχυσιν, ἵνα μὴ δι' αὐτὰ μείνῃ κρατούμενος εἰς δουλείαν τῶν ἐφ' ἡμῖν καὶ διαβεβλημένων καὶ παρὰ φύσιν παθῶν, οὐκ ἐχόντων ἄλλην ἀρχὴν ἐν ἡμῖν πλὴν τῆς κινήσεως τῶν κατὰ φύσιν παθῶν. Οὐ συναριθμεῖται*[11] *δέ, ὅτι μὴ πέφυκε πρὸς τὴν ἀθάνατον καὶ μακραίωνα ζωὴν συμμεταβαίνειν ἡμῖν τὰ τὴν φύσιν πρὸς τὴν παροῦσαν ζωὴν συνέχοντα πάθη.*

Τέσσαρες δὲ μυριάδες εἰσὶν ἡ τετρὰς τῶν γενικῶν ἀρετῶν, μεθ' ὧν, φύσιν καὶ χρόνον διαβὰς ὁ νοῦς, πρὸς τὴν μακαρίαν τῆς ἀπαθείας ἀποκαθίσταται λῆξιν. Ὡς γὰρ ἡ μυριὰς τῷ τῆς μονάδος στοιχείῳ μόνη γνωρίζεται[12]*, παντελῶς δι' ἄλλου γράμματος σημανθῆναι μὴ δυναμένη, ὡς ταὐτὸν οὖσα κατὰ τὸ ὑποκείμενον τῇ μονάδι, κἂν δέχεται μόνῃ τῇ ἐπινοίᾳ διαφοράν, ὡς πρὸς ἀρχὴν τέλος (τέλος γὰρ μονάδος ἐστὶν ἡ μυριὰς καὶ*

ἑφτὰ τοῦ χρόνου) καὶ διέκοξε τὴ σχέση τῆς ψυχῆς μ' αὐτά, βγαίνει μέσα ἀπὸ τὴ σύγχυσή του κατευθυνόμενος βιαστικὰ πρὸς τὴν ἄνω πόλη, ἔχοντας χωρὶς τὰ παιδιὰ καὶ τὶς γυναῖκες σαράντα τρεῖς χιλιάδες τριακόσιους ἑξήντα.

Παιδιὰ εἶναι πιθανὸν οἱ λογισμοὶ τῶν ἔξω ἀπὸ τὴ θέλησή μας φυσικῶν κι ἀδιάβλητων παθῶν, καὶ γυναῖκες ἢ οἱ ἐνθυμήσεις ἢ οἱ φυσικὲς ὀρέξεις καὶ ἡδονές, ποὺ δὲν ἐπισύρουν σ' ἐκείνους ποὺς τὶς ἔχουν κατηγορία, ἐπειδὴ εἶναι ἀναγκαῖο ἐπακόλουθο μιᾶς φυσικῆς ὄρεξης. Ἡδονὴ δηλαδὴ μᾶς προκαλεῖ κατὰ φύση ἀκόμη καὶ χωρὶς νὰ τὸ θέλομε καὶ ἡ ὅποια τροφή, ποὺ ἱκανοποιεῖ μιὰ προηγηθείσα ἀνάγκη, καὶ ὁποιαδήποτε πόση ποὺ ἀπομακρύνει τὴν ἐνόχληση τῆς δίψας, καὶ ὁ ὕπνος ποὺ ἀνανεώνει τὴ δύναμη ποὺ δαπανήθηκε ἀπὸ τὴν ἐγρήγορση, καὶ ὅσα στοιχεῖα μας εἶναι διάφορα ἀπὸ τὰ φυσικά, ἀναγκαῖα γιὰ τὴ σύσταση τῆς φύσης μας, καὶ εἶναι χρήσιμα στοὺς σπουδαίους γιὰ τὴν ἀπόκτηση τῆς ἀρετῆς. Αὐτὰ κι ἂν δὲν μετριοῦνται μαζὶ μὲ τοὺς ἄνδρες, βγαίνουν ὡστόσο μαζὶ μὲ κάθε νοῦ ποὺ φεύγει ἀπὸ τὴ σύγχυση τῆς ἁμαρτίας, γιὰ νὰ μὴ μείνει ἐξαιτίας της κρατούμενος στὴ δουλεία τῶν παραφύση καὶ διαβλητῶν παθῶν ποὺ ἔχομε στὴν ἐξουσία μας, κι ἄλλη ἀρχὴ μέσα μας δὲν ἔχουν ἐκτὸς ἀπὸ τὴν κίνηση τῶν φυσικῶν παθῶν. Καὶ δὲν συναριθμοῦνται, γιατὶ δὲν εἶναι φυσικὸ νὰ μεταβαίνουν μαζί μας πρὸς τὴν ἀθάνατη καὶ μακραίωνη ζωὴ τὰ πάθη ποὺ συγκρατοῦν τὴ φύση μας δεμένη μὲ τὴν παροῦσα ζωή.

Σαράντα χιλιάδες εἶναι ἡ τετράδα τῶν γενικῶν ἀρετῶν, μὲ τὶς ὁποῖες, ἀφοῦ ὁ νοῦς περάσει τὴ φύση καὶ τὸ χρόνο, ἀποκαθίσταται στὸ μακαριστὸ τέλος. Ὅπως δηλαδὴ ἡ μυριάδα ἀναγνωρίζεται μόνο μὲ τὸ στοιχεῖο τῆς μονάδας καὶ εἶναι ἀδύνατο νὰ σημανθεῖ μὲ ἄλλο στοιχεῖο, ἐπειδὴ εἶναι τὸ ἴδιο μὲ τὴ μονάδα ὡς πρὸς τὴν πραγματικὴ βάση της, δεχόμενη διαφορὰ μόνο κατὰ τὸ νόημα ὡς πρὸς τὴν ἀρχὴ καὶ τὸ τέλος της[9] (τέλος δηλα-

9. Ἀλλιῶς: ὡς πρὸς τὸ τέλος ποὺ εἶναι ἡ ἀρχή.

ἀρχὴ μυριάδος ἐστὶν ἡ μονάς, ἤ, κυριώτερον εἰπεῖν, κινουμένη μονάς ἐστιν ἡ μυριὰς καὶ ἀκίνητος μυριάς ἐστιν ἡ μονάς), οὕτω καὶ πᾶσα τῶν γενικῶν ἀρετὴ τὴν θείαν καὶ ἄρρητον μονάδα, φημὶ τὸν Θεόν, ἀρχὴν ἔχει καὶ τέλος, ὡς ἐξ αὐτοῦ καὶ εἰς αὐτὸν ἀρχομένη καὶ λήγουσα, καὶ ταὐτὸν ὑπάρχουσα τῷ Θεῷ, κατὰ μόνον τῆς ἐπινοίας διαφέρουσα τὸν λόγον, παρ' οὗ καὶ ἐν ᾧ καὶ εἰς ὃν πᾶσα γένεσις ἀρετῆς προδήλως ὑφέστηκεν.

Ἢ τυχὸν τὰς τέσσαρας προκοπὰς τῶν ἐν τῇ δεκάδι τῶν θείων ἐντολῶν, εἰς μῆκος θεωρίας καὶ γνώσεως προβαινόντων, φησὶν εἶναι τὰς τέσσαρας μυριάδας ὁ λόγος. Οἷον, πρώτη προκοπή ἐστιν ἡ ἁπλῶς ἐν τοῖς εἰσαγομένοις μετὰ τὴν ἀποφυγὴν τῆς κακίας[13] *πρᾶξις τῶν ἐντολῶν, πλήρη ποιοῦσα τὴν πρώτην δεκάδα, τὴν αὐτὴν καὶ μονάδα. Δευτέρα προκοπή ἐστιν ἡ δι' ἑκάστης ἐντολῆς ἐνεργουμένης τῶν λοιπῶν συμπερίληψις, τὴν αὐτὴν δεκάδα ποιουμένη καὶ ἑκατοντάδα τῇ δι' ἀλλήλων ἑκάστης ἐντολῆς ἐνεργείᾳ συμπληρουμένην. Ἡ γὰρ δεκὰς δεκαχῶς ἐνεργηθεῖσα ποιεῖ τὴν ἑκατοντάδα. Τρίτη προκοπή ἐστιν ἡ κατὰ τὸν νόμον τῆς φύσεως ταύτης τῆς ἑκατοντάδος δεκάπλωσις. Δεκαδικὸς γὰρ καὶ ὁ τῆς φύσεως νόμος ἐστίν, ὡς ἐκ δέκα συνεστηκώς, λέγω δὲ τῶν τριῶν τῆς ψυχῆς δυνάμεων καὶ τῶν πέντε αἰσθήσεων καὶ τῆς φωνητικῆς ἐνεργείας καὶ τῆς φυσικῆς γονιμότητος· κέχρηται γὰρ τῷ μὲν λογιστικῷ πρὸς τὴν τῆς αἰτίας καὶ τῶν περὶ τὴν αἰτίαν καλῶν ζήτησιν, τῷ ἐπιθυμητικῷ δὲ πρὸς πόθον τῶν ζητουμένων, τῷ δὲ θυμικῷ πρὸς φυλακὴν καὶ στοργήν, ταῖς αἰσθήσεσι δὲ πρὸς διάκρισιν πενταχῶς καὶ αὐτὴν διαιρουμένην, ἐξ ἧς ἐπιστήμη γίνεσθαι πέφυκε (διαιρεῖται γὰρ ἡ καθόλου διάκρισις τοῖς ἠργμένοις καὶ οὐκ ἠργμένοις*[14]*, τοῖς νοητέοις καὶ οὐ νοητέοις, τοῖς ῥητέοις καὶ οὐ ῥητέ-*

δὴ τῆς μονάδας εἶναι ἡ μυριάδα καὶ ἀρχὴ τῆς μυριάδας εἶναι ἡ μονάδα ἤ, γιὰ νὰ κυριολεκτίσομε, ἡ μυριάδα εἶναι κινούμενη[10] μονάδα καὶ ἡ μονάδα εἶναι ἀκίνητη μυριάδα), ἔτσι καὶ κάθε μιὰ ἀπὸ τὶς γενικὲς ἀρετὲς ἔχει ἀρχή της καὶ τέλος τὴ θεία καὶ ἄρρητη μονάδα, ἐννοῶ τὸ Θεό, γιατὶ ἀπὸ αὐτὸν ἀρχίζει καὶ σ' αὐτὸν λήγει καὶ εἶναι τὸ ἴδιο μὲ τὸ Θεὸ καὶ διαφέρει μόνο κατὰ τὸ νόημα, ἀπὸ τὸν ὁποῖο Θεὸ καὶ μέσα στὸν ὁποῖο καὶ πρὸς τὸν ὁποῖο εἶναι ὁλοφάνερο ὅτι ὑπάρχει ἡ γένεση κάθε ἀρετῆς.

Ἢ ἴσως λέει ὁ λόγος ὅτι οἱ τέσσερις μυριάδες εἶναι οἱ τέσσερις προκοπὲς ἐκείνων ποὺ προκόβουν στὴ δεκάδα τῶν θείων ἐντολῶν σὲ μῆκος θεωρίας καὶ γνώσης. Λόγου χάρη πρώτη προκοπὴ τῶν εἰσαγομένων στὴν πίστη εἶναι ἡ μετὰ τὴν ἀποφυγὴ τῆς κακίας ἐκτέλεση τῶν ἐντολῶν γενικά, ποὺ ὁλοκληρώνει τὴν πρώτη δεκάδα ποὺ εἶναι ταυτόχρονα καὶ μονάδα. Δεύτερη προκοπὴ εἶναι ἡ συμπερίληψη σὲ κάθε ἐντολὴ ποὺ πραγματοποιεῖται ὅλων τῶν λοιπῶν, ποὺ κάνει τὴν ἴδια ἐντολὴ δεκάδα καὶ ἑκατοντάδα νὰ συμπληρώνεται μὲ τὴν ἀμοιβαία ἐνέργεια κάθε ἐντολῆς. Γιατὶ ἡ δεκάδα ὅταν πραγματοποιηθεῖ δέκα φορὲς κάνει τὴν ἑκατοντάδα. Τρίτη προκοπὴ εἶναι ὁ δεκαπλασιαμὸς τῆς ἑκατοντάδας σύμφωνα μὲ τὸ νόμο τῆς φύσης. Γιατὶ κι ὁ νόμος τῆς φύσης εἶναι δεκαδικός, ἐπειδὴ συνίσταται ἀπὸ δέκα στοιχεῖα· ἐννοῶ τὶς τρεῖς δυνάμεις τῆς ψυχῆς καὶ τὶς πέντε αἰσθήσεις, τὴν ἱκανότητα τῆς φωνῆς καὶ τὴ φυσικὴ γονιμότητα. Χρησιμοποιεῖ δηλαδὴ τὴ νόησή μας γιὰ τὴν ζήτηση τῆς αἰτίας καὶ τῶν ἀγαθῶν ποὺ ἔχουν σχέση μὲ τὴν αἰτία· τὸ ἐπιθυμητικὸ γιὰ νὰ δημιουργεῖ τὸν πόθο γιὰ ὅσα ζητοῦμε· τὸ θυμικὸ γιὰ τὴ φύλαξή τους καὶ τὴ στοργὴ πρὸς αὐτά· τὶς αἰσθήσεις τὶς χρησιμοποιεῖ γιὰ διάκριση ποὺ διαιρεῖται κι αὐτὴ σὲ πέντε τρόπους, ἀπὸ τὴν ὁποία γίνεται ἡ ἐπιστήμη (γιατὶ ἡ διάκριση διαιρεῖται γενικὰ σὲ ὅσα ἄρχισαν καὶ σὲ ὅσα ὄχι, σὲ ὅσα μποροῦν νὰ νοηθοῦν καὶ σὲ ὅσα ὄχι, σὲ ὅσα μποροῦν νὰ λε-

10. Δηλαδὴ μία μονάδα, μία δεκάδα, μία χιλιάδα, μία μυριάδα.

οις, τοῖς ποιητέοις καὶ οὐ ποιητέοις, τοῖς φθαρτοῖς καὶ τοῖς ἀφθάρτοις), τῷ δὲ φωνητικῷ πρὸς ἔκφανσιν, καὶ τῇ γονιμότητι πρὸς αὔξησιν τῶν ζητηθέντων καὶ ἐπιθυμηθέντων καὶ στερχθέντων καὶ γνωσθέντων καὶ ἐκφανθέντων καλῶν. Γίνεται γοῦν ἡ ἑκατοντάς, κατὰ τὸν νόμον δεκαπλουμένη τῆς φύσεως, χιλιάς. Τετάρτη δὲ προκοπή ἐστιν ἡ διὰ θεωρίας καὶ γνώσεως τοῦ φυσικοῦ νόμου κατὰ τὴν ἀποδοθεῖσαν διαίρεσιν πρὸς τὸν ἑκάστης ἐντολῆς ἀρχικώτερον λόγον ἀνάβασις, καθ' ἣν ἡ μυριὰς συναγομένη θεωρεῖται, τῷ τῆς πρώτης μονάδος στοιχείῳ γνωριζομένη.

Ὁ γὰρ ἁπλῶς ἐνεργήσας τὰς ἐντολάς, καὶ πάλιν κατὰ τὴν ἑκάστης ἐνεργείας τὰς ἄλλας συμπαραλαβών, καὶ αὖθις τῇ περιλήψει τούτων τὴν τοῦ φυσικοῦ νόμου συζεύξας διάκρισιν, καὶ τοῦτον πάλιν πρὸς τὸν ἑκάστης ἐντολῆς λόγον γνωστικῶς ἀναβιβάσας τὰς τέσσαρας μυριάδας συνήγαγεν, καθ' ἑκάστην προκοπὴν τῷ τῆς μονάδος τιμηθεὶς μυστηρίῳ, πρὸς ἣν ὁ τῆς μυριάδος συνάγεται λόγος.

Ἢ πάλιν, τὰς λεγομένας τέσσαρας γενικὰς ἀπαθείας αἱ τέσσαρες μυριάδες σημαίνουσιν. Πρώτη γάρ ἐστιν ἀπάθεια(15) *ἡ παντελὴς ἀποχὴ τῶν κατ' ἐνέργειαν κακῶν, ἐν τοῖς εἰσαγομένοις θεωρουμένη, δευτέρα*(16) *δὲ ἡ παντελὴς κατὰ διάνοιαν περὶ τὴν τῶν κακῶν συγκατάθεσιν ἀποβολὴ λογισμῶν, ἐν τοῖς μετὰ λόγου τὴν ἀρετὴν μετιοῦσι γινομένη, τρίτη*(17) *ἡ κατ' ἐπιθυμίαν περὶ τὰ πάθη παντελὴς ἀκινησία ἐν τοῖς διὰ τῶν σχημάτων τοὺς λόγους νοητῶς θεωμένοις τῶν δρωμένων, τετάρτη ἀπάθεια*(18) *ἡ καὶ αὐτῆς τῆς ψιλῆς τῶν παθῶν φαντασίας παντελὴς κάθαρσις, ἐν τοῖς διὰ γνώσεως καὶ θεωρίας καθαρὸν καὶ διειδὲς ἔσοπτρον τοῦ Θεοῦ ποιησαμένοις τὸ ἡγεμονικὸν συνισταμένη.*

Ὁ τοίνυν καθάρας ἑαυτὸν ἐνεργείας παθῶν καὶ τῆς ἐπ' αὐτοῖς κατὰ διάνοιαν συγκαταθέσεως ἐλευθερώσας καὶ τῆς περὶ αὐτὰ κατ' ἐπιθυμίαν κινήσεως στάσιν λαβὼν καὶ τῆς αὐτῶν

χθοῦν καὶ σὲ ὅσα δὲν μποροῦν, σὲ ὅσα πρέπει νὰ πραχθοῦν καὶ σὲ ὅσα δὲν πρέπει, σὲ ὅσα φθείρονται καὶ σὲ ὅσα ὄχι), ἐνῶ τὴν ἱκανότητα τῆς φωνῆς τὴ χρησιμοποιεῖ γιὰ ἔκφραση καὶ τὴ γονιμότητα γιὰ τὴν αὔξηση τῶν ἀγαθῶν, ποὺ ζήτησε κι ἐπιθύμησε κι ἀγάπησε καὶ γνώρισε καὶ ἐκδήλωσε. Γίνεται λοιπὸν ἡ ἑκατοντάδα ὅταν δεκαπλασιαστεῖ σύμφωνα μὲ τὸ νόμο τῆς φύσης χιλιάδα. Τέταρτη προκοπὴ εἶναι ἡ ἀνάβαση μέσω τῆς θεωρίας καὶ τῆς γνώσης τοῦ φυσικοῦ νόμου σύμφωνα μὲ τὴ διαίρεση ποὺ κάναμε πρὸς τὸν πλησιέστερο στὴν ἀρχὴ λόγο κάθε μιᾶς ἐντολῆς, σύμφωνα μὲ τὴν ὁποία θεωρεῖται συγκεντρωτικὰ ἡ μυριάδα, ποὺ ἔχει γνώρισμά της τὸ στοιχεῖο τῆς πρώτης μονάδας.

Αὐτὸς λοιπὸν ποὺ ἔπραξε γενικὰ τὶς ἐντολὲς καὶ ἔχει ἐπίσης συμπεριλάβει κατὰ τὴν ἐκτέλεση κάθε μιᾶς καὶ τὶς ἄλλες, καὶ πάλι μαζὶ μὲ τὴ συμπαραλαβὴ αὐτῶν συνένωσε καὶ τὴ διάκριση τοῦ φυσικοῦ νόμου, κι αὐτὸν πάλι τὸν ἀνέβασε ὡς πρὸς τὴ γνώση στὸ λόγο κάθε μιᾶς ἐντολῆς, συμπλήρωσε τὶς τέσσερις μυριάδες, τιμημένος γιὰ κάθε προκοπή του μὲ τὸ μυστήριο τῆς μονάδας, πρὸς τὴν ὁποία συνάγεται ὁ λόγος τῆς μυριάδας.

Ἢ ἀλλιῶς· οἱ τέσσερες μυριάδες σημαίνουν τὶς λεγόμενες τέσσερις γενικὲς ἀπάθειες. Πρώτη δηλαδὴ ἀπάθεια εἶναι ἡ τέλεια ἀποχὴ ἀπὸ τὴ διάπραξη τῶν κακῶν ποὺ παρατηρεῖται στοὺς ἀρχάριους· δεύτερη ἡ πλήρης ἀποβολὴ ἀπὸ τὴ διάνοια τῶν λογισμῶν ὡς πρὸς τὴ συγκατάθεση στὰ κακά, ποὺ συμβαίνει σ' ἐκείνους ποὺ ἀσκοῦν συνειδητὰ τὴν ἀρετή· τρίτη εἶναι ἡ τέλεια ἀδράνεια τῆς ἐπιθυμίας ὡς πρὸς τὰ πάθη σ' ἐκείνους ποὺ μέσω τῶν σχημάτων φθάνουν νοητὰ στὴ θέα τῶν λόγων τῶν φαινομένων· τέταρτη ἀπάθεια εἶναι ἡ τέλεια κάθαρση κι ἀπὸ αὐτὴν ἀκόμα τὴν ἁπλὴ φαντασία τῶν παθῶν ποὺ ὑπάρχει σὲ ὅσους μὲ τὴ γνώση καὶ τὴ θεωρία κατέστησαν τὴν ἡγεμονικὴ δύναμη τῆς ψυχῆς καθαρὸ καὶ διαυγὲς ἔσοπτρο τοῦ Θεοῦ.

Ὅποιος λοιπὸν ἔχει ἀποκαθάρει τὸν ἑαυτό του ἀπὸ τὴν ἐνέργεια τῶν παθῶν καὶ τὸν ἐλευθέρωσε ἀπὸ τὴ διανοητικὴ συγκατάθεση πρὸς αὐτὰ καὶ σταμάτησε τὴν κίνηση τῆς ἐπιθυ-

ψιλῆς φαντασίας τὸν νοῦν καταστήσας ἀμόλυντον τὰς τέσσαρας μυριάδας ἔχων ἐξέρχεται τῆς ὕλης καὶ τῶν ὑλικῶν, καὶ πρὸς τὴν θείαν καὶ εἰρηνικὴν τῶν νοητῶν ἐπείγεται λῆξιν.

Οὕτω μὲν οὖν νοείσθωσαν ἡμῖν οἱ τέσσαρες μυριάδες. Αἱ δὲ τρεῖς χιλιάδες[19] τὸν τέλειον καὶ ὀρθὸν καὶ εὐσεβῆ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος θεολογικὸν σημαίνουσιν λόγον, καθ' ὃν ἡ ἁγία τρισυπόστατος μονὰς εἷς παρ' ἡμῶν ὑμνεῖται Θεὸς καὶ πιστεύεται.

Οἱ δὲ τριάκόσιοι τὸν περὶ προνοίας ἐνταῦθα παραδηλοῦσι λόγον, οὐχ ὅτι μόνον τῷ σχήματι τοῦ γράμματος[20] ἡ ἄνωθεν ἐπὶ τὰ κάτω διήκουσα καὶ τῶν ἑκατέρωθεν πλαγίων τὰ ἄκρα περιλαμβάνουσα σημαίνεται δύναμις (ὅπερ τὴν τὸ πᾶν διασφίγγουσαν ἀρρήτως δηλοῖ πρόνοιαν), ἀλλ' ὅτι καὶ τῷ τοῦ σταυροῦ τύπῳ τετίμηται, ἐν ᾧ τὸ μέγα καὶ πρῶτον καὶ ἀπόκρυφον τῆς προνοίας ἐπετελέσθη μυστήριον. Προνοίας γὰρ καθέστηκε τρόπος ἀπόρρητος τὸ μέγα τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ μυστήριον, ᾧ τύπῳ μετὰ τοῦ ὀνόματος τοῦ ἐπ' αὐτοῦ δι' ἡμᾶς προσηλωθέντος τάχα θαρρήσας ὁ μέγας πατριάρχης Ἀβραὰμ μετὰ τριακοσίων δέκα καὶ ὀκτώ, τουτέστι τύπου καὶ ὀνόματος Ἰησοῦ, τὰς δηλουμένας διὰ τῶν βασιλέων ἀντικειμένας ἐξελθὼν κατεπάλαισε δυνάμεις. Πολλάκις γὰρ οἶδεν ἡ Γραφὴ καὶ ἐκ τῶν ἐν τοῖς γράμμασι σχημάτων τὸν ἴδιον φανερῶσαι σκοπὸν τοῖς ἐπὶ τούτῳ καθαιρομένοις.

Εἰ δὲ καὶ ἐκ τοῦ ἀριθμοῦ βούλεταί τις τὸ βούλημα σκοπῆσαι τῆς ἁγίας Γραφῆς, καὶ οὕτω τὴν πρόνοιαν δι' αὐτοῦ μηνυομένην εὑρήσει· προνοίας γὰρ ἔργον οὐ μόνον κατὰ τὸν ἑαυτῆς τοῦ εἶναι λόγον φυλάξαι τὴν φύσιν ἀμείωτον, ἀλλὰ καὶ κατὰ τὸν ἐπίκτητον τοῦ εὖ εἶναι χάριτι λόγον ἀνελλιπῶς ἔχουσαν δεῖξαι. Οὐκοῦν τοῖς διακοσίοις τὰ ἑκατὸν συνάψας τις ἀποτελεῖ τὸν τριακόσια, δηλοῦντα φύσιν καὶ ἀρετήν. Φασὶ γὰρ τὸν διακόσια

μίας του γι' αὐτὰ κι ἀφοῦ κατέστησε τὸ νοῦ του ἀμόλυντο ἀκόμα κι ἀπὸ τὴν ἁπλὴ φαντασία τους, ἔχοντας πιὰ τὶς τέσσερες μυριάδες ἀπαλλάσσεται ἀπὸ τὴν ὕλη καὶ τὰ ὑλικὰ καὶ σπεύδει πρὸς τὴ θεία καὶ εἰρηνικὴ κατάληξη τῶν νοητῶν.

Ἔτσι λοιπὸν ἂς κατανοήσομε τὶς τέσσερις μυριάδες. Οἱ τρεῖς χιλιάδες τώρα σημαίνουν τὸν τέλειο καὶ ὀρθὸ καὶ εὐσεβὴ θεολογικὸ λόγο γιὰ τὴν ἁγία καὶ ὁμοούσια Τριάδα, κατὰ τὸν ὁποῖο ὑμνοῦμε καὶ πιστεύομε τὸν ἕνα Θεό, τὴν ἁγία τρισυπόστατη μονάδα.

Οἱ τριακόσιοι πάλι ὑποδηλώνουν ἐδῶ τὸ λόγο γιὰ τὴν πρόνοια, ὄχι μόνο γιατὶ μὲ τὸ σχῆμα τοῦ γράμματος σημαίνεται ἡ δύναμη ποὺ διέρχεται ἀπὸ ἐπάνω πρὸς τὰ κάτω καὶ περιλαμβάνει τὰ ἄκρα τῶν πλαγίων ἀπὸ τὴ μιὰ καὶ τὴν ἄλλη (πράγμα ποὺ σημαίνει τὴν πρόνοια ποὺ περιλαμβάνει ἄρρητα τὸ πᾶν), ἀλλὰ καὶ γιατὶ τιμᾶται καὶ μὲ τὸν τύπο τοῦ σταυροῦ, στὸν ὁποῖο τελέστηκε τὸ μέγα καὶ πρῶτο κι ἀπόκρυφο μυστήριο τῆς πρόνοιας. Γιατὶ ἀπέβη ἀπόρρητη ἐκδήλωση τῆς θείας πρόνοιας τὸ μέγα μυστήριο τῆς ἐνανθρώπησης τοῦ Θεοῦ καὶ στὸν τύπο αὐτὸν μὲ τὸ ὄνομα ἐκείνου ποὺ καρφώθηκε ἐπάνω του, δηλαδὴ στὸν τύπο καὶ τὸ ὄνομα τοῦ Ἰησοῦ, στηρίζοντας τὸ θάρρος του ὁ μέγας πατριάρχης μὲ τριακόσιους δέκα ὀχτὼ ἐξόρμησε καὶ κατανίκησε τὶς ἀντίπαλες δυνάμεις, ποὺ δηλώνονται μὲ τοὺς βασιλιάδες. Γιατὶ συχνὰ ἡ Γραφὴ συνηθίζει καὶ μὲ τοὺς τύπους ποὺ δηλώνονται στὰ γράμματα νὰ φανερώνει τὸ σκοπό της σ' ἐκείνους ποὺ καθαίρονται γι' αὐτόν.

Ἂν ὅμως θέλει κάποιος νὰ ἐξετάσει τὸ νόημα τῆς ἁγίας Γραφῆς καὶ ἀπὸ τὸν ἀριθμό, θὰ βρεῖ ὅτι καὶ ἔτσι μ' αὐτὸ μηνύεται ἡ πρόνοια· γιατὶ ἔργο τῆς πρόνοιας εἶναι ὄχι μονάχα νὰ φυλάξει ἀμείωτη τὴ φύση μας σύμφωνα μὲ τὸ δικό της λόγο τῆς ὕπαρξης, ἀλλὰ καὶ νὰ τὴν δείξει ὅτι δὲν ὑστερεῖ καὶ ὡς πρὸς τὴν ἀποκτηθείσα ἔπειτα μὲ τὴ χάρη μακαριότητα. Προσθέτοντας λοιπὸν κανένας στὰ διακόσια τὰ ἑκατὸ ἀποτελεῖ τὸν ἀριθμὸ τριακόσια, ποὺ δηλώνει τὴ φύση καὶ τὴν ἀρετή. Γιατὶ λέγε-

πολλάκις σημαίνειν ἀριθμὸν τὴν φύσιν, ὡς ἐξ ὕλης καὶ εἴδους ὑπάρχουσαν, εἴπερ ἡ ὕλη τετραδικὴ διὰ τὰ τέσσαρα στοιχεῖα, τὸ δὲ εἶδος πενταδικὸν διὰ τὴν αἴσθησιν τὴν τὸ ὑλικὸν πρὸς εἶδος σχηματίζουσαν φύραμα. Πεντάκις γὰρ συνθεὶς τὸν τεσσαράκοντα ἢ τετράκις τὸν πεντήκοντα ποιεῖς τὸν διακόσια. Ὁ δὲ ἑκατὸν ἀριθμὸς[21] τὴν τελείαν ἀρετὴν σημαίνει, ὡς ἔχων δεκαπλουμένην τὴν θείαν δεκάδα τῶν ἐντολῶν, εἰς ἣν φθάσας ὁ Ἀβραὰμ πατὴρ γίνεται τοῦ μεγάλου Ἰσαάκ, νεκρὸς κατὰ φύσιν, ζωῆς καὶ χαρᾶς γεννήτωρ κατὰ Πνεῦμα γενόμενος. Συνθεὶς οὖν τοῖς διακοσίοις τὰ ἑκατόν, τὸν τριακόσια πληρώσαις ἂν ἀριθμόν, δηλοῦντα τὴν πρόνοιαν, κατὰ τὸν τοῦ εὖ εἶναι λόγον τὴν φύσιν συνέχουσαν.

Ὁ δὲ ἑξήκοντα τὴν κατὰ φύσιν ποιητικὴν τῶν ἐντολῶν σημαίνει δύναμιν τετελειωμένην τοῖς λόγοις τῶν ἀρετῶν. Εἰ γὰρ ὁ ἓξ τὴν ποιητικὴν σημαίνει τῆς φύσεως δύναμιν, ὡς τέλειος καὶ ἐκ τῶν ἰδίων μερῶν συνιστάμενος (διὸ καὶ ἐν ἓξ ἡμέραις πεποιηκέναι τὸν Θεὸν τὸν κόσμον γέγραπται), ὁ δὲ δέκα τὸν τέλειον τῆς ἐν ταῖς ἐντολαῖς ἀρετῆς δηλοῖ, ἄρα ὁ ἑξήκοντα[22] τὴν κατὰ φύσιν δεκτικὴν τῶν ἐν ταῖς ἐντολαῖς θείων λόγων σαφῶς παραδηλοῖ δύναμιν.

Οὐκοῦν οἱ τέσσαρες μυριάδες πρὸς τοῖς τρισχιλίοις τριακοσίοις καὶ ἑξήκοντα δηλοῦσι τὸν τέλειον περὶ ἀρετῆς λόγον καὶ τὸ σεπτὸν τῆς θεολογίας μυστήριον καὶ τὸν ἀληθῆ τῆς προνοίας σκοπὸν καὶ τὴν ἀρεταῖς ποιωθεῖσαν πρακτικὴν τῆς φύσεως δύναμιν, μεθ᾽ ὧν ὁ σαρκὸς αἰσθήσεώς τε καὶ κόσμου τῷ πνεύματι διακρίνας τὸν νοῦν πάντως ἐξέρχεται, τὴν ἐν ἀλλήλοις τούτων ἀφεὶς, ὡς τὴν Βαβυλωνίαν οἱ πάλαι, φύρσιν καὶ σύγχυσιν, καὶ πρὸς τὴν ἄνω πόλιν ἐπείγεται, πάσης τὸν νοῦν ἔχων τῆς πρὸς ὁτιοῦν σχέσεως ἄνετον.

ται συχνὰ ὅτι ὁ ἀριθμὸς διακόσια σημαίνει τὴ φύση, ἐπειδὴ ἀποτελεῖται ἀπὸ ὕλη καὶ εἶδος, ἐφόσον ἡ ὕλη εἶναι τετραπλὴ ἐπειδὴ ἀποτελεῖται ἀπὸ τέσσερα στοιχεῖα, καὶ τὸ εἶδος πενταδικὸ ἐξαιτίας τῆς αἴσθησης, ποὺ σχηματίζει τὴν ὑλικὴ μάζα σὲ εἶδος. Ἐὰν δηλαδὴ πολλαπλασιάσομε πέντε φορὲς τὸ σαράντα ἢ τέσσερις φορὲς τὸ πενήντα κάνομε τὸ διακόσια. Ὁ ἀριθμὸς ἑκατὸ σημαίνει τὴν τέλεια ἀρετή, ἐπειδὴ ἔχει δεκαπλασιασμένη τὴ θεία δεκάδα τῶν ἐντολῶν, στὸν ὁποῖο ἀφοῦ ἔφτασε ὁ Ἀβραὰμ γίνεται πατέρας τοῦ μεγάλου Ἰσαάκ, ποὺ ἦταν νεκρὸς ὡς πρὸς τὴ φύση, καὶ ἔγινε πνευματικὰ πατέρας ζωῆς καὶ χαρᾶς. Προσθέτοντας λοιπὸν στὰ διακόσια τὰ ἑκατό, θὰ συμπληρώσεις τὸν ἀριθμὸ τριακόσια ποὺ δηλώνει τὴν πρόνοια ποὺ συνέχει τὴ φύση σύμφωνα μὲ τὸ λόγο τῆς μακαριότητας.

Ὁ ἀριθμὸς ἑξήντα σημαίνει τὴ δύναμη τῆς φύσης μας ποὺ ἐκτελεῖ τὶς ἐντολὲς ὁλοκληρωμένες στοὺς λόγους τῶν ἀρετῶν. Ἂν δηλαδὴ ὁ ἀριθμὸς ἕξι σημαίνει τὴν ποιητικὴ δύναμη τῆς φύσης μας ὡς τέλειος καὶ ἀποτελούμενος ἀπὸ τὰ ἴδια του τὰ μέρη (γι' αὐτὸ κι ἔχει γραφεῖ ὅτι ὁ Θεὸς δημιούργησε τὸν κόσμο σὲ ἕξι ἡμέρες[11]) κι ὁ ἀριθμὸς δέκα δηλώνει τὴν τελειότητα τῆς ἀρετῆς τῶν ἐντολῶν, ἄρα ὁ ἀριθμὸς ἑξήντα δηλώνει σαφῶς τὴ δύναμη τῆς φύσης μας ποὺ δέχεται τοὺς θείους λόγους τῶν ἐντολῶν.

Ἑπομένως οἱ τέσσερις μυριάδες μαζὶ μὲ τὶς τρεῖς χιλιάδες τριακόσιους ἑξήντα δηλώνουν τὸν τέλειο λόγο περὶ ἀρετῆς καὶ τὸ σεπτὸ μυστήριο τῆς θεολογίας καὶ τὸν ἀληθινὸ σκοπὸ τῆς πρόνοιας καὶ τὴν πρακτικὴ δύναμη τῆς φύσης μας διαποτισμένη ἀπὸ τὶς ἀρετές, μαζὶ μὲ τὶς ὁποῖες βγαίνει αὐτὸς ποὺ ξεχώρισε τὸ νοῦ μὲ τὸ πνεῦμα ἀπὸ τὴ σάρκα, τὴν αἴσθηση καὶ τὸν κόσμο, ἐγκαταλείποντας, ὅπως οἱ παλαιοὶ τὴ Βαβυλώνα, τὴν ἀνάμειξη καὶ τὴ μεταξύ τους σύγχυση, βιάζεται νὰ φθάσει στὴν ἄνω πόλη, μὲ τὸ νοῦ ἐλεύθερο ἀπὸ τὴ σχέση μὲ ὁποιοδήποτε.

11. Γεν. 2,2.

«Παῖδες τούτων καὶ παιδίσκαι ἑπτακισχίλιοι τριακόσιοι ἑπτά». Ὁ νόμος, ἐν τῷ περὶ παίδων καὶ παιδισκῶν τόπῳ διαγορεύων, φησὶ τοὺς ἑβραίους παῖδας καὶ παιδίσκας ἓξ ἔτη δουλεύειν καὶ τῷ ἑβδόμῳ ἀπολύεσθαι ἐλευθέρους, τοὺς δὲ ἀλλοφύλους παῖδας καὶ παιδίσκας δουλεύειν εἰς τὸν αἰῶνα, τὸ πεντηκοστὸν ἔτος οἶμαι τῆς ἀφέσεως αἰῶνα καλῶν. Ἑβραῖος δὲ παῖς καὶ ἑβραία παιδίσκη εἰσὶν οἱ τῷ πρακτικῷ φιλοσόφῳ δουλεύοντες ἓξ ἔτη λόγος καὶ διάνοια πρὸς ἐπίνοιαν τῆς ἠθικῆς εὐπρεπείας καὶ ἀρετῆς τρόπων ἐξεύρεσιν. Παντὶ γὰρ πρακτικῷ, παιδὸς καὶ παιδίσκης δίκην, ὁ λόγος καὶ ἡ διάνοια μοχθοῦσι, τοὺς κατ' ἀρετὴν τῆς πράξεως τρόπους ἐπινοοῦντές τε καὶ δημιουργοῦντες, καὶ οἷον πᾶσαν ἑαυτῶν κατὰ τῶν ἀντικειμένων τῇ πρακτικῇ πνευμάτων τῆς πονηρίας τὴν δύναμιν ἔχοντες ἀντιτεταγμένην. Πληρώσαντες οὖν τὴν πρακτικὴν φιλοσοφίαν, ἣν ὁ ἓξ τῶν ἐτῶν παρεδήλωσεν ἀριθμὸς (εἴρηται γὰρ ὡς ὁ ἓξ ἀριθμὸς τὴν πρακτικὴν σημαίνει φιλοσοφίαν), ἐλεύθεροι πρὸς τὴν πνευματικὴν ἀπολύονται, δηλονότι τῶν ἐν τοῖς οὖσι συγγενῶν λόγων θεωρίαν ἐπανερχόμενοι, ὅ τε λόγος καὶ ἡ διάνοια, ὁπηνίκα κατὰ τὸ ἕβδομον ἔτος[23] γένωνται, τουτέστι τῆς ἀπαθείας τὴν ἕξιν, καθ' ἣν δαμασθέντα τῷ πολλῷ καμάτῳ τοῦ λόγου καὶ τῆς συνημμένης αὐτῷ διανοίας ὑποχωρεῖ τῆς ψυχῆς τὰ πάθη καὶ ὑπεξίσταται.

Ἀλλόφυλος δὲ παῖς ἐστι καὶ παιδίσκη ὁ θυμὸς καὶ ἡ ἐπιθυμία, οὓς ὑποζεύγνυσι διαπαντὸς τῇ δεσποτείᾳ τοῦ λόγου πρὸς ὑπηρεσίαν τῶν ἀρετῶν δι' ἀνδρείας καὶ σωφροσύνης ὁ θεωρητικὸς νοῦς, μὴ διδοὺς αὐτοῖς παντελῶς τὴν πρὸς ἐλευθερίαν ἄφεσιν, ἕως ἂν καταποθῇ τῷ νόμῳ τοῦ πνεύματος τελείως ὁ τῆς φύσεως νόμος, καθάπερ ὑπὸ ζωῆς ἀπείρου σαρκὸς δυστήνου θάνατος, καὶ πᾶσα δειχθῇ καθαρῶς ἡ τῆς ἀνάρχου βασιλείας[24] εἰκών, πᾶσαν ἔχουσα τοῦ ἀρχετύπου διὰ μιμήσεως τὴν μορφήν· καθ' ἣν γενόμενος ὁ θεωρητικὸς νοῦς, ἐλευθέρους

«Τ' ἀγόρια καὶ τὰ κορίτσια τους ἦταν ἑφτὰ χιλιάδες τριακόσια ἑφτά». Ὁ νόμος, μιλώντας στὸ χωρίο γιὰ τὰ ἀγόρια καὶ τὰ κορίτσια λέει τὰ ἀγόρια καὶ τὰ κορίτσια τῶν Ἑβραίων νὰ δουλεύουν ὡς δοῦλοι ἕξι χρόνια καὶ τὸ ἕβδομο ν' ἀφήνονται ἐλεύθερα, ἐνῶ τὰ παιδιὰ καὶ τὰ κορίτσια τῶν ἀλλοφύλων νὰ εἶναι δοῦλοι στὸν αἰώνα[12], καλώντας αἰώνα τὸ πεντηκοστὸ ἔτος τῆς ἀπελευθέρωσης. Ἑβραιόπουλο καὶ Ἑβραιοπούλα εἶναι ὁ λόγος καὶ ἡ διάνοια ποὺ εἶναι δοῦλοι στὸν πρακτικὸ φιλόσοφο ἐπὶ ἕξι χρόνια πρὸς ἐπινόηση τῆς ἠθικῆς εὐπρέπειας καὶ ἐξεύρεσης τρόπων ἀρετῆς. Γιατὶ γιὰ καθε πρακτικό, σὰν ἀγόρι καὶ κορίτσι, μοχθοῦν ὁ λόγος καὶ ἡ διάνοια, ἐπινοώντας καὶ δημιουργώντας τοὺς σύμφωνους μὲ τὴν ἀρετὴ τρόπους τῆς πράξης καὶ σὰ νὰ ἔχουν ἀντιπαραταγμένη ὅλη τὴ δύναμή τους ἐνάντια στ' ἀντίθετα πρὸς τὴν πρακτικὴ πνεύματα τῆς πονηρίας. Ἀφοῦ συμπληρώσουν λοιπὸν τὴν πρακτικὴ φιλοσοφία ποὺ ὑποδήλωσαν τὰ ἕξι χρόνια (γιατὶ εἴπαμε ὅτι ὁ ἀριθμὸς ἕξι σημαίνει τὴν πρακτικὴ φιλοσοφία), ἀφήνονται ἐλεύθερα, ἐπανερχόμενα δηλαδὴ στὴν πνευματικὴ θεωρία τῶν συγγενῶν λόγων μέσα στὰ ὄντα καὶ ὁ λόγος καὶ ἡ διάνοια, ὅταν φτάσουν στὸ ἕβδομο ἔτος, δηλαδὴ στὴν ἕξη τῆς ἀπάθειας, μέσα στὴν ὁποία δαμασμένα ἀπὸ τὸν πολὺ κάματο τοῦ λόγου καὶ τῆς δεμένης μαζί του διάνοιας τὰ πάθη τῆς ψυχῆς ὑποχωροῦν καὶ διαφεύγουν.

Ἀλλόφυλο ἀγόρι καὶ κορίτσι εἶναι τὸ θυμικὸ καὶ ἡ ἐπιθυμία, ποὺ τὰ βάζει γιὰ πάντα στὸν ζυγὸ καὶ στὴ δεσποτεία τοῦ λόγου γιὰ τὴν ὑπηρεσία τῶν ἀρετῶν μὲ ἀνδρεία καὶ σωφροσύνη ὁ θεωρητικὸς νοῦς χωρὶς νὰ τὰ δίνει καμμιὰ ἐλευθερία, ὥσπου νὰ καταποθεῖ τελείως ὁ νόμος τῆς φύσης ἀπὸ τὸ νόμο τοῦ πνεύματος, ὅπως ὁ θάνατος τῆς δύστυχης σάρκας ἀπὸ τὴν ἄπειρη ζωή, καὶ φανερωθεῖ ὁλοκάθαρη ὅλη ἡ εἰκόνα τῆς ἄναρχης βασιλείας, ποὺ ἀπομιμεῖται κι ἔχει ὅλη τὴ μορφὴ τοῦ ἀρχέτυπου, ὅπου φτάνοντας ὁ θεωρητικὸς νοῦς, ἀπελευθερώνει τὸ θυμὸ καὶ

12. Δευτ. 15,12· 17. Δευτ. 25,10 καὶ 40–41.

ποιεῖται τόν τε θυμὸν καὶ τὴν ἐπιθυμίαν[25], τὴν μὲν πρὸς τὴν ἀκήρατον τοῦ θείου ἔρωτος ἡδονὴν καὶ τὴν ἄχραντον θέλξιν μετασκευάζων, τὸν δὲ πρὸς ζέσιν πνευματικὴν καὶ διάπυρον ἀεικινησίαν καὶ σώφρονα μανίαν μεταβιβάζων, καθ' ἥν, ὡς ἔοικεν, ἡ μεγάλη τοῦ ἀκηράτου φωτὸς ἀκτίς, ὁ μέγας ἀπόστολος Παῦλος, γενόμενος ἐν ταῖς Πράξεσιν ἤκουσε παρὰ τοῦ βασιλέως Ἀγρίππα, «μαίνῃ, Παῦλε», καὶ πάλιν αὐτός, περὶ ἑαυτοῦ πρὸς Κορινθίους γράφων «εἴτε ἐξέστημεν, Θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν», τὴν κατὰ Θεὸν σώφρονα μανίαν ἔκστασιν δηλονότι καλέσας, ὡς ἔξω ποιουμένην τῶν ὄντων τὸν κατ' αὐτὴν σώφρονα νοῦν.

Τὸν δὲ τούτων ἀριθμὸν σημαίνειν ὑπονοῶ τὴν κατὰ τὸν λόγον χρονικὴν μετὰ τῆς ἀπαθείας τῶν τρόπων πρόνοιαν[26], καθ' ἣν καὶ λόγῳ καὶ διανοίᾳ καθάπερ Ἑβραίοις παισὶ καὶ παιδίσκαις δουλεύουσι κατὰ τὴν πρᾶξιν ἐπικείμενος ὁ νοῦς ὁρίζει τὰ μέτρα τῆς κατ' ἀρετὴν τούτων ὑπουργίας, μεταφέρων πρὸς θεωρίαν, καί, θυμοῦ καὶ ἐπιθυμίας ὡς ἀλλοφύλων παίδων καὶ παιδισκῶν ἐπιμελούμενος ὡς δούλων δεσπότης, πρὸς τὴν ἰσότιμον ἄγει κατὰ τὸ τέλος[27] ἐλευθερίαν, τὴν μὲν ἐπιθυμίαν ποιῶν ἔφεσιν τῶν θείων ἀπολαυστικήν, τὸν δὲ θυμὸν τόνον ἀπολαυστικῆς ἐφέσεως ἄληκτον, καὶ ἀποτελῶν ἑβραίους ἀληθινοὺς κατὰ τὴν χάριν τοὺς ἀλλοφύλους δούλους.

«Ψάλται καὶ ψαλτῳδοὶ ὀκτακόσιοι πεντηκονταπέντε». Ψάλται[28] εἰσὶν οἱ τὸν θεῖον λόγον τοῖς τῶν ἀρετῶν τρόποις ἄνευ θεωρίας κατὰ τὴν πρᾶξιν ἀναφωνοῦντες. Ψαλτῳδοί[29] εἰσιν οἱ τὸν θεῖον λόγον τοῖς τῶν ἀρετῶν τρόποις μετὰ τῆς κατὰ τὴν θεωρίαν γνωστικῆς τερπνότητος τοῖς ἄλλοις μυσταγωγοῦντες καὶ τὰ νοητὰ αὐτῶν ὦτα καθηδύνοντες. Ὁ δὲ τούτων ἀριθμὸς δηλοῖ τὴν ἐφικτὴν ἀνθρώποις ἐπιστήμην τῶν αἰωνίων. Ὁ

τὴν ἐπιθυμία, τὴν ἐπιθυμία μεταποιώντας την στὴν ἀθάνατη ἡδονὴ τοῦ θείου ἔρωτα καὶ τὴν ἄχραντη θέλξη, ἐνῶ τὸ θυμὸ μετατρέποντάς τον σὲ πνευματικὴ χαρὰ καὶ διάπυρη ἀεικινησία καὶ μανία φρόνιμη. Στὴν κατάσταση αὐτὴ βρέθηκε, ὅπως φαίνεται, ἡ μεγάλη ἀκτίνα τοῦ ἀθάνατου φωτός, ὁ μέγας ἀπόστολος Παῦλος στὶς Πράξεις καὶ ἄκουσε ἀπὸ τὸ βασιλέα Ἀγρίππα τὸ λόγο, «εἶσαι μανιακός, Παῦλε»[13], καὶ πάλι ὅταν γράφει ὁ ἴδιος στοὺς Κορινθίους γιὰ τὸν ἑαυτό του «εἴτε εἶμαι ἔξω ἀπὸ τὸν ἑαυτό μου γιὰ χάρη τοῦ Θεοῦ, εἴτε εἶμαι στὰ λογικά μου γιὰ χάρη δική σας»[14], ὀνομάζοντας δηλαδὴ τὴ φρόνιμη μανία ἔκσταση, ἐπειδὴ βγάζει ἔξω ἀπὸ τὰ ὄντα τὸ φρόνιμο νοῦ ποὺ ὑπάρχει σ' αὐτήν.

Ὁ ἀριθμός τους[15] πάλι ὑποθέτω ὅτι σημαίνει τὴ μέσα στὸ χρόνο ἐκδηλούμενη μὲ τὴν ἀπάθεια πρόνοια τοῦ Λόγου, ὅπου μὲ τὸ λόγο καὶ τὴ διάνοια, ὅπως στὰ Ἑβραιόπουλα καὶ τὶς Ἑβραιοποῦλες ποὺ ἦταν δοῦλοι ἐρχόμενος ἀπὸ πάνω τους ὁ νοῦς κατὰ τὴν ἐργασία τους ορίζει τοὺς κανόνες τῆς σύμφωνης μὲ τὴν ἀρετὴ ὑπηρεσίας τους· μεταφέροντας στὴ θεωρία τοῦ θυμικοῦ καὶ τῆς ἐπιθυμίας, σὰ νὰ φροντίζει ἀλλόφυλα ἀγόρια καὶ κορίτσια, ὅπως ὁ Κύριος τοὺς δούλους του, τοὺς ὁδηγεῖ κατὰ τὸ τέλος σὲ ἰσότιμη ἐλευθερία, μεταβάλλοντας τὴν ἐπιθυμία σὲ ἔφεση ἀπόλαυσης τῶν θείων καὶ τὸ θυμὸ σὲ ἔντονη δίχως λήξη ἔφεση γι' ἀπόλαυση καὶ μετατρέποντας τοὺς ἀλλόφυλους δούλους σὲ ἀληθινοὺς Ἑβραίους.

«Ψάλτες καὶ ψαλμωδοὶ ὀχτακόσιοι πενήντα πέντε»· ψάλτες εἶναι ὅσοι ἀναφωνοῦν τὸ θεῖο λόγο μὲ τὶς ἐκδηλώσεις τῶν ἀρετῶν στὴν πράξη χωρὶς θεωρία. Ψαλμωδοὶ εἶναι ὅσοι διδάσκουν τοὺς ἄλλους τὸ θεῖο λόγο μετὰ τὶς ἐκδηλώσεις τῶν ἀρετῶν συνοδευόμενες μὲ τὴ γνωστικὴ τερπνότητα τῆς θεωρίας καὶ καταγλυκαίνουν τὴ νοητὴ ἀκοή τους. Ὁ ἀριθμὸς δηλαδὴ ὀχτακόσια καὶ ὁ ἀριθμὸς πενήντα ὑποδηλώνουν ὁ ἕνας τοὺς

13. Πράξ. 26,24. 14. Β' Κορ. 5,13. 15. παίδων καὶ παιδισκῶν.

γὰρ ὀκτακόσια[30] καὶ ὁ πεντήκοντα ὁ μὲν τοὺς τῆς γνώσεως, ὁ δὲ τοὺς τῶν ἀρετῶν μέλλοντας λόγους ὑποφαίνει· ὁ δὲ πέντε τὴν ἐπὶ τούτοις ἐπιστήμην παρίστησι, καθὼς περὶ τοῦ πέντε μικρῷ πρόσθεν ἀποδεδώκαμεν ἀριθμοῦ.

«Κάμηλοι τετρακόσιοι τριακονταπέντε». Κάμηλοι, συνεξιοῦσαι τοῖς υἱοῖς Ἰσραήλ, σὺν ἐλευθερίᾳ πολλῇ τῆς πικρᾶς ἀπολυομένοις αἰχμαλωσίας, εἰσὶν αἱ φυσικαὶ τῶν ὁρωμένων διάφοροι θεωρίαι, κατὰ τὴν κάμηλον ἔχουσαι πρὸς μὲν αἴσθησιν, ὥσπερ πόδας, ἀκαθάρτους τὰς ἐπιφανείας τῶν ὁρατῶν, πρὸς δὲ νοῦν, ὥσπερ κεφαλήν, καθαροὺς τοὺς ἐν αὐτοῖς ὑψηλοτέρους ἐν πνεύματι λόγους.

Καὶ τάχα περὶ τούτων τῶν καμήλων τὴν δόξαν τῆς νοουμένης Ἰερουσαλὴμ προφητικῶς ὁ μέγας προδεικνὺς Ἡσαΐας ἔφη «καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ καὶ Γεφάρ»[31], τουτέστιν αἱ πνευματικαὶ θεωρίαι τῶν κατὰ φύσιν παθῶν. 'Ἔκκρισις' γὰρ Μαδιὰμ ἑρμηνεύεται ἢ 'πηλὸς αἱματώδης' ἢ 'ἱδρῶτες ἀνθρώπινοι καὶ μητρός', Γεφὰρ δὲ 'κτῆσις νώτου', ὅπερ ἐστὶ θεωρία εἰς ὕψος αἰρομένη τῶν περὶ σάρκα παθῶν, ψυχῆς δὲ νῶτον, ὡς ὀπίσθιον, ἡ σάρξ, οἷς, καθάπερ πόλιν ἁγίαν, τὴν πνευματικὴν τῆς εἰρηνικῆς καὶ ἀστασιάστου τῶν μυστικῶν θεαμάτων γνώσεως λῆξιν, οἷα τείχεσι, καλύπτεσθαί φησιν ὁ λόγος.

Δηλοῖ δὲ τὴν ἀποδοθεῖσαν δύναμιν καὶ αὐτὸς ὁ ἀριθμός[32], τὴν περὶ φύσιν καὶ χρόνον λογικὴν σημαίνων κίνησιν.

«Καὶ ἵπποι ἑπτακισχίλιοι ἑπτακόσιοι τριακονταέξ». Ἵππος ἐστὶν ὁ ἐν τῷ δρόμῳ τῶν ἀρετῶν κατὰ τὸν βίον ἔχων ὅλην τοῦ θυμοῦ τὴν εὐτονίαν. Φασὶ γὰρ τοῦ ἵππου τὴν χολὴν εἰς τὰς κατὰ φύσιν τῶν ποδῶν ὠτειλὰς εἶναι. Διὸ καὶ πάντων τῶν λοιπῶν ἡμέρων ζῴων καὶ τῇ φύσει τῶν ἀνθρώπων ὑπεζευγμένων ἐκρίθη μᾶλλον πρὸς δρόμον ἐπιτηδειότερός τε καὶ δυνα-

μελλοντικοὺς λόγους τῆς γνώσης καὶ ὁ ἄλλος τοὺς μελλοντικοὺς λόγους τῶν ἀρετῶν. Ὁ ἀριθμὸς πέντε συμβολίζει τὴ γνώση γι' αὐτά, ποὺ προηγουμένως ἀποδώσαμε στὸν ἀριθμὸ αὐτόν.

«Καμῆλες τετρακόσιες τριάντα πέντε». Καμῆλες ποὺ βγαίνουν μαζὶ μὲ τοὺς Ἰσραηλίτες, ποὺ ἀπολύονται ἀπὸ τὴν πικρὴ αἰχμαλωσία μὲ μεγάλη ἐλευθερία, εἶναι οἱ διάφορες φυσικὲς θεωρίες ὅσων βλέπομε ποὺ ἔχουν, ὅπως ἡ καμήλα, γιὰ τὴν αἴσθηση, σὰ νά 'ναι τ' ἀκάθαρτα πόδια της, τὶς ἀκάθαρτες ἐπιφάνειες τῶν ὁρατῶν καὶ σὰν κεφάλι τὸ νοῦ μὲ καθαροὺς τοὺς μέσα σ' αὐτὰ καὶ ὑψηλότερους πνευματικοὺς λόγους.

Καὶ πιθανὸν γι' αὐτὲς τὶς καμῆλες, δείχνοντας προφητικὰ τὴ δόξα τῆς νοητῆς Ἰερουσαλὴμ ὁ μέγας Ἠσαΐας, εἶπε «καὶ θὰ καλύψουν τὶς καμῆλες τῆς Μαδιὰμ καὶ τῆς Γεφάρ»[16], δηλαδὴ οἱ πνευματικὲς θεωρίες τῶν φυσικῶν παθῶν. Γιατὶ ἡ λέξη Μαδιὰμ ἑρμηνεύεται 'ἔκκριση' ἢ 'πηλὸς ματωμένος' ἢ 'ἱδρῶτες τῶν ἀνθρώπων καὶ τῆς μητέρας', ἐνῶ Γεφὰρ σημαίνει 'κτήση νώτων', πράγμα ποὺ σημαίνει θεωρία ποὺ ἀνεβαίνει ψηλότερα ἀπὸ τὰ πάθη τῆς σάρκας, καὶ τὰ νῶτα τῆς ψυχῆς ὡς ὀπίσθιο μέρος εἶναι σάρκα. Μὲ αὐτὰ λέει ὁ λόγος καλύπτεται, ὅπως μὲ τείχη, ἡ πνευματικὴ λήξη τῆς εἰρηνικῆς καὶ ἀστασίαστης γνώσης τῶν μυστικῶν θεαμάτων.

Τὸ νόημα ποὺ δώσαμε τὸ δηλώνει καὶ ὁ ἴδιος ὁ ἀριθμός, ποὺ σημαίνει τὴ λογικὴ κίνηση γύρω ἀπὸ τὴ φύση καὶ τὸ χρόνο.

«Καὶ ἵπποι ἑφτὰ χιλιάδες ἑφτακόσιοι τριάντα ἕξι». Ὁ ἵππος εἶναι αὐτὸς ποὺ ἔχει ὅλο τὸ νεῦρο τοῦ θυμικοῦ του στὸ δρόμο τῶν ἀρετῶν κατὰ τὸ βίο του. Γιατὶ λένε ὅτι ἡ χολὴ τοῦ ἵππου βρίσκεται στὶς φυσικὲς οὐλὲς τῶν ποδιῶν του. Γι' αὐτὸ κι ἀπὸ ὅλα τὰ ἄλλα ἥμερα ζῶα ποὺ εἶναι ὑποταγμένα στὸν ἄνθρωπο θεωρήθηκε ὁ πιὸ ἐπιτήδειος καὶ δυνατότερος γιὰ τὸ δρόμο, μὲ

16. Ἠσ. 60,6.

τώτερος, οἷς παρεικάσας τοὺς ἁγίους ἀποστόλους ὁ μέγας προφήτης Ἀμβακοὺμ διὰ τοῦ Πνεύματός φησι «καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά», ἵππους καλέσας τοὺς ἁγίους καὶ μακαρίους ἀποστόλους, τὸν σωτήριον τῆς ἀληθείας λόγον βαστάζοντας ἐνώπιον ἐθνῶν καὶ βασιλέων ἐν παντὶ τῷ κόσμῳ, ὃν τροπικῶς ὠνόμασε θάλασσαν· καὶ τὰ ἔθνη παρείκασεν ὕδασι, διὰ τῆς ἐν τῷ λόγῳ τοῦ Πνεύματος μεγάλης δυνάμεως ταρασσόμενά τε καὶ σειόμενα, καὶ τῷ σωτηρίῳ σεισμῷ μεταβιβαζόμενα πρὸς πίστιν ἐξ ἀπιστίας καὶ πρὸς ἐπίγνωσιν ἐξ ἀγνωσίας καὶ ἀπὸ κακίας εἰς ἀρετήν.

Δηλοῖ δὲ τοῦτο καὶ αὐτὸς τῶν ἵππων ὁ ἀριθμός([33]), τὴν κατ' ἀρετὴν τῆς πρακτικῆς φιλοσοφιάς ἕξιν τυπῶν. Ὁ γὰρ ἑπτακισχίλια ἑπτακόσια ἀριθμὸς ὡς χρονικὸς σημαίνει τὴν ἐν ἀρεταῖς ὀξεῖαν κίνησιν, ὁ δὲ τριακονταὲξ τὴν ταῖς ἀρεταῖς συντρέχουσαν τῆς φύσεως πρᾶξιν.

«Ἡμίονοι δὲ ὀκτακόσιοι τεσσαρακονταπέντε». Ἡμίονός ἐστι κατὰ τὸν ἐπαινούμενον λόγον ἡ παντελῶς κατὰ κακίαν ἄγονος ἕξις. Διὸ πάνυ τῷ πνεύματι τῆς Γραφῆς προσφυῶς τε καὶ πρεπόντως ὁ βασιλεύειν λαχὼν τοῦ Ἰσραὴλ οὐχ ἵππῳ, ἀλλ' ἡμιόνῳ καθέζεσθαι προσετάγη, τοῦ λόγου δηλοῦντος ὅτι δεῖ τὸν θεωρητικὸν νοῦν, βασιλεύοντα τῶν ἐν τοῖς οὖσι νοημάτων τε καὶ θεαμάτων καὶ τῶν οἰκείων κινημάτων, ἕξιν ἄγονον ἔχειν κακίας, τουτέστι κακίαν μήτε συλλαμβάνουσαν παντελῶς μήτε τίκτουσαν, ἐφ' ἧς αὐτὸν δεῖ περὶ θεωρίαν κινούμενον φέρεσθαι, μήπως, πνευματικὴν ποιούμενος τὴν τῶν ὄντων διάσκεψιν, λαθὼν περιπέσῃ τινὶ τῶν παραφθείρειν διά τινος τῶν αἰσθητῶν πεφυκότων πονηρῶν πνευμάτων τὴν ἁγνὴν τῆς καρδίας διάθεσιν.

Οἴδαμεν δὲ καὶ ἐπὶ ψόγῳ κειμένην τῇ Γραφῇ τὴν ἡμίονον,

τοὺς ὁποίους ὁ μέγας προφήτης 'Αμβακοὺμ ἐμπνεόμενος ἀπὸ τὸ Πνεῦμα παρομοίασε τοὺς ἁγίους ἀποστόλους λέγοντας, «ἐπιβαίνεις τοὺς ἵππους σου πάνω στὴ θάλασσα, προκαλῶντας μεγάλη ταραχὴ στὰ νερά»[17], καλῶντας ἵππους τοὺς ἁγίους καὶ μακάριους ἀποστόλους, ποὺ μετέφεραν τὸ σωτήριο λόγο τῆς ἀλήθειας μπροστὰ στὰ ἔθνη καὶ στοὺς βασιλιάδες σ' ὅλο τὸν κόσμο, ποὺ τοὺς ὀνόμασε μεταφορικὰ θάλασσα. Καὶ τὰ ἔθνη τὰ παρόμοιασε μὲ νερὰ ποὺ τὰ ταράζει καὶ τὰ τρικυμίζει ἡ μεγάλη δύναμη τοῦ λόγου τοῦ Πνεύματος καὶ μὲ τὸ σωτήριο σάλο μεταφέρεται ἀπὸ τὴν ἀπιστία στὴν πίστη καὶ ἀπὸ τὴν ἄγνοια στὴν ἐπίγνωση καὶ ἀπὸ τὴν κακία στὴν ἀρετή.

Αὐτὸ τὸ φανερώνει καὶ ὁ ἴδιος ὁ ἀριθμὸς τῶν ἀλόγων, ὑποτυπώνοντας τὴν κατοχὴ τῆς πρακτικῆς φιλοσοφίας τῆς ἀρετῆς. Ὁ ἀριθμὸς δηλαδὴ ἑφτὰ χιλιάδες ἑφτακόσια, δηλωτικὸς τοῦ χρόνου, σημαίνει τὴ σφοδρὴ κίνηση στὶς ἀρετές, ἐνῶ ὁ ἀριθμὸς τριάντα ἕξι τὴν ἐνέργεια τῆς φύσης μας ποὺ συμβαδίζει μὲ τὶς ἀρετές.

«Ἡμίονοι ὀχτακόσιοι σαράντα πέντε». Ὁ ἡμίονος εἶναι σύμφωνα μὲ τὸ ἐπαινετὸ νόημα ἡ τελείως ἄγονη γιὰ τὴν κακία ἕξη. Γι' αὐτὸ πάρα πολὺ πρόσφορα καὶ κατάλληλα στὸ πνεῦμα τῆς Γραφῆς, αὐτὸς ποὺ τοῦ ἔλαχε νὰ βασιλεύει στὸν Ἰσραὴλ διατάχθηκε νὰ καβαλλικέψει[18] ὄχι ἵππο, ἀλλὰ ἡμίονο, δηλώνοντας μ' αὐτὸ ὁ λόγος ὅτι πρέπει ὁ θεωρητικὸς νοῦς νὰ βασιλεύει στὰ νοήματα καὶ στὰ θεάματα τῶν ὄντων καὶ στὰ κινήματά τους νὰ ἔχει ἕξη ἄγονη γιὰ τὴν κακία, δηλαδὴ οὔτε κὰν νὰ συλλαμβάνει οὔτε νὰ γεννᾶ τὴν κακία, πάνω στὴν ὁποία πρέπει νὰ καβαλλικεύει αὐτὸς καὶ νὰ πορεύται μὲ τὴ θεωρία, μήπως, ἀσκώντας τὴν πνευματικὴ ἐξέταση τῶν ὄντων, πέσει κατὰ λάθος σὲ κάποιο ἀπὸ τὰ πονηρὰ πνεύματα ποὺ τυχαίνει νὰ παραφθείρουν μὲ κάποιο αἰσθητὸ τὴν ἁγνὴ διάθεση τῆς καρδιᾶς.

Γνωρίζομε ὅμως ὅτι ὁ ἡμίονος βρίσκεται στὴ Γραφὴ καὶ

17. 'Αββακ. 3,15. 18. Γ' Βασ. 1,33.

ὡς τὸ «μὴ γίνεσθε ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις», ἵππον καλέσαντος τοῦ λόγου τὴν χρεμετίζουσαν ἕξιν ταῖς τῶν παθῶν ἡδοναῖς, καὶ ἡμίονον τὴν τὸ καλὸν μήτε συλλαμβάνουσαν μήτε τίκτουσαν ἕξιν, ἃς ἀπηγόρευσεν ὁ λόγος ἰσοτίμως τοῖς σωτηρίας ἐφιεμένοις, τὴν μὲν ὡς ἐνεργητικὴν κακίας, τὴν δὲ ὡς ἀρετῆς ἀπραξίαν ἔχουσαν. Καὶ ἡ Ἀβεσσαλὼμ δὲ ἡμίονος ἐπὶ ψόγῳ λαμβάνεται, ἐφ' ἧς καθίσας ἐξῆλθε τὸν θάνατον ἐπιζητῶν τοῦ γεννήσαντος, δηλοῦντος ἐν τούτοις τοῦ Πνεύματος ὡς ὁ κενοδοξίᾳ τινὶ δι' ἀρετὴν ἢ γνῶσιν τρωθείς, τὴν κόμην ματαίως διατρέφων τῆς οἰήσεως ἐπιτετεχνασμένην τε καὶ μικτήν, ὥσπερ ἡμίονον πρὸς ἀπάτην τῶν θεωμένων τὴν ἠθικὴν ἐπιδείκνυται πολιτείαν, ἐφ' ἧς αἰωρούμενος οἴεται τὸν γεννήσαντα διὰ τῆς διδασκαλίας τοῦ λόγου πατέρα χειρώσασθαι, πᾶσαν βουλόμενος τὴν τῷ πατρὶ προσοῦσαν θεόθεν δόξαν τῆς ἀρετῆς καὶ τῆς γνώσεως, ὡς ὑπερήφανος, εἰς ἑαυτὸν τυραννικῶς ἐφελκύσασθαι. Ἀλλ' ὁ τοιοῦτος, ἐξελθὼν εἰς τὸ πλάτος(34) τῆς ἐν πνεύματι φυσικῆς θεωρίας πρὸς τὸν ὑπὲρ ἀληθείας λογικὸν πόλεμον, διὰ τὴν ζῶσαν αἴσθησιν «τῷ δάσει τῆς δρυὸς» τῶν ὑλικῶν θεαμάτων κρατεῖται τῆς κόμης, αὐτὴν ἔχων δεσμοῦσαν τὸν νοῦν πρὸς θάνατον τὴν διάκενον οἴησιν, τὴν «κρεμνῶσαν» αὐτὸν «ἀναμέσον τοῦ οὐρανοῦ καὶ ἀναμέσον τῆς γῆς». Οὐ γὰρ ἔχει γνῶσιν ὁ κενόδοξος καθάπερ οὐρανὸν ἀνέλκουσαν αὐτὸν τῆς κατασπώσης οἰήσεως, οὐδ' αὖ πάλιν γῆν (τὴν ἐν τῇ ταπεινώσει λέγω βάσιν τῆς πράξεως) καθέλκουσαν αὐτὸν τῆς ἀνασπώσης αὐτὸν φυσιώσεως, ὃν πενθεῖ καὶ θανόντα, διὰ φιλανθρωπίαν, ὡς φιλόθεος, ὁ γεννήσας διδάσκαλος μιμήσει Θεοῦ, «μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν».

Ἵνα δὲ καὶ κατ' ἄλλον τρόπον θεωρήσωμεν τὸν τόπον,

μὲ ἔννοια ψεκτή, ὅπως γιὰ παράδειγμα· «μὴ γίνεστε ἵππος καὶ ἡμίονος, ποὺ δὲν ἔχουν φρόνηση»[19]. Ἵππο εἶπε τὴν ἕξη ποὺ χρεμετίζει στὶς ἡδονὲς τῶν παθῶν καὶ ἡμίονο τὴν ἕξη ποὺ οὔτε συλλαμβάνει οὔτε γεννᾶ τὸ καλό· καὶ τὶς δύο αὐτὲς τὶς ἀπαγόρευσε ἐξίσου ὁ λόγος γιὰ ὅσους ποθοῦν τὴν σωτηρία, τὴ μία ἐπειδὴ ἐνεργεῖ τὴν κακία, ἐνῶ τὴν ἄλλη, ἐπειδὴ περιέχει ἀπραξία τῆς ἀρετῆς. Καὶ ἡ ἡμίονος τοῦ Ἀβεσσαλὼμ[20] χρησιμοποιεῖται μὲ νόημα κακό, ἐπάνω στὴν ὁποία κάθισε καὶ ἐξῆλθε, ἐπιδιώκοντας τὸ θάνατο τοῦ πατέρα του. Μὲ αὐτὰ δηλώνει τὸ Πνεῦμα ὅτι ὅποιος πληγώθηκε ἀπὸ κάποια κενοδοξία γιὰ τὴν ἀρετή του ἢ τὴ γνώση του, μάταια τρέφει τὰ μαλλιὰ τῆς οἴησης φτιαχτὰ κι ἀνάμικτα, ἐπιδεικνύοντας σὰν ἡμίονο τὴν ἠθικὴ πολιτεία του πρὸς ἐξαπάτηση ἐκείνων ποὺ βλέπουν. Πάνω σ' αὐτὴν ταλαντευόμενος νομίζει πὼς θὰ κάνει ὑποχείριό του τὸν πατέρα τοῦ λόγου ποὺ τὸν γέννησε μὲ τὴ διδασκαλία, θέλοντας νὰ ἑλκύσει βίαια ὡς ὑπερήφανος στὸν ἑαυτό του τὴ δόξα τῆς ἀρετῆς καὶ τῆς γνώσης ποὺ διαθέτει ἀπὸ Θεοῦ ὁ πατέρας του. Αὐτὸς ὅμως βγαίνοντας στὸ πλάτος τῆς πνευματικῆς φυσικῆς θεωρίας γιὰ τὸ λογικὸ πόλεμο γιὰ χάρη τῆς ἀλήθειας ἐξαιτίας τῆς ζωντανῆς αἴσθησης «στὸ δάσος ἀπὸ βελανιδιὲς»[21] τῶν ὑλικῶν θεαμάτων πιάνεται ἀπὸ τὰ μαλλιά του, καθὼς δέσμευε τὸ νοῦ του θανάσιμα ἡ ἴδια ἡ κούφια οἴηση, ποὺ τὸν κρατοῦσε κρεμασμένο ἀνάμεσα τὸν οὐρανὸ καὶ τὴ γῆ. Γιατὶ ὁ κενόδοξος δὲν ἔχει τὴ γνώση ποὺ σὰν οὐρανὸς νὰ τὸν ἀνασπᾶ ἀπὸ τὴν οἴηση ποὺ τὸν σέρνει πρὸς τὰ κάτω, οὔτε πάλι καὶ τὴ γῆ, ἐννοῶ τὴ θεμελίωση τῆς πράξης στὴν ταπείνωση, νὰ τὸν κατεβάζει ἀπὸ τὴ φυσίωση ποὺ τὸν μετεωρίζει. Αὐτὸν τὸν πενθεῖ καὶ πεθαμένο ἀπὸ φιλανθρωπία ὡς φιλόθεος ὁ δάσκαλος ποὺ τὸν γέννησε μιμούμενος τὸ Θεό, «ποὺ δὲν θέλει τὸ θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλὰ νὰ ἐπιστρέψει καὶ νὰ ζήσει»[22].

Γιὰ νὰ δοῦμε τὸ χωρίο κι ἀπὸ τὴν ἄλλη ἄποψη, ὑποθέτω

---

19. Ψαλμ. 31,9. 20. Β' Βασ. 18,9. 21. δ.π. 22. Ἰεζ. 33,11.

Δαυὶδ τὸν πρακτικὸν νοῦν σαφῶς παραδείκνυσιν, Ἀβεσσαλὼμ δὲ τὴν ἐκ τοῦ πρακτικοῦ κατὰ τὴν τοῦ νοῦ πρὸς αἴσθησιν συνουσίαν τικτομένην οἴησιν. Αἴσθησις γάρ ἐστιν ἡ θυγάτηρ τοῦ βασιλέως Γεσσούρ, ἣν λαβὼν ὁ Δαυὶδ τὸν Ἀβεσσαλὼμ ἐγέννησεν. Ἑρμηνεύεται δὲ Γεσσοὺρ 'ὁδηγία τοίχου'. Τοῖχος δὲ τὸ σῶμα προδήλως καθέστηκεν, ὁδηγία δὲ τοῦ σώματός ἐστιν ὁ νόμος τοῦ σώματος, ἤγουν ἡ αἴσθησις, ἐξ ἧς γεννᾶται Ἀβεσσαλώμ, 'πατρὸς εἰρήνη νομιζομένη' ἑρμηνευόμενος, ὅπερ ἐστὶ σαφῶς ἡ οἴησις. Νομίζοντες γὰρ εἰρηνεύειν παθῶν, συνιστῶμεν τὴν οἴησιν, ἣν ἐπαναστᾶσαν αὐτῷ γνοὺς ὁ μέγας Δαυίδ, ἅτε γνώσει τὴν πρᾶξιν διατελῶν καὶ τὴν σκηνὴν καὶ τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίαν ἀφείς, φεύγει πέραν τοῦ Ἰορδάνου πρὸς τὴν γῆν Γαλαάδ, τουτέστιν εἰς τὴν 'μετοικίαν τοῦ πένθους', ἢ τὴν 'μετοικίαν τῆς μαρτυρίας' ἢ τὴν 'ἀποκάλυψιν αὐτῶν', ἀνάξιον ἑαυτὸν κρίνας, διὰ τὴν ἐπαναστᾶσαν οἴησιν, τῆς ἁγίας σκηνῆς, τουτέστι τῆς μυστικῆς θεολογίας καὶ τῆς Ἱερουσαλήμ, τουτέστι τῆς εἰρηνικῆς καὶ τῶν θείων ἐποπτικῆς γνώσεως, καὶ τῆς Ἰουδαίας, τουτέστι τῆς ἐπὶ χαρᾷ τῆς πράξεως ἐξομολογήσεως. Πρὸς γὰρ τὸ πένθος μετοικίσας[35] ὁ νοῦς τὰς οἰκείας δυνάμεις καὶ τὴν τῶν πρώην πεπραγμένων καθάπερ μαρτυρίαν συνείδησιν καὶ τὴν μνήμην τῶν κατ' εἶδος πλημμεληθέντων (τοῦτο γάρ ἐστιν ἀποκάλυψις αὐτῶν) καὶ ἁπλῶς εἰπεῖν εἰς τὸν πρὸ τῆς χάριτος χρόνον τῇ διανοίᾳ γενόμενος (τοῦτο γάρ ἐστι πέραν τοῦ Ἰορδάνου γενέσθαι), καθ' ὃν τῆς κατ' ἀρετὴν καὶ γνῶσιν ἠλλοτρίωτο χάριτος, καὶ τὴν ἰδίαν ἐπιγνοὺς ἀσθένειαν καὶ τὴν ἰσχυρὰν καὶ ἀντίθετον τῆς οἰήσεως κτησάμενος ταπεινοφροσύνην, διὰ τῆς τῶν οἰκείων συναισθήσεως διαπερῶσαν πρὸς αὐτόν, ὄντα ἐν πένθει καλῷ, τὴν τύραννον οἴησιν ἀποκτέννει καὶ πρὸς τὴν οἰκείαν πάλιν ἐπανέρχεται δόξαν καὶ τῆς γῆς κρατεῖ τοῦ Ἰούδα καὶ τῆς Ἱερουσαλὴμ

ὅτι ὁ Δαβὶδ δηλώνει τὸν πρακτικὸ νοῦ, ἐνῶ ὁ Ἀβεσσαλὼμ τὴν οἴηση ποὺ γεννιέται ἀπὸ τὴν πράξη κατὰ τὴν ἀνάμειξη τοῦ νοῦ μὲ τὴν αἴσθηση. Γιατὶ ἡ αἴσθηση εἶναι ἡ θυγατέρα τοῦ βασιλιᾶ Γεσσούρ, ποὺ τὴν πῆρε γυναίκα του ὁ Δαβὶδ καὶ γέννησε τὸν Ἀβεσσαλώμ[23]. Γεσσοὺρ σημαίνει 'ὁδηγία τοίχου'. Τοῖχος προφανῶς ἔγινε τὸ σῶμα, καὶ ὁδηγία τοῦ σώματος εἶναι ὁ νόμος τοῦ σώματος, δηλαδὴ ἡ αἴσθηση, ἀπὸ τὴν ὁποία γεννιέται ὁ Ἀβεσσαλὼμ ποὺ ἑρμηνεύεται 'θεωρούμενη εἰρήνη τοῦ πατέρα', πράγμα ποὺ εἶναι σαφῶς ἡ οἴηση. Νομίζοντας δηλαδὴ ὅτι θὰ εἰρηνεύσομε ἀπὸ τὰ πάθη δημιουργοῦμε τὴν οἴηση, τὴν ὁποία ὅταν εἶδε ὁ μέγας Δαβὶδ νὰ ὀρθώνεται ἐναντίον του, ἐπειδὴ ὁλοκληρώνει τὴν πράξη μὲ τὴ γνώση, ἀφήνοντας τὴ σκηνὴ καὶ τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαία, ἀναχωρεῖ πέρα ἀπὸ τὸν Ἰορδάνη πρὸς τὴ γῆ Γαλαάδ[24], δηλαδὴ στὴ μετοίκηση τοῦ πένθους ἢ τὴ μετοίκηση τῆς μαρτυρίας ἢ στὴν ἀποκάλυψή τους, κρίνοντας ἀνάξιο τὸν ἑαυτό του, ἐξαιτίας τῆς οἴησης ποὺ εἶχε ἐπαναστατήσει, γιὰ τὴν ἁγία σκηνή, δηλαδὴ τὴ μυστικὴ θεολογία καὶ τὴν Ἱερουσαλήμ, δηλαδὴ τὴν εἰρηνικὴ καὶ ἐποπτικὴ τῶν θείων γνώση, καὶ τὴν Ἰουδαία, ἤτοι τὴν ἐξομολόγηση γιὰ τὴ χαρὰ τῆς πράξης. Ὅταν δηλαδὴ ὁ νοῦς μετέφερε πρὸς τὸ πένθος τὶς δυνάμεις του καὶ τὴν σὰν μάρτυρα συνείδηση ὅσων εἶχαν πραχθεῖ προηγουμένως καὶ τὴ θύμηση τῶν εἰδικὰ πραχθέντων πλημμελημάτων (γιατὶ αὐτὸ εἶναι ἡ ἀποκάλυψή τους) καὶ γενικὰ ὅταν μὲ τὸ νοῦ μεταφέρθηκε στὸν χρόνο πρὶν ἀπὸ τὴ χάρη (γιατὶ αὐτὸ σημαίνει τὸ ὅτι πῆγε πέρα ἀπὸ τὸν Ἰορδάνη), κατὰ τὸν ὁποῖο ἦταν ἀποξενωμένος ἀπὸ τὴ χάρη τῆς ἀρετῆς καὶ τῆς γνώσης, κι ὅταν κατανόησε τὴν ἀσθένειά του κι ἀπέκτησε τὴν ἰσχυρὴ κι ἀντίθετη στὴν οἴηση ταπεινοφροσύνη, ποὺ ἔρχεται σ' αὐτὸν μὲ τὴ συναίσθηση τῶν λαθῶν του, βρισκόμενος σὲ καλὸ πένθος, σκοτώνει τὴ τυραννικὴ οἴηση κι ἐπανέρχεται στὴ δική του δόξα καὶ γίνεται κύριος τῆς γῆς τοῦ Ἰούδα καὶ βασιλεύει

23. Β' Βασ. 3,3. 24. Β' Βασ. 15,13–17. 17,22.

βασιλεύει καὶ τῇ ἁγίᾳ σκηνῇ τοῦ Θεοῦ λατρεύει τὴν ἀκήρατον καὶ ἄμωμον λατρείαν.

Ἀλλ᾽ ἐπανέλθωμεν πρὸς τὸν ἀριθμὸν τῶν ἡμιόνων τῶν ἀπὸ τῆς αἰχμαλωσίας ἀπολυθέντων Ἰουδαίων, τὸν ἐν αὐτῷ πνευματικὸν κατὰ δύναμιν ἐποψόμενοι λόγον. «Ἡμίονοι», φησίν, «ὀκτακόσιαι τεσσαρακονταπέντε». Δηλοῖ δὲ ὁ παρὼν ἀριθμὸς τὴν τοῦ νοῦ κατὰ τὴν ἄγονον ἕξιν τῆς κακίας, τουτέστι τὴν μὴ τίκτουσαν κακίαν ἕξιν, πρός τε τὰ αἰσθητὰ καὶ τὴν αἴσθησιν τελείαν ἀπάθειαν. Ὁ γὰρ ὀκτακόσια[36] σημαίνει τὴν χαρακτηριστικὴν τοῦ μέλλοντος αἰῶνος ἀπάθειαν, ἐπαινετῶς λαμβανόμενος, ὁ δὲ τεσσαράκοντα τὰ αἴσθητα, καὶ ὁ πέντε τὰς αἰσθήσεις.

«Ὑποζύγια πεντακισχίλια πεντακόσια εἰκοσιπέντε». Ὑποζύγιόν ἐστι τὸ ὑπεζευγμένον τῇ ψυχῇ σῶμα πρὸς ἀχθοφορίαν τῶν ὑπὲρ ἀρετῆς κατὰ τὴν πρᾶξιν καμάτων τε καὶ πόνων, ἤγουν ἡ κατ᾽ ἀρετὴν τοῦ σώματος ἕξις. Καὶ τάχα τοιούτους ὄνους ἔχοντες οἱ τοῦ μεγάλου Ἰακὼβ υἱοὶ πρὸς ἀποτροφὴν τὸν ἐξ Αἰγύπτου σῖτον μετέφερον πρὸς τὴν γῆν τῆς ἐπαγγελίας, τὴν ἐκ τῆς φυσικῆς θεωρίας, ὡς ἐξ Αἰγύπτου σῖτον, τοῖς μαρσίπποις τῶν διανοιῶν ἀποκλεισθεῖσαν πνευματικὴν γνῶσιν διὰ πράξεως ἐπιτιθέντες τοῖς σώμασι καὶ πρὸς τὴν μέλλουσαν ζωὴν μετακομίζοντες. Ὁ δὲ τούτων ἀριθμὸς τῶν ὄνων, σφαιρικὸς[37] ὅλος ὑπάρχων, δηλοῖ τὴν ὡσαύτως ἔχουσαν κίνησιν τῆς κατ᾽ ἀρετὴν περὶ πρᾶξιν σωματικῆς ἕξεως, καὶ ἀτρέπτως τῷ λόγῳ τῆς γνώσεως συμφερομένην. Μόνην γὰρ καλοῦσιν ἄτρεπτον τὴν σφαιρικὴν κίνησιν, ὡς ὁμαλότητα διὰ πάντων παρὰ τὰς λοιπὰς τῶν ὄντων κινήσεις ἔχουσαν, οἱ περὶ ταῦτα δεινοί.

Ταῦτα μὲν κατὰ τόνδε τὸν τρόπο ἡμῖν εἰρήσθω, τῆς ἡμῶν κατὰ τὸ νοεῖν τε καὶ λέγειν οὐκ ἀπολειπόμενα δυνάμεως. Εἰ δέ τις βούλεται πάλιν τῆς Ἐκκλησίας ἐν τούτοις προδιατυποῦσθαι

στὴν Ἰερουσαλὴμ καὶ στὴν ἁγία σκηνὴ τοῦ Θεοῦ προσφέρει τὴν ἀθάνατη κι ἄμωμη λατρεία.

Ἀλλὰ ἂς ἐπιστρέψομε στὸν ἀριθμὸ τῶν ἡμιόνων τῶν Ἰουδαίων ποὺ ἐλευθερώθηκαν ἀπὸ τὴν αἰχμαλωσία, γιὰ νὰ δοῦμε κατὰ δύναμη τὸ πνευματικὸ νόημα ποὺ κρύβει. «Ἡμίονοι», λέει, «ὀχτακόσιοι σαράντα πέντε». Ὁ ἀριθμὸς αὐτὸς δηλώνει τὴν τέλεια ἀπάθεια τοῦ νοῦ πρὸς τὰ αἰσθητὰ καὶ τὴν αἴσθηση σύμφωνα μὲ τὴν ἄγονη ἕξη τῆς κακίας, δηλαδὴ τὴν ἕξη ποὺ δὲ γεννᾶ τὴν κακία. Ὁ ἀριθμὸς δηλαδὴ ὀχτακόσια σημαίνει, σύμφωνα μὲ τὸ καλὸ νόημά του, τὴν ἀπάθεια ποὺ χαρακτηρίζει τὸ μελλοντικὸ αἰώνα, ἐνῶ ὁ ἀριθμὸς σαράντα τὰ αἰσθητὰ καὶ τὸ πέντε τὶς αἰσθήσεις.

«Ὑποζύγια πέντε χιλιάδες πεντακόσια εἴκοσι πέντε». Ὑποζύγιο εἶναι τὸ σῶμα τὸ δεμένο στὸ ζυγὸ τῆς ψυχῆς, γιὰ νὰ εἶναι ὁ ἀχθοφόρος τῶν κόπων καὶ τῶν μόχθων τῆς πράξης γιὰ χάρη τῆς ἀρετῆς, δηλαδὴ ἡ ἐνάρετη ἕξη τοῦ σώματος. Καὶ ἴσως ἔχοντας τέτοιους ὄνους οἱ υἱοὶ τοῦ μεγάλου Ἰακὼβ μετέφεραν τὸ σιτάρι ἀπὸ τὴν Αἴγυπτο[25] γιὰ διατροφή τους στὴ γῆ τῆς ἐπαγγελίας, τὴν πνευματικὴ γνώση ἀπὸ τὴ φυσικὴ θεωρία, σὰν σιτάρι ἀπὸ τὴν Αἴγυπτο, κλεισμένη μέσα στοὺς σάκκους τῶν διανοιῶν τους ἐπιθέτοντάς την στὰ σώματά τους καὶ μετακομίζοντας στὴ μέλλουσα ζωή. Ὁ ἀριθμὸς αὐτῶν τῶν ὄνων, ἐπειδὴ εἶναι τελείως σφαιρικός, δηλώνει τὴν πάντοτε ἴδια κίνηση τῆς ἐνάρετης σωματικῆς ἕξης ὡς πρὸς τὴν πράξη καὶ ποὺ συμπορεύεται ἀμετάβλητη μὲ τὸ λόγο τῆς γνώσης. Γιατὶ ἀμετάβλητη καλοῦν οἱ δεινοὶ σ' αὐτὰ μόνο τὴ σφαρικὴ κίνηση, γιατὶ ἔχει σὲ ὅλα μεγαλύτερη ὁμαλότητα ἀπὸ ὅλες τὶς λοιπὲς κινήσεις τῶν ὄντων.

Αὐτὰ λοιπὸν λέχθηκαν κατ' αὐτὸν τὸν τρόπο καὶ δὲν εἶναι κατώτερα ἀπὸ τὴ δύναμή μας νὰ τὰ ἐννοήσομε καὶ νὰ τὰ διατυπώσομε. Ἂν ὅμως θέλει κάποιος νὰ λέει ὅτι μ' αὐτὰ προτυπώ-

25. Γεν. 42,25.

λέγειν τοὺς διαφόρους βαθμοὺς τῶν πιστευόντων, καὶ οἷον εἰπεῖν διαθέσεις, ἄνδρες εἰσὶν οἱ τὸ μέτρον ἐφθακότες κατὰ τὸ ἐφικτὸν τῆς «ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ» καὶ κατ' ἀγάπην αὐθαιρέτῳ γνώμῃ τὴν ἀρετὴν κατορθοῦντες· παῖδές εἰσι καὶ παιδίσκοι οἱ φόβῳ τῶν ἠπειλημένων αἰωνίων κολάσεων ὑπερχόμενοι τὸ βάρος τῆς πρακτικῆς φιλοσοφίας· ψάλται δὲ οἱ καλῶς τὸν περὶ πρακτικῆς ἐξηγούμενοι λόγον καὶ τὰ πάθη τῶν ἄλλων ἐξιώμενοι· ψαλτῳδοὶ δὲ οἱ τὸ κάλλος τῆς γνώσεως τῶν θείων λόγων διὰ θεωρίας ἐκφαίνοντες καὶ τῶν ἄλλων ἀπελαύνοντες ὥσπερ ζόφον τὴν ἄγνοιαν· κάμηλοι δὲ οἱ τὸ σκολιὸν τῆς γνώμης ἐξημεροῦντες τῷ λόγῳ πρὸς ἀρετήν· ἵπποι δὲ οἱ τὸ στάδιον τοῦ κατὰ Θεὸν βίου καλῶς διατρέχοντες· ἡμίονοι δὲ οἱ μιγάδες τὸ ἦθος καὶ ἐν τῷ κοινῷ τὸ φιλόσοφον ἀβλαβῶς ἐπιδεικνύμενοι· ὄνοι, ἤγουν ὑποζύγια, οἱ κατὰ τὴν πρᾶξιν ἔχοντες τὸ μοχθεῖν καὶ τὸν λόγον ἐπιβαίνοντα διὰ θεωρίας δεχόμενοι. Τούτους γάρ τις συναγαγὼν τῆς ἁγίας Ἐκκλησίας ἀθροίσει τὸ πλήρωμα, πολλοῖς καὶ διὰ πολλῶν ἀρετῆς ὡραϊσμένον κάλλεσι.

Τῆς μὲν οὖν τῶν ἀπορηθέντων πνευματικῆς θεωρίας ὁ λόγος ἐνταῦθα, κατ' ἐμὲ φάναι, τὸ πέρας εἴληφεν. Εἰ δέ τις εὑρεθῇ πλούτῳ κομῶν χάριτος γνωστικῆς, καὶ κατὰ τὸν μέγαν Σαμουὴλ νοητῶν βλέπων τὰ ἔμπροσθεν, ἀποκαλύψει σαφῶς ἡμῖν τὴν τῷ ῥητῷ τῶν γεγραμμένων κεκαλυμμένην διάνοιαν τὸ ὑψηλὸν φῶς τῆς ἐν ὅλοις ἀληθείας γνωστικῶς ἀπαστράπτουσαν, πείθων τοὺς μαθεῖν δυναμένους ὡς οὐδὲν ἀκαίρως οὐδὲ μάτην τῷ ἁγίῳ Πνεύματι γέγραπται, κἂν ἡμεῖς χωρεῖν οὐ δυνάμεθα, πάντα δὲ μυστικῶς καὶ εὐκαίρως καὶ τῆς ἀνθρωπίνης ἕνεκα σωτηρίας, ἧς ἀρχὴ καὶ τέλος ἐστὶν ἡ σοφία, φόβον[38] μὲν ἀρχο-

νονται οἱ διάφοροι βαθμοὶ τῶν πιστῶν μέσα στὴν Ἐκκλησία καὶ ὅπως θὰ λέγαμε οἱ διάφορες διαθέσεις, ἄνδρες εἶναι ἐκεῖνοι ποὺ ἔχουν φτάσει ὅσο εἶναι δυνατὸ «τὸ μέτρο τῆς ἡλικίας τῆς τελειότητας τοῦ Χριστοῦ»[26] καὶ κατορθώνουν τὴν ἀρετὴ ἀπὸ ἀγάπη μὲ δική τους γνώμη. Ἀγόρια καὶ κορίτσια εἶναι ὅσοι ἐπηρεασμένοι ἀπὸ τὶς ἀπειλὲς τῶν αἰώνιων κολάσεων ἀναδέχονται τὸ βάρος τῆς πρακτικῆς φιλοσοφίας· ψάλτες εἶναι ὅσοι ἐξηγοῦν σωστὰ τὸ λόγο τῆς πρακτικῆς φιλοσοφίας καὶ θεραπεύουν τὰ πάθη τῶν ἄλλων· ψαλμῳδοὶ εἶναι ὅσοι κάνουν φανερὸ τὸ κάλλος τῆς γνώσης τῶν θείων λόγων μὲ τὴ θεωρία κι ἀποδιώχνουν σὰν ζόφο τὴν ἄγνοια τῶν ἄλλων· καμῆλες εἶναι ὅσοι ἐξημερώνουν πρὸς τὴν ἀρετὴ μὲ τὸ λόγο τὴν τραχύτητα τῆς γνώμης· ἵπποι εἶναι ὅσοι τρέχουν μ' ἐπιτυχία τὸ δρόμο τοῦ κατὰ Θεὸν βίου· ἡμίονοι εἶναι αὐτοὶ ποὺ ἔχουν ἦθος μικτὸ καὶ ἐκδηλώνουν χωρὶς βλάβη τὴ φιλοσοφία στὸ κοινό· ὄνοι, δηλαδὴ ὑποζύγια, εἶναι ὅσοι μοχθοῦν στὴν πράξη καὶ δέχονται τὸ λόγο καβαλλάρη στὴ θεωρία τους. Αὐτοὺς συγκεντρώνοντάς τους κάποιος, θὰ συναθροίσει τὸ πλήρωμα τῆς ἁγίας Ἐκκλησίας στολισμένο μὲ πολλὲς ὀμορφιὲς καὶ πολλὲς μορφὲς τῆς ἀρετῆς.

Ἐδῶ πῆρε τέλος, ὅπως λέω ἐγώ, ὁ λόγος τῆς πνευματικῆς θεωρίας γιὰ ὅσα προκάλεσαν ἀπορία. Μπορεῖ ὅμως νὰ βρεθεῖ κάποιος μὲ ἄφθονο πλοῦτο γνωστικῆς χάρης καὶ βλέποντας νοητὰ τὰ μελλούμενα, ὅπως ὁ μεγάλος Σαμουήλ, νὰ μᾶς ἀποκαλύψει μὲ σαφήνεια τὸ κελυμμένο μέσα στὶς λέξεις νόημα τοῦ ρητοῦ, ποὺ ἀκτινοβολεῖ γνωστικὰ τὸ ὑψηλὸ φῶς τῆς ἀλήθειας τῶν ὅλων, πείθοντας ὅσους μποροῦν νὰ μάθουν ὅτι τίποτε δὲν ἔχει γραφεῖ ἄκαιρα καὶ μάταια ἀπὸ τὸ ἅγιο Πνεῦμα, ἔστω κι ἂν ἐμεῖς δὲν μποροῦμε νὰ τὸ ἐννοήσομε, ἀλλὰ ἔχουν ὅλα ἕνα μυστικὸ νόημα καὶ κατάλληλο γιὰ κάθε περίσταση καὶ γιὰ χάρη τῆς ἀνθρώπινης σωτηρίας, ποὺ ἀρχὴ καὶ τέλος της εἶναι ἡ σο-

26. Ἐφ. 4,13.

μένη πρῶτον δημιουργοῦσα καὶ πόθον ὕστερον τελειουμένη συνιστῶσα, μᾶλλον δὲ φόβος[39] αὐτὴ κατ' ἀρχὰς δι' ἡμᾶς οἰκονομικῶς γινομένη, ἵνα παύσῃ κακίας τὸν ἐραστήν, καὶ πόθος ὕστερον φυσικῶς εὑρισκομένη δι' ἑαυτὴν κατὰ τὸ τέλος, ἵνα πληρώσῃ γέλωτος νοητοῦ τοὺς τὴν αὐτῆς πάντων τῶν ὄντων ἀλλαξαμένους συμβίωσιν.

Τοιούτους ἐγὼ ἀναγράφεσθαι ἄνδρας τῷ Πνεύματι πεπίστευκα, τοιούτους παῖδας καὶ παιδίσκας, τοιούτους ψάλτας καὶ ψαλτῳδούς, τοιαύτας καμήλους, τοιούτους ἵππους, τοιαύτας ἡμιόνους καὶ τοιούτους ὄνους, οὓς γράφειν οἶδε τὸ Πνεῦμα τὸ ἅγιον, οὐχ οὓς σωματικὴ περιγράφειν πέφυκεν αἴσθησις, ἀλλ' οὓς ὑποδέχεται νοῦς καθαρὸς τῷ καλάμῳ τυπουμένους τῆς χάριτος.

ΣΧΟΛΙΑ

1 Πεπληρωμένη χάρις τοῦ Πνεύματός ἐστιν ἡ κατὰ τὴν δύναμιν καὶ τὴν ἕξιν καὶ τὴν ἐνέργειαν περιληπτικὴ πασῶν τῶν εἰς ἀνθρώπους κατὰ Χριστὸν τελείους φθανουσῶν γνώσεων σοφία, δι' ἧς ὁ νοῦς, τῶν κατ' αἴσθησιν τύπων ἔξω γενόμενος, πάσης γυμνοῖς ποικιλίας προσβάλλει τοῖς τε τῶν γεγενημένων καὶ τῶν γεγραμμένων λόγοις, τοὺς ἐν αὐτοῖς θείους χαρακτῆρας εἰς μιᾶς περὶ ἑαυτὸν θεοπρεποῦς μορφῆς συνάγων συμπλήρωσιν, καθ' ἣν πάντων, ὡς ἐφικτόν, τῶν ὄντων ἑνοειδῶς τὴν ἀδιαίρετον ὑποδέχεται γνῶσιν, δι' ἧς ἀστράπτον ὑποφαίνεσθαι πέφυκε τῆς ἀληθείας τὸ φέγγος.

2 Οἱ κατ' ἀλήθειαν γνωστικοί, τῶν ἐν ταῖς Γραφαῖς, φησίν, μυστηρίων τοὺς λόγους διδάσκοντες, ὡς παραδείγμασι τοῖς καθ' ἱστορίαν κέχρηνται τύποις, πρὸς τὴν τῶν διδασκομένων ἀναγωγὴν ἁρμόζοντες τῷ τῆς ἱστορίας γράμματι τὸ πνεῦμα τῆς θεωρίας, ἵν' ὅ τε τύπος διὰ τὴν αἴσθησιν καὶ

φία, πού στὴν ἀρχὴ δημιουργεῖ φόβο κι ἔπειτα ὅταν ὁλοκληρωθεῖ συνιστᾶ τὸν πόθο. Ἢ καλύτερα ἐνῶ γίνεται κατ' ἀρχὰς κατ' οἰκονομία γιὰ χάρη μας φόβος, γιὰ νὰ ἐμποδίσει ἀπὸ τὴν κακία τὸν ἐραστή της, παρουσιάζεται ἔπειτα φυσικὰ σὰν πόθος γιὰ τὸν ἑαυτό της πρὸς τὸ τέλος, γιὰ νὰ γεμίσει ἀπὸ χαρὰ νοητὴ ὅσους ἄλλαξαν γιὰ τὴ συμβίωσή τους μαζί της τὴ συμβίωσή τους μὲ ὅλα τὰ ὄντα.

Τέτοιοι ἄνδρες ἐγὼ πιστεύω ἀναφέρονται ἀπὸ τὸ Πνεῦμα, τέτοια ἀγόρια καὶ κορίτσια, τέτοιοι ψάλτες καὶ ψαλμωδοί, τέτοιες καμῆλες, τέτοιοι ἵπποι, τέτοιοι ἡμίονοι καὶ τέτοιοι ὄνοι, τοὺς ὁποίους γνωρίζοντας περιγράφει τὸ ἅγιο Πνεῦμα, ὄχι αὐτοὶ πού περιγράφονται μέσα στὴ σωματικὴ αἴσθηση ἀλλὰ αὐτοὶ πού ὑποδέχεται καθαρὸς νοῦς διαμορφωμένους ἀπὸ τὸ κοντύλι τῆς χάρης.

ΣΧΟΛΙΑ

1. Πλήρης χάρη τοῦ Πνεύματος εἶναι ἡ σοφία πού περιλαμβάνει κατὰ τὴ δύναμη, τὴν ἕξη καὶ τὴν ἐνέργεια ὅλες τὶς γνώσεις πού ἔρχονται στοὺς ἀνθρώπους τοὺς τέλειους κατὰ Χριστό, μὲ τὴν ὁποία βγαίνοντας ὁ νοῦς ἔξω ἀπὸ τοὺς αἰσθητοὺς τύπους προσεγγίζει γυμνοὺς ἀπὸ κάθε ποικιλία τοὺς λόγους ὅσων ἔχουν γίνει κι ἔχουν γραφεῖ συνάγοντας γύρω του γιὰ τὴ συμπλήρωση μιᾶς θεοπρεποῦς μορφῆς τοὺς θείους χαρακτῆρες πού αὐτὰ περιέχουν, καὶ στὴ μορφὴ αὐτὴ ὑποδέχεται, ὅσο εἶναι δυνατό, ἑνιαία τὴν ἀδιαίρετη γνώση ὅλων τῶν ὄντων, μὲ τὴν ὁποία ἐκπέμπεται ἀστραφτερὸ τὸ φῶς τῆς ἀλήθειας.
2. Οἱ ἀληθινοὶ γνωστικοὶ διδάσκοντας, λέει, τοὺς λόγους τῶν μυστηρίων πού ὑπάρχουν στὶς Γραφές, χρησιμοποιοῦν ὡς παραδείγματα τοὺς τύπους τῆς ἱστορίας, προσαρμόζοντας γιὰ τὴν ἐξήγηση ὅσων διδάσκουν τὸ πνεῦμα τῆς θεωρίας στὸ γράμμα τῆς ἱστορίας, ὥστε νὰ σώζονται καὶ ὁ τύπος ἐξαιτίας τῆς αἴσθησης καὶ ἐξαιτίας τοῦ νοῦ ὁ λόγος γύρω

διὰ τὸν νοῦν ὁ λόγος περὶ τὸν ἄνθρωπον σῴζωνται τὸν ἐκ ψυχῆς καὶ σώματος, περὶ ἃ πέφυκεν ὑπάρχειν ὅ τε νοῦς καὶ ἡ αἴσθησις, ὡς ἑνὸς ἀνθρώπου τυγχάνοντα.

3 *Αἶνός ἐστι λόγος θείας μηνυτικὸς καλλονῆς. Αἴνεσις δέ ἐστι σχέσις αἰνοῦντος καὶ αἰνετοῦ, τουτέστιν ἀφήγησις τῶν μηνυτικῶν τῆς θείας εὐπρεπείας λόγων, καθ᾽ ἣν ἡ τῆς γνώσεως ἕξις συνίστασθαι πέφυκεν, μεταποιοῦσα πρὸς τὸ αἰνετὸν τὸ αἰνοῦν. Θυσία δὲ ταύτης ἐστὶ τῆς αἰνέσεως οὐ μόνον ἡ τῶν παρὰ φύσιν παθῶν τελεία νέκρωσις καὶ τῶν κατὰ φύσιν ὑπέρθεσις, ἀλλὰ καὶ ἡ πρὸς τὸν Θεὸν παντελὴς τοῦ αἰνοῦντος προσαγωγή.*

4 *Μὴ χαλινουμένη τῷ θείῳ φόβῳ κατὰ τὴν πρᾶξιν γνῶσις τῦφον ἐργάζεται, φησίν, ὡς οἰκεῖον τὸ δεδανεισμένον προβάλλεσθαι πείθουσα τὸν ἐπ᾽ αὐτῇ τυφωθέντα, πρὸς οἰκεῖον ἔπαινον τὸν ἔρανον τοῦ λόγου ποιούμενον. Ἡ δὲ πρᾶξις τῷ θείῳ συναυξάνουσα πόθῳ, τῶν ὑπὲρ τὰ πρακτὰ μὴ λαμβάνουσα γνῶσιν, τὸν πρακτικὸν ἐργάζεται ταπεινόφρονα, τοῖς ὑπὲρ τὴν οἰκείαν δύναμιν λόγοις πρὸς ἑαυτὸν συστελλόμενον.*

5 *Ὁ τῶν παρὰ φύσιν παθῶν διὰ τῆς εἰς Θεὸν πίστεως καὶ ἀγάπης νικήσας τὰς παραλόγους κινήσεις καὶ αὐτοῦ τοῦ κατὰ φύσιν ἔξω γίνεται νόμου, φησίν, καὶ πρὸς τὴν χώραν τῶν νοητῶν ὅλος μεταβιβάζεται καὶ τὸ κατὰ φύσιν ὁμόφυλον μετὰ τῶν προσγενομένων αὐτοῖς τῆς ἀλλοτρίας ἑαυτῷ συνεκβάλλει δουλείας.*

6 *Ὑπὸ φύσιν μέν ἐστι πᾶν ὃ καθοτιοῦν ἢ ὑποκείμενον ἢ καθ᾽ ὑποκειμένου ἢ ἐν ὑποκειμένῳ εἶναι πέφυκεν, ἐξ ὧν οἱ ὅροι συνάγονται τῶν ὁριστῶν. Τὰ γὰρ συμπληροῦντα τὰς διαφόρους τῶν ὄντων φύσεις εἰς τοὺς αὐτῶν συμπαραλαμβάνεσθαι πέφυκεν ὁρισμοὺς πρὸς τὴν ἀκριβῆ τοῦ σημαινομένου δήλωσιν, ὡς ἐν τῷ ὑποκειμένῳ καὶ σὺν τῷ ὑποκειμένῳ*

ἀπὸ τὸν ἄνθρωπο, ποὺ ἀποτελεῖται ἀπὸ ψυχὴ καὶ σῶμα, στὰ ὁποῖα ἀπὸ τὴ φύση τους ὑπάρχουν τόσο ὁ νοῦς ὅσο καὶ ἡ αἴσθηση, ἐπειδὴ τυχαίνει νὰ εἶναι αὐτὴ ἑνὸς ἀνθρώπου.

3. Αἶνος εἶναι λόγος ποὺ ὑμνεῖ τὴ θεία καλλονή. Αἴνεση εἶναι σχέση ἐκείνου ποὺ ὑμνεῖ μὲ τὸ ὑμνούμενο, δηλαδὴ ἀφήγηση τῶν λόγων ποὺ μηνύουν τὴ θεία εὐπρέπεια, κατὰ τὴν ὁποία, ὡς ἀπὸ τὴ φύση της, συνίσταται ἡ ἕξη τῆς γνώσης ποὺ μετατρέπει ἐκεῖνο ποὺ ὑμνεῖ στὸ ὑμνούμενο. Ἐνῶ θυσία αὐτῆς τῆς αἰνέσεως δὲν εἶναι μόνο ἡ τέλεια νέκρωση τῶν παρὰ φύση παθῶν καὶ ἡ ὑπέρβαση τῶν σύμφωνων μὲ τὴ φύση μας, ἀλλὰ καὶ ἡ τέλεια προσέγγυση ἐκείνου ποὺ ὑμνεῖ πρὸς τὸ Θεό.

4. Ἂν δὲ χαλινώνεται ἀπὸ τὸ θεῖο φόβο ἡ γνώση κατὰ τὴν πράξη προξενεῖ, λέει, ἔπαρση, πείθοντας αὐτὸν ποὺ ἐξαιτίας της ἐπαίρεται νὰ προβάλλει τὸ δανεισμένο σὰν δικό του, μεταβάλλοντας τὸ δανεισμὸ τῶν λόγων ἀπὸ ἄλλους σὲ δικό του ἔπαινο. Ἐνῶ ἡ πράξη αὐξανόμενη μὲ τὸ θεῖο πόθο, μὴ λαμβάνοντας γνώση γιὰ τὰ πάνω ἀπὸ ὅσα πράττονται, κάνει τὸν πρακτικὸ ταπεινόφρονα, ποὺ περιορίζεται στὸν ἑαυτό του μπροστὰ σὲ λόγους ποὺ ξεπερνοῦν τὴ δύναμή του.

5. Ὅποιος νίκησε μὲ τὴν πίστη στὸ Θεὸ καὶ τὴν ἀγάπη τὶς παράλογες κινήσεις τῶν παρὰ φύση παθῶν, καὶ ἀπαλλάσσεται, λέει, ἀπὸ τὸν ἴδιο τὸ φυσικὸ νόμο, καὶ μεταφέρεται ἀκέραιος στὴ χώρα τῶν νοητῶν καὶ τοὺς ὁμόφυλους μὲ τὴ φύση του μαζὶ μὲ τοὺς συγγενεῖς τους τοὺς βγάζει ἀπὸ τὴν ξένη πρὸς αὐτὸν δουλεία.

6. Ὑπόκειται στὴ φύση κάθε τι ποὺ μ' ὁποιοδήποτε τρόπο εἶναι ἀπὸ τὴ φύση του ἢ ὑποκείμενο ἢ ἀποδίδεται σὲ ὑποκείμενο ἢ εἶναι σὲ ἕνα ὑποκείμενο, ἀπὸ τὰ ὁποῖα συνάγονται οἱ ὁρισμοὶ ἐκείνων ποὺ ὁρίζονται. Ὅσα δηλαδὴ συμπληρώνουν τὶς διάφορες φύσεις τῶν ὄντων εἶναι φυσικὸ νὰ συμπαραλαμβάνονται στὸν ὁρισμό τους γιὰ τὴν ἀκριβὴ

φυσικῶς ὑφιστάμενα, καὶ ἐξ ὧν τὸ ὑποκείμενον καὶ ἐν οἷς ἔχει τὴν γένεσιν, ἀλλ' οὐκ ἔξωθεν ἐπιθεωρούμενα. Τὰ δὲ περὶ φύσιν ἐστὶ τὰ προεπινοούμενά τε καὶ συνεπινοούμενα· τὸ μὲν ὅτι ποῦ καὶ ποτὲ πάντως ἡ τῶν ὄντων ὑπέστη γένεσις, τὸ δὲ ὅτι ἅμα τῇ πρώτῃ γενέσει τῶν ὄντων συνεπεθεωρήθη καὶ ἡ καθόλου τῶν ὄντων θέσις καὶ κίνησις, ἅπερ ἐστὶ χρόνος καὶ τόπος, ἐν οἷς κατὰ τὴν ἔξωθεν θέσιν καὶ τὴν πρὸς ἀρχὴν κίνησιν ἡ φύσις ἐστὶν ἀλλ' οὐ καθ' ὑπόστασιν· οὐ γὰρ ἐξ αὐτῶν ἡ φύσις ἀλλ' ἐν αὐτοῖς ἔξωθεν ἔχει τὴν ἀρχὴν τοῦ εἶναι καὶ τὴν θέσιν. Ὅταν οὖν τῶν γενῶν καὶ εἰδῶν καὶ ἀτόμων μόνους τοῦ εἶναι σκοπῶμεν τοὺς λόγους, τὰς τούτων συστατικὰς τοῖς αὐτῶν κατ' οὐσίαν λόγοις διαφορὰς συμπαραλαμβάνομεν· ὅταν δὲ γενεαλογῶμεν, τὸ ποῦ καὶ ποτὲ πάντως, τουτέστι χρόνον καὶ τόπον, ἐξ ἀνάγκης τοῖς οὖσι συμπαραλαμβάνομεν, ἀρχὴν καὶ θέσιν σκοποῦντες, ὧν ἄνευ τῶν γενητῶν οὐδὲν καθάπαξ ὑφέστηκεν· τῆς γὰρ κατὰ τὴν ἀρχὴν καὶ τὴν θέσιν περιγραφῆς οὐδέν ἐστι τῶν ὄντων ἐλεύθερον.

7 *Ἱερουσαλὴμ καὶ οὐράνιον οἰκητήριόν ἐστιν ἡ κατ' ἀρετὴν ἀπαθὴς ἕξις καὶ ἡ μηδὲν ἔχουσα πλάνης πολεμοῦν αὐτῇ νόημα γνῶσις.*

8 *Ἡ γλῶσσα τῆς κατὰ ψυχὴν γνωστικῆς ἐστιν ἐνεργείας, φησίν, σύμβολον, ὁ δὲ λάρυγξ τῆς πρὸς τὸ σῶμα φυσικῆς φιλαυτίας τεκμήριον. Ὁ γοῦν ταῦτα ψεκτῶς κολλήσας ἀλλήλοις μνησθῆναι τῆς κατ' ἀρετὴν καὶ γνῶσιν εἰρηνικῆς ἕξεως οὐ δύναται, τῇ συγχύσει διὰ σπουδῆς τῶν σωματικῶν ἡδόμενος παθῶν.*

9 *Ὁ Δαρεῖος, φησίν, εἰς τὸν νόμον ἐλήφθη τῆς φύσεως, ὁ δὲ νόμος τῆς φύσεως περιέχει καὶ τὴν φύσιν καὶ τὸν χρόνον, ὡς πάντων ἔχων τὴν ἐξουσίαν τῆς χρήσεως τῶν τε κατὰ*

δήλωση αὐτοῦ ποὺ σημαίνουν ἐπειδὴ ὑπάρχουν στὸ ὑποκείμενο καὶ μαζὶ μὲ τὸ ὑποκείμενο καὶ ἀπὸ αὐτὰ καὶ σ' αὐτὰ τὸ ὑποκείμενο ἔχει τὴ γένεσή του καὶ δὲν ἀποδίδονται σ' αὐτὸ ἀπ' ἔξω. Τὰ γύρω ἀπὸ τὴ φύση πάλι εἶναι ὅσα προεπινοοῦνται καὶ συνεπινοοῦνται, τὸ ἕνα ἐπειδὴ κάπου καὶ κάποτε ἔγινε ὁπωσδήποτε ἡ γένεση τῶν ὄντων, τὸ ἄλλο, γιατὶ εὐθὺς μὲ τὴν πρώτη γένεση τῶν ὄντων συναποδόθηκε σ' αὐτὰ καὶ ἡ θέση τῶν ὄντων γενικὰ καὶ ἡ κίνηση, ποὺ εἶναι ὁ χρόνος κι ὁ τόπος, στὰ ὁποῖα βρίσκεται ἡ φύση κατὰ τὴν ἐξωτερικὴ θέση καὶ τὴν ἀρχικὴ κίνηση καὶ ὄχι κατὰ τὴν ὑπόσταση. Γιατὶ ἡ φύση δὲν προέρχεται ἀπὸ αὐτά, ἀλλὰ ἔχει σ' αὐτὰ ἀπὸ ἔξω τὴν ἀρχὴ τοῦ εἶναι καὶ τὴ θέωση. Ὅταν λοιπὸν ἐξετάζομε μόνους τοὺς λόγους ποὺ εἶπα τῶν γενῶν καὶ τῶν εἰδῶν καὶ τῶν ἀτόμων, παίρνουμε μαζὶ καὶ τὶς διαφορὲς ποὺ τὰ συνιστοῦν μὲ τοὺς λόγους τῆς οὐσίας τους, ὅταν ὅμως γενεαλογοῦμε, τὸ ποῦ καὶ τὸ πότε ἐξάπαντος, δηλαδὴ τὸν τόπο καὶ τὸ χρόνο, παίρνομε κατ' ἀνάγκη μαζὶ μὲ τὰ ὄντα κατὰ τὴν ἐξέταση τὴν ἀρχὴ καὶ τὴ θέση τους, χωρὶς τὰ ὁποῖα κανένα ἀπολύτως ἀπὸ ὅσα ἔγιναν δὲν ὑπάρχει. Γιατὶ κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι ἐλεύθερο ἀπὸ τὸν προσδιορισμὸ τῆς ἀρχῆς καὶ τῆς θέσης.

7. Ἰερουσαλὴμ καὶ οὐράνιο κατοικητήριο εἶναι ἡ ἐνάρετη ἀπαθὴς ἕξη καὶ ἡ γνώση ποὺ δὲν ἔχει κανένα λανθασμένο νόημα νὰ τὴν πολεμᾶ.

8. Ἡ γλώσσα, λέει, εἶναι σύμβολο τῆς γνωστικῆς ἐνέργειας τῆς ψυχῆς, ἐνῶ ὁ λάρυγγας τεκμήριο τῆς ἀγάπης πρὸς τὸ ἴδιο μας τὸ σῶμα. Γι' αὐτὸ ὅποιος συνδεθεῖ μὲ αὐτὰ τὰ δύο ὄχι ἄψογα δὲν μπορεῖ νὰ θυμηθεῖ τὴν εἰρηνικὴ ἕξη τῆς ἀρετῆς καὶ τῆς γνώσης, ἐπειδὴ συγχέοντάς τα εὐχαριστεῖται μὲ προθυμία μὲ τὰ σωματικὰ πάθη.

9. Ὁ Δαρεῖος χρησιμοποιήθηκε, λέει, γιὰ νὰ συμβολίσει τὸ νόμο τῆς φύσης, ἐνῶ ὁ νόμος τῆς φύσης περιέχει καὶ τὴ φύση καὶ τὸ χρόνο, ἐπειδὴ ἔχει τὴν ἐξουσία νὰ χρησιμο-

φύσιν καὶ περὶ φύσιν. Ὁ τοίνυν, ὡς ἀπὸ Δαρείου, τοῦ νόμου τῆς φύσεως ἐξερχόμενος νοῦς ὑπεράνω δηλαδὴ γίνεται χρόνου καὶ φύσεως, μηδενὶ τῶν ὑπὸ φύσιν καὶ χρόνον νοημάτων κρατούμενος, ἵνα μή, τὰς τῶν φθαρτῶν εἰκόνας περιφέρων, γένηται ναὸς εἰδώλων ἀνθ' ἑνὸς Θεοῦ, πολλὰς ἔχων παθῶν ἀκαθάρτων προσκυνουμένας μορφάς.

10 *Παῖδας ἐθεώρησε μὴ συναριθμουμένους μέν, συνεξιόντας δὲ τοῖς κεκτημένοις, τοὺς τῶν οὐκ ἐφ' ἡμῖν παθῶν λογισμούς, ὧν, κἂν εἰ μὴ ἡ γένεσις ἀλλ' ἡ χρῆσις ἐφ' ἡμῖν ὡς δεσπόταις οὖσα, καθέστηκε, γυναῖκας δὲ τὰς ἐκ τῶν οὐκ ἐφ' ἡμῖν παθῶν ἐπιγινομένας χωρὶς διαβολῆς τῶν κατὰ φύσιν ὀρέξεις, ἃς ἑαυτῷ συνεξάγει πρὸς τὴν κατὰ Θεὸν ἐλαύνων ζωήν, ἵνα μὴ γένωνται τῇ τῶν παρὰ φύσιν δουλείᾳ κατάσχετοι παθῶν.*

11 *Τὴν αἰτίαν λέγει, δι' ἣν οὐ συνηρίθμησε τοῖς ἀνδράσιν ὁ λόγος τοὺς παῖδας καὶ τὰς γυναῖκας.*

12 *Ὥσπερ τέλος κινηθείσης μονάδος ἐστὶν ἡ μυριάς, καὶ ἀρχὴ μὴ κινηθείσης μυριάδος ἐστὶν ἡ μονὰς (ἀρχὴ καὶ παντὸς τέλους ἡ κατ' αὐτὸ σαφῶς ἀκινησία καθέστηκε, καὶ τέλος πάσης ἀρχῆς ἡ τῆς κατ' αὐτὴν κινήσεως ὑπάρχει συμπλήρωσις), οὕτω καὶ ἡ πίστις, ἀρετῶν ἀρχὴ κατὰ φύσιν ὑπάρχουσα, τέλος ἔχει τοῦ δι' αὐτῶν ἀγαθοῦ τὴν συμπλήρωσιν, καὶ τὸ κατὰ φύσιν ἀγαθόν, ὡς ἀρετῶν τέλος, ἀρχὴν ἔχον τὴν πίστιν, πρὸς αὐτὴν ἐνδιαθέτως συνάγεται· πίστις γάρ ἐστιν ἐνδιάθετον ἀγαθὸν καὶ ἀγαθόν ἐστιν ἐνεργηθεῖσα πίστις. Πιστὸς δὲ κατὰ φύσιν καὶ ἀγαθός ἐστιν ὁ Θεός, τὸ μὲν ὡς πρῶτον ἀγαθόν, τὸ δὲ ὡς ἔσχατον ὀρεκτόν. Ταὐτὸν δὲ ταῦτα παντὶ τρόπῳ καθέστηκεν ἀλλήλοις ὄντα, μηδενὶ λόγῳ πλὴν τοῦ κατ' ἐπίνοιαν ἀλλήλων παντελῶς διαιρού-*

ποιεῖ τόσο ὅσα ἀνήκουν στὴ φύση ὅσο καὶ τὰ γύρω ἀπὸ τὴ φύση. Ὁ νοῦς λοιπὸν ποὺ βγαίνει, σὰν ἀπὸ τὸ Δαρεῖο, ἀπὸ τὸ νόμο τῆς φύσης, εἶναι φανερὸ ὅτι ξεπερνᾶ τὸ χρόνο καὶ τὴ φύση, χωρὶς νὰ ἐμποδίζεται ἀπὸ κανένα ἀπὸ ὅσα νοήματα ὑπόκεινται στὴ φύση καὶ στὸ χρόνο, γιὰ νὰ μὴ γίνει, περιφέροντας τὶς εἰκόνες τῶν φθαρτῶν, ναὸς πολλῶν εἰδώλων ἀντὶ ἑνὸς Θεοῦ, ἔχοντας νὰ προσκυνᾶ πολλὲς μορφὲς ἀκάθαρτων παθῶν.

10. Παιδιὰ ποὺ δὲν ἀριθμοῦνται βέβαια μαζὶ μὲ τοὺς γονεῖς τους, ἀλλὰ βγαίνουν μαζὶ μ' αὐτούς, θεώρησε τοὺς λογισμοὺς τῶν παθῶν ποὺ δὲν τὰ ἐξουσιάζομε, τῶν ὁποίων, ἂν ὄχι ἡ γένεση, ἡ χρήση τους ἀνήκει σ' ἐμᾶς ὡς κυρίους τους· γυναῖκες θεώρησε τὶς ὀρέξεις ποὺ δημιουργοῦνται ἀδιάβλητα ἀπὸ τὰ φυσικὰ πάθη ποὺ δὲν τὶς ἐξουσιάζομε, τὶς ὁποῖες βγάζει μαζί του καὶ τὶς ὁδηγεῖ πρὸς τὴ ζωὴ ποὺ θέλει ὁ Θεός, γιὰ νὰ μὴν αἰχμαλωτιστοῦν στὴ δουλεία τῶν παρὰ φύση παθῶν.

11. Ἀναφέρει τὴν αἰτία γιὰ τὴν ὁποία ὁ λόγος δὲν μέτρησε τὰ παιδιὰ καὶ τὶς γυναῖκες μαζί μὲ τοὺς ἄνδρες.

12. Ὅπως τέλος τῆς μονάδας ποὺ αὐξήθηκε εἶναι ἡ μυριάδα καὶ ἀρχὴ τῆς μυριάδας ποὺ ἔμεινε ἀμετάβλητη εἶναι ἡ μονάδα (γιατὶ ἀρχὴ γιὰ κάθε τέλος εἶναι σαφῶς ἡ ἀκινησία του καὶ τέλος κάθε ἀρχῆς εἶναι ἡ ὁλοκλήρωση τῆς κίνησής της) ἔτσι καὶ ἡ πίστη, ἐνῶ εἶναι ἀπὸ τὴ φύση της ἀρχὴ τῶν ἀρετῶν, τέλος της ἔχει τὴν ὁλοκλήρωση τοῦ ἀγαθοῦ μέσω αὐτῶν, καὶ τὸ σύμφωνο μὲ τὴ φύση μας ἀγαθό, ὡς τέλος τῶν ἀρετῶν, ἔχοντας ἀρχή του τὴν πίστη, συνάγεται μὲ τὴ διάθεσή μας πρὸς αὐτήν. Γιατὶ πίστη εἶναι ἀγαθὸ ἐνδιάθετο καὶ ἀγαθὸ εἶναι ἡ πίστη ποὺ ἐνεργοποιήθηκε. Πιστὸς καὶ ἀγαθὸς ἀπὸ τὴ φύση του εἶναι ὁ Θεός, τὸ ἕνα ὡς πρῶτο ἀγαθό, καὶ τὸ ἄλλο ὡς ἔσχατο ἐπιθυμητό. Κι αὐτὰ εἶναι μὲ κάθε τρόπο τὸ ἴδιο τὸ ἕνα μὲ τὸ ἄλλο καὶ δὲ χωρίζονται γιὰ κανένα λόγο παρὰ μονάχα νοητικὰ τὸ ἕνα ἀπὸ τὸ ἄλλο

μενα διὰ τὴν ἀπ' αὐτοῦ τῶν ἀρχομένων καὶ εἰς αὐτὸν ληγόντων κίνησιν. Ἄρα ἡ μυριάς, ἐσχάτου ὀρεκτοῦ φέρουσα τύπον, τῶν πρὸς αὐτὸ κινουμένων τελείαν περιγράφει τὴν ἔφεσιν· καὶ ἡ μονάς, πρώτου ἀγαθοῦ φέρουσα σύμβολον, τῶν ἀπ' αὐτοῦ κινουμένων τελείαν ἐπιφέρεται βάσιν. Οὐκοῦν τέσσαρες μυριάδες εἰσὶ τὸ καθ' ἑκάστην γενικὴν ἀρετὴν ἀναλόγως κατ' ἐνέργειαν δεικνύμενον τέλειον ἀγαθόν.

13 Ὁ μετὰ τὴν φυγὴν τῆς κακίας ἁπλῶς τῇ ἀργίᾳ τῆς ἁμαρτίας φυλάξας, φησίν, τὴν δεκάδα τῶν ἐντολῶν, καὶ πάλιν τὴν ἑκάστης πρᾶξιν ἐντολῆς τελείαν τῶν ἄλλων δείξας περίληψιν, ὡς πασῶν ἐν ἑκάστῃ κατὰ τὴν ἑκάστης πρᾶξιν θεωρουμένων, τὴν δεκάδα πεποίηκεν ἑκατοντάδα (ἡ γὰρ ἑκάστης ἐντολῆς τελεία κατ' ἐνέργειαν τήρησις τῶν λοιπῶν ἐστι πρᾶξις πεπληρωμένη), καὶ πάλιν τὴν κατὰ φύσιν τούτων τελείαν ἐπιστημονικῶς διάκρισιν ἐσχηκὼς τὴν ἑκατοντάδα πεποίηκε χιλιάδα, καὶ τέλος τοῖς τούτων κατὰ νοῦν γυμνοῖς προσβαλὼν κατὰ τὴν θεωρίαν λόγοις πεποίηκε μυριάδα τὴν χιλιάδα, ἀπὸ τῆς κατὰ τὴν πρᾶξιν διαστολῆς ἐπὶ τὴν κατὰ τὴν θεωρίαν ἑναδικὴν συναγόμενος μονάδα· καὶ συντόμως εἰπεῖν, ὁ τῇ τελείᾳ τῆς κακίας ἀποφυγῇ τηρήσας ἀπαραβάτους τὰς ἐντολὰς καὶ τελείαν αὐτῶν τὴν πρᾶξιν ἐπιδειξάμενος καὶ πληρεστάτην αὐτῶν κατορθώσας τὴν κατὰ φύσιν διάκρισιν καὶ τελείαν αὐτῶν διανύσας τὴν πνευματικὴν θεωρίαν, οὗτος τὰς τέσσαρας ἔσχε μυριάδας, τῷ καθ' ἑκάστην προκοπὴν τελείῳ λόγῳ συναγομένας· τὸ γὰρ τέλειον ἀδιαστάτως ὁμοῦ τούς τε τῆς ἀρχῆς καὶ τοῦ τέλους ἔχει τοὺς λόγους.

Ποιός, ποὺ δὲν ἔχει αὐτὸν τὸ λόγο νὰ ἐνοικεῖ μέσα στὸ βάθος τῆς καρδιᾶς του, θὰ κατορθώσει, ξεφεύγοντας τοὺς ἀφανεῖς δόλους τῆς δαιμονικῆς ὑποκρισίας ἐναντίον μας, νὰ σταθεῖ μόνος ὁλότελα μὲ τὸν ἑαυτό του χωρὶς καμμιὰ ἀνάμιξη μ' αὐτοὺς καὶ νὰ οἰκοδομήσει τὸ ναὸ τοῦ Κυρίου κατὰ τὸ μεγάλο Ζοροβάβελ καὶ τὸν Ἰησοῦ καὶ τοὺς ἀρχηγοὺς τῶν πατριῶν ποὺ φωνάζουν δυνατὰ μὲ καθαρὴ φωνὴ στὰ πνεύματα τῆς ἀπάτης, τῆς ὑπερηφάνειας καὶ τῆς κενοδοξίας καὶ τῆς ἀνθρωπαρέσκειας καὶ τῆς ὑπόκρισης, «δὲν εἶναι κοινὸ ἔργο δικό μας καὶ δικό σας νὰ χτίσομε τὸ ναὸ τοῦ Κυρίου. Ἐμεῖς μόνοι μας θὰ χτίσομε τὸ ναὸ τοῦ Κυρίου τοῦ Ἰσραήλ», γνωρίζοντας ὅτι ἡ ἀνάμιξη ὅλων αὐτῶν προκαλεῖ τὴ φθορὰ καὶ τὸ γκρέμισμα ὅλου τοῦ κτηρίου καὶ κλέβει τὴ χάρη καὶ τὴν εὐπρέπεια τῶν θείων ἀφιερωμάτων; Γιατὶ κανένας δὲν μπορεῖ νὰ οἰκοδομήσει τὴν εὐπρέπεια αὐτὴ στὸν Κύριο, ἂν ἔχει κάποιον ἀπὸ τοὺς δαίμονες ποὺ προαναφέραμε συνεργάτη στὴν ἀρετή. Γιατὶ δὲν ἔχει σὰν σκοπό του στὶς πράξεις τὸ Θεό, στὸν ὁποῖο ἀτενίζει γιὰ νὰ τὴν πραγματοποιήσει. Ὄχι λοιπὸν ἀπὸ φθόνο δὲν δέχθηκαν, ἐκεῖνοι ποὺ ἐπέστρεψαν ἀπὸ τὴν αἰχμαλωσία, τοὺς Βαβυλώνιους καὶ τοὺς Χουθαίους καὶ τοὺς Αἱμαθαίους καὶ τοὺς Εὐαίους ν' ἀνοικοδομήσουν μαζί τους τὸ ναὸ τοῦ Κυρίου, ἀλλ' ἐπειδὴ ἀντιλήφθηκαν

δαιμόνων κακουργίας, διὰ τοῦ ἀγαθοῦ λεληθότως αὐτοῖς βουλομένης κατεργάσασθαι τῆς ἁμαρτίας τὸν θάνατον.

Γένοιτο δὲ καὶ ἡμᾶς ἀεὶ λέγειν τοῖς ἐν πλάσματι φιλίας πνευματικῆς ἀοράτως προσβάλλουσι πνεύμασι τῆς πονηρίας καὶ λέγουσι, «Συνοικοδομήσωμεν ὑμῖν τὸν ναὸν τῷ Κυρίῳ ὑμῶν· Οὐχ ὑμῖν καὶ ἡμῖν οἰκοδομῆσαι τὸν οἶκον Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραήλ». Μόνοι μέν, ὅτι τῶν κατ' ἔλλειψιν τῆς ἀρετῆς πολεμούντων ἐλευθερωθέντες πνευμάτων, ὧν καὶ ἐκβεβήκαμεν, οὐ βολόμεθα ταῖς ὑπερβολαῖς δι' ὑμῶν ἐπαρθέντας πάλιν περιπαρῆναι καὶ πεσεῖν πτῶσιν τοσοῦτον τῆς προτέρας χαλεπωτέραν, ὅσον τῆς μὲν ἦν ἐπανόδου ἐλπὶς εὐχερής, συγγνωθεῖσι διὰ τὴν ἀσθένειαν, τῆς δέ, ἢ οὐκ ἔστιν ἢ δυσχερὴς ἔσται([16]), μισηθεῖσι διὰ τὴν ὑπερηφάνειαν καὶ τοῦ δεξιοῦ ποιουμένοις ἕτερόν τι δεξιώτερον. Οὐ μόνοι δὲ πάλιν, ὅτι τοὺς ἁγίους ἀγγέλους ἔχομεν τῶν καλῶν συλλήπτορας· μᾶλλον δὲ τὸν Θεόν, αὐτὸν ἐν ἡμῖν ἑαυτὸν ἐμφανίζοντα διὰ τῶν ἔργων τῆς δικαιοσύνης καὶ ἡμᾶς ἑαυτῷ ναὸν ἅγιον οἰκοδομοῦντα καὶ παντὸς πάθους ἐλεύθερον.

ΣΧΟΛΙΑ

1 Ὅτι διχῶς ἐξομολόγησις.

2 Ὅτι πᾶσα, φησίν, ἐξομολόγησις ταπεινοῖ τὴν ψυχήν· ἡ μέν, χάριτι δικαιωθεῖσαν, ἡ δέ, ἀθυμίᾳ γνώμης οἰκείας ἐπ' ἐγκλήμασιν ἐνεχομένην αὐτὴν ἐκδιδάσκουσα.

3 Ὁ πενθῶν ἐπὶ τοῖς πρώτοις ἁμαρτήμασι καὶ τελείως ἔχων γεννῶσαν αὐτὸν ἀεὶ εἰς δικαιοσύνην τὴν εἰς Θεὸν πίστιν καὶ πᾶσαν ἀρετῆς ὑποτύπωσιν τὸν ἑαυτοῦ παρεχόμενον

τὴν ὕπουλη φιλία τῆς δαιμονικῆς κακουργίας, ποὺ ἐπιδίωκαν ὕπουλα μὲ τὸ καλὸ νὰ προκαλέσουν τὸ θάνατό τους ἀπὸ ἁμαρτία.

Εἴθε κι ἐμεῖς στὰ πονηρὰ πνεύματα ποὺ μᾶς πλησιάζουν ἀόρατα μὲ πλαστὴ φιλία καὶ μᾶς λένε, «Ἂς οἰκοδομήσομε μαζί σας τὸ ναὸ τοῦ Κυρίου σας», ν' ἀπαντοῦμε πάντοτε «Δὲν εἶναι κοινὸ ἔργο δικό μας καὶ δικό σας νὰ οἰκοδομήσομε τὸν οἶκο τοῦ Κυρίου τοῦ Θεοῦ μας. Θὰ οἰκοδομήσομε μόνοι μας τὸ ναὸ τοῦ Κυρίου τοῦ Ἰσραήλ». Μόνοι μας, γιατί, ὄντας ἐλεύθεροι ἀπὸ τὰ πνεύματα ποὺ πολεμοῦν ἐκείνους ποὺ τοὺς λείπει ἡ ἀρετή, ἀπὸ τὰ ὁποῖα καὶ ἀπαλλαχτήκαμε, δὲν ἐπιθυμοῦμε ξεσηκωμένοι ἀπὸ τὸν ὑπερβολικὸ δικό σας ζῆλο νὰ μπλεχτοῦμε πάλι σ' αὐτὸν καὶ νὰ πέσομε πολὺ πιὸ χειρότερα ἀπὸ τὴν προηγούμενη φορά, ἀφοῦ τότε ὑπῆρχε ἐλπίδα εὔκολης ἐπιστροφῆς, ἔπειτα ἀπὸ συγχώρηση τῆς ἀσθένειάς μας, ἐνῶ τώρα ἢ δὲν ὑπάρχει ἐλπίδα ἢ εἶναι δύσκολη ἡ ἐπιστροφή, ἐπειδὴ θὰ ἐπισύρομε μίσος γιατὶ ὑπερηφανευτήκαμε καὶ θεωρήσαμε ἀπὸ τὸ καλὸ κάποιο ἄλλο καλύτερο. Ὄχι πάλι μόνοι μας, γιατὶ ἔχομε συνεργοὺς στὰ καλά μας ἔργα τοὺς ἁγίους ἀγγέλους ἢ μᾶλλον τὸ Θεὸ τὸν ἴδιο ποὺ φανερώνεται μέσα μας μὲ τὰ ἔργα τῆς δικαιοσύνης καὶ ποὺ οἰκοδομεῖ ἐμᾶς καὶ μᾶς κάνει ἅγιο ναό του κι ἐλεύθερο ἀπὸ κάθε πάθος.

ΣΧΟΛΙΑ

1. Ἡ ἐξομολόγηση ἐννοεῖται μὲ διπλὴ σημασία.

2. Κάθε εἴδους ἐξομολόγηση, λέει, κάνει ταπεινὴ τὴν ψυχή· μὲ τὸ ἕνα εἶδος διδάσκοντας ὅτι δικαιώθηκε ἀπὸ τὴ χάρη, καὶ μὲ τὸ ἄλλο διδάσκοντάς την ἀπὸ τὴ στενοχώρια τῆς συνείδησής της ὅτι εἶναι ἔνοχη ἐγκλημάτων.

3. Ὅποιος πενθεῖ γιὰ τὰ πρῶτα ἁμαρτήματά του καὶ ἔχει τὴν πίστη στὸ Θεὸ ποὺ τὸν ἀναγεννᾶ τέλεια πάντοτε πρὸς δικαίωση καὶ παρέχει τὸ βίο καὶ τὸ λόγο του παράδειγμα κάθε ἀρετῆς, ἔκανε τὸν ἑαυτό του μέλος τῆς φυλῆς τοῦ Βε-

βίον καὶ λόγον, τῆς τοῦ Βενιαμὶν πνευματικῆς ἑαυτὸν κατέστησε φυλῆς, γνώμης ἔργον, ἀλλ' οὐκ ἀνάγκης, τὴν κατὰ Θεὸν ὑπάρχουσαν δείξας γέννησιν. Δεξιᾶς γὰρ υἱός ἐστιν, ὁ τὴν κατὰ Θεὸν γνωμικὴν ἑκουσίως ὑπερχόμενος γέννησιν.

4 *Τοὺς Βαβυλωνίους λέγει τὴν ὑπερηφάνειαν, ὡς συγκεχυμένην ὑπάρχουσαν φρόνησιν. Τὸ γὰρ τῆς ὑπερηφανείας πάθος ἐκ δύο συνέστηκεν ἀγνοιῶν. Δύο δὲ συνελθοῦσαι πρὸς ἕνωσιν ἄγνοιαι, μίαν φρόνησιν συγκεχυμένην ἀποτελοῦσι. Μόνος γὰρ ἐκεῖνός ἐστιν ὑπερήφανος, ὁ καὶ τὴν θείαν βοήθειαν καὶ τὴν ἀνθρωπίνην ἀγνοήσας ἀσθένειαν. Οὐκοῦν ὑπερηφάνειά ἐστι θείας καὶ ἀνθρωπίνης γνώσεως στέρησις. Τῇ γὰρ τῶν ἀληθῶς ἄκρων ἀποφάσει, μία ψευδὴς ὑπάρχει κατάφασις.*

5 *Τοὺς Χουθαίους λέγει τὴν κενοδοξίαν. Σκοποῦ γὰρ τοῦ κατὰ Θεὸν ἔκστασις, καὶ πρὸς ἄλλον σκοπὸν παρὰ τὸν θεῖόν ἐστιν ἡ κενοδοξία μετάβασις. Κενόδοξος γάρ ἐστιν ὁ τῆς οἰκείας, ἀλλὰ μὴ τῆς θείας ἕνεκα δόξης τὴν ἀρετὴν ἐπιτηδεύων, καὶ πόνοις οἰκείοις τοὺς ἐξ ἀνθρώπων ἀνυποστάτους ἐπαίνους ὠνούμενος.*

6 *Αἱμὰθ λέγει τὴν ἀνθρωπαρέσκειαν. Μόνων γὰρ ἐπιμελεῖται τῶν φαινομένων ἠθῶν ὁ ἀνθρωπάρεσκος, καὶ μὴν καὶ λόγου τοῦ κόλακος, ἵνα τοῖς μὲν τὴν ὅρασιν, τοῖς δὲ τὴν ἀκοὴν σφετερίζηται, τῶν μόνοις ἡδομένων ἢ καταπληττομένων τοῖς φαινομένοις τε καὶ ἀκουομένοις, καὶ μόνῃ τῇ αἰσθήσει περιγραφόντων τὴν ἀρετήν. Ἀνθρωπαρέσκειαν οὖν εἶναί φαμεν, τὴν ὡς ἐπ' ἀρετῇ δι' ἀνθρώπους τιμωμένην τῶν ἠθῶν τε καὶ λόγων ἐπίδειξιν.*

7 *Εὐαίους λέγει τὴν ὑπόκρισιν. Ὑπόκρισις δέ ἐστι φιλίας προσποίησις, ἢ μῖσος σχήματι φιλίας κεκαλυμμένον, ἢ ἔχθρα δι' εὐνοίας ἐνεργουμένη, ἢ φθόνος ἀγάπης χαρακτῆρα μιμούμενος, ἢ φιλαμαρτήμων διάθεσις, τῇ τῶν κατ' ἀρετὴν ἠθῶν προβολῇ τοὺς θεωμένους λαμβάνουσα, ἢ βίος*

νιαμίν, καὶ ἔδειξε ὅτι ἡ κατὰ Θεὸν γέννησή του εἶναι ἔργο τῆς ἐλεύθερης γνώμης του καὶ ὄχι ἀνάγκης. Γιατὶ εἶναι 'υἱὸς τῆς δεξιᾶς' αὐτὸς ποὺ δέχεται ἑκούσια σὰν ἔργο τῆς γνώμης του τὴν κατὰ Θεὸν γέννηση.

4. Μὲ τοὺς Βαβυλώνιους ἐννοεῖ τὴν ὑπερηφάνεια, ἐπειδὴ εἶναι σκέψη συγκεχυμένη. Γιατὶ τὸ πάθος τῆς ὑπερηφάνειας δημιουργεῖται ἀπὸ δύο ἄγνοιες. Ὅταν συνενωθοῦν δύο ἄγνοιες ἀποτελοῦν μία συγκεγχυμένη σκέψη. Γιατὶ ὑπερήφανος εἶναι ἐκεῖνος μόνο ποὺ ἀγνόησε καὶ τὴ θεία βοήθεια καὶ τὴν ἀνθρώπινη ἀσθένεια. Ὑπερηφάνεια ἑπομένως εἶναι ἡ στέρηση τῆς θείας καὶ τῆς ἀνθρώπινης γνώσης. Γιατὶ μὲ τὴν ἄρνηση τῶν ἀληθινὰ ἄκρων δημιουργεῖται μιὰ ψευδὴς κατάφαση.

5. Μὲ τοὺς Χουθαίους ἐννοεῖ τὴν κενοδοξία. Γιατὶ ἡ κενοδοξία εἶναι ἐγκατάλειψη τοῦ κατὰ Θεὸν σκοποῦ καὶ μετάβαση σὲ ἄλλον σκοπὸ πέρα ἀπὸ τὸ θεῖο. Κενόδοξος δηλαδὴ εἶναι αὐτὸς ποὺ ἀσκεῖ τὴν ἀρετὴ γιὰ χάρη τῆς δικῆς του κι ὄχι τῆς θείας δόξας καὶ μὲ τοὺς κόπους του ἐξαγοράζει τοὺς ἀνυπόστατους ἐπαίνους τῶν ἀνθρώπων.

6. Αἰμὰθ ἀποκαλεῖ τὴν ἀνθρωπαρέσκεια. Ὁ ἀνθρωπάρεσκος φροντίζει μόνο γιὰ τὰ ἐξωτερικὰ ἤθη ἀλλὰ καὶ τὸ λόγο τοῦ κολακα, γιὰ νὰ προσελκύει ἄλλων τὸ κοίταγμα καὶ ἄλλων τὴν ἀκοή, ἐκείνων ποὺ εὐχαριστιοῦνται ἢ μένουν κατάπληκτοι μὲ ὅσα βλέπουν καὶ ὅσα ἀκοῦνε καὶ ποὺ περιγράφουν τὴν ἀρετὴ μὲ τὴν αἴσθηση μόνο. Ἀνθρωπαρέσκεια λοιπὸν λέμε πὼς εἶναι ἡ ἐπίδειξη γι' ἀρετὴ τάχα τῶν ἠθῶν καὶ τῶν λόγων ποὺ τιμοῦν οἱ ἄνθρωποι.

7. Εὐαίους λέει τὴν ὑποκρισία. Καὶ ὑποκρισία εἶναι προσποίηση φιλίας, ἢ μίσος ποὺ καλύπτεται ἀπὸ πρόσχημα φιλίας, ἢ ἔχθρα ποὺ ἐκδηλώνεται μὲ εὔνοια τάχα, ἢ φθόνος ποὺ μιμεῖται τὴ μορφὴ τῆς ἀγάπης, ἢ διάθεση φιλομαρτήμων, ποὺ συλλαμβάνει ὁποιους παρατηροῦν μὲ τὴν προβολὴ τῶν ἐνάρετων τρόπων, ἢ βίος ἐνάρετος μὲ πλασματικὴ κι ὄχι πραγ-

ἀρετῆς πλάσματι, ἀλλ᾽ οὐ πράγματι τὸ κόσμιον ἔχων, ἢ δικαιοσύνης προσποίησις τῇ τοῦ εἶναι δοκήσει συντηρουμένη, ἢ τρόπος ἠθικῆς φιλοσοφίας τὴν κατ᾽ ἀρετὴν συγκαλύπτων τῆς γνώμης λανθάνουσαν στέρησιν, ἢ ἀπάτη, ἀληθείας ἔχουσα μόρφωσιν, ἣν οἱ τὸν ὄφιν τῇ τῶν ἠθῶν μιμούμενοι ἐπιτηδεύουσι.

8 *Τῶν ὄντων αἰτία καὶ τῶν ἐν τοῖς οὖσιν ὄντων ἀγαθῶν ἐστιν ὁ Θεός. Ὁ τοίνυν περὶ τὴν ἀρετὴν καὶ τὴν γνῶσιν πονούμενος καὶ μὴ τῷ μέτρῳ τῆς ἐν χάριτι προκοπῆς συνεπεκτείνων τῆς οἰκείας ἀνικανότητος τὴν ἐπιγνωμοσύνην, τὸ τῆς ὑπερηφανείας κακὸν οὐ διέφυγεν. Ὁ δὲ δόξης ἕνεκεν ἰδίας τὸ καλὸν ἐπιτηδεύων, ἑαυτὸν τοῦ Θεοῦ προετίμησε, τῷ τῆς κενῆς δόξης ἥλῳ περιπαρείς. Ὁ δὲ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις ποιῶν ἢ διώκων τὴν ἀρετήν, τῆς θείας πολλῷ τὴν ἀνθρωπίνην ὑπερέθηκεν ἀποδοχήν, τῷ τῆς ἀνθρωπαρεσκίας πάθει νοσηλευόμενος. Ὁ δὲ μόνῃ τῇ κατ᾽ ἀρετὴν σεμνότητι πρὸς ἀπάτην κακούργως ἐπιχρώσας τὰ ἤθη καὶ τὴν πονηρὰν τῆς γνώμης διάθεσιν τῷ φαινομένῳ σχήματι τῆς εὐσεβείας ἐπικαλύπτων, τῷ τῆς ὑποκρίσεως ἐξωνεῖται δόλῳ τὴν ἀρετήν. Οὐκοῦν ἐπ᾽ ἄλλα παρὰ τὴν αἰτίαν ἑκάστου τούτων ἀπήγαγε τὸν σκοπόν, ὁ νοητὸς Ἀσβακαφάθ.*

9 *Οἱ λόγοι τοῦ Θεοῦ ψιλῶς κατὰ μόνην λαλούμενοι τὴν προφοράν, φησίν, οὐκ ἀκούονται, φωνήν, τὴν τῶν αὐτοὺς λαλούντων πρᾶξιν, οὐκ ἔχοντες. Εἰ δὲ τῇ πράξει τῶν ἐντολῶν ἐκφωνοῦνται, τούς τε δαίμονας ἔχουσι τῇ τοιαύτῃ διαστηκομένους φωνῇ, καὶ τοὺς ἀνθρώπους τῇ προκοπῇ τῶν ἔργων τῆς δικαιοσύνης εὐπειθῶς τὸν θεῖον τῆς καρδίας οἰκοδομοῦντας.*

10 *Τὸν Ζοροβάβελ ἐνταῦθα εἰς τὸν πρακτικὸν νοῦν ἔλαβεν, ὡς πολεμικώτερον, τὸν δὲ Ἰησοῦν εἰς τὸν θεωρητικόν, ὡς*

ματικὴ κοσμιότητα, ἢ προσποίηση δικαιοσύνης ποὺ συντηρεῖται ἀπὸ τὴν ἰδέα ὅτι εἶναι πραγματική, ἢ τρόπος ἠθικῆς διαβίωσης ποὺ καλύπτει τὴ λανθάνουσα στέρηση τῆς ἐνάρετης διάθεσης, ἢ ἀκόμα ἀπάτη ποὺ παίρνει τὴ μορφὴ τῆς ἀλήθειας ποὺ ἀσκοῦν ὅσοι μιμοῦνται τοῦ φιδιοῦ τὴ διαστροφὴ στὰ ἤθη.

8. Αἰτία τῶν ὄντων κι αἰτία ὅποιου καλοῦ ἔχουν τὰ ὄντα εἶναι ὁ Θεός. Ὅποιος λοιπὸν ταλαιπωρεῖται γιὰ χάρη τῆς ἀρετῆς καὶ τῆς γνώσης καὶ δὲν συνεπεκτείνει τὴν ἐπίγνωση τῆς ἀνικανότητάς του κατὰ τὸ μέτρο τῆς προκοπῆς του μὲ τὴ χάρη τοῦ Θεοῦ, αὐτὸς δὲν ἔχει ξεφύγει τὸ ἐλάττωμα τῆς ὑπερηφάνειας. Ὅποιος πάλι ἀσκεῖ τὸ καλὸ γιὰ δική του δόξα, αὐτὸς προτιμᾶ τὸν ἑαυτό του ἀπὸ τὸ Θεό, διαπερασμένος ἀπὸ τὸ καρφὶ τῆς μάταιης δόξας. Κι ὅποιος πραγματοποιεῖ ἢ ἐπιδιώκει τὴν ἀρετὴ πρὸς τὸ θεαθῆναι ἀπὸ τοὺς ἀνθρώπους βάζει τὴν ἀνθρώπινη ἀποδοχὴ πιὸ πάνω ἀπὸ τὴ θεία, νοσώντας ἀπὸ τὸ ἐλάττωμα τῆς ἀνθρωπαρέσκειας. Ὅποιος πάλι ἔβαλε στὴ συμπεριφορά του, κακόβουλα καὶ γιὰ νὰ ἐξαπατήσει, ἕνα ἐπίχρισμα ἐνάρετης σεμνότητας, σκεπάζοντας τὴν πονηρὴ διάθεση τῆς γνώμης μ' ἕνα φαινομενικὸ σχῆμα εὐσέβειας, ἐξαγοράζει τὴν ἀρετὴ μὲ τὸν δόλο τῆς ὑποκρισίας. Ἑπομένως ὁ νοητὸς Ἀσβακαφὰθ τὸ σκοπὸ καθενὸς ἀπὸ αὐτὰ τὸν ἔβαλε σὲ ἄλλα πέρα ἀπὸ τὴν αἰτία τους.

9. Οἱ λόγοι τοῦ Θεοῦ ὅταν ἁπλῶς προφέρονται ἐκφωνούμενοι μόνο, λέει, δὲν ἀκούονται, γιατὶ δὲν ἔχουν σὰν φωνή τους τὴν πράξη αὐτῶν ποὺ τοὺς λένε. Ἂν ὅμως ἐκφωνοῦνται μὲ πραγματοποίηση τῶν ἐντολῶν καὶ τοὺς δαίμονες κάνουν νὰ λιώνουν μὲ τὴ φωνὴ καὶ τοὺς ἀνθρώπους νὰ οἰκοδομοῦν τὸ θεῖο ναὸ τῆς καρδιᾶς μὲ τὴν προκοπή τους στὰ ἔργα τῆς δικαιοσύνης.

10. Τὸν Ζοροβάβελ τὸν παίρνει ἐδῶ στὴ θέση τοῦ πρακτικοῦ νοῦ, ὡς πιὸ πολεμικό, ἐνῶ τὸν Ἰησοῦ στὴ θέση τοῦ θεωρη-

ἱερέα καὶ διὰ παντὸς τὴν ἐντυχίαν πρὸς τὸν Θεὸν ποιεῖσθαι τεταγμένον.

11 Μερισμὸν ψυχῆς καὶ πνεύματος λέγει τὴν διαφορὰν τῶν ἐκ φύσεως ἀρετῶν, ὧν φυσικῶς ἔχομεν τοὺς λόγους, καὶ τῶν ἐκ Πνεύματος, ὧν κατὰ δωρεὰν δεχόμεθα τὴν χάριν· τούτων γὰρ εὐκρινῶς τὴν διαστολὴν ποιεῖται κρίνων ὁ λόγος.

12 Μυελός ἐστιν ὁ θεῖος λόγος, ὁ τοὺς ἐν ἡμῖν ὥσπερ ὀστᾶ θείους διατρέφων λογισμούς, τοὺς ὑποτρέφοντας τὸ σῶμα τῶν ἀρετῶν. Ἁρμὸς δέ ἐστιν ὁ τῆς πράξεως τρόπος, καθ' ὃν ἡ πρὸς τοὺς θείους λόγους τῶν λογισμῶν γίνεσθαι πέφυκεν ἕνωσις πρὸς μίαν ἀρετῆς ἐκπλήρωσιν.

13 Τὰς ἐνθυμήσεις δὲ καὶ τὰς ἐννοίας, ὧν ἐστι κριτικὸς ὁ Λόγος φησὶν εἶναι τὰς τῆς ψυχῆς ἐπί τε τοῖς θείοις λόγοις καὶ τοῖς λογισμοῖς σχέσεις, καὶ τὰς αὐτῶν δηλαδὴ τῶν σχέσεων αἰτίας. Ἡ γὰρ ἐνθύμισις κινεῖ μνήμην, ἧς οἰκεῖον ἡ σχέσις· ἡ δὲ ἔννοια πέρας ἀποσκοπεῖ, ὅπερ αἰτίαν χαρακτηρίζει.

14 Ἡ κατ' οὐσίαν γνῶσις, φησίν, ἔστιν ὁ Θεός· προηγεῖται δὲ σαφῶς πάσης γνώσεως ὁ νοῦς, ᾧ καὶ ὑποπίπτειν πέφυκεν· ἄρα καὶ ὑπὲρ ταύτην ἐστὶν ὁ Θεός, ὅτι καὶ ὑπὲρ πάντα νοῦν, ᾧ γνῶσις καθοτιοῦν πέφυκεν ὑποπίπτειν, ὑπεραπείρως καθέστηκεν.

15 Οἱ κατ' ἔλλειψιν ἀρετῆς πολεμοῦντες δαίμονές εἰσιν, οἱ πορνείαν καὶ μέθην, φιλαργυρίαν τε καὶ φθόνον, καὶ τοιαῦτα διδάσκοντες· οἱ δὲ καθ' ὑπερβολὴν πολεμοῦντές εἰσιν, οἱ τὴν οἴησιν καὶ τὴν κενοδοξίαν καὶ τὴν ὑπερηφάνειαν καὶ τὰ τοιαῦτα διδάσκοντες, καὶ διὰ τῶν δεξιῶν τοῖς ἀριστεροῖς ἐπικεκρυμμένως ἐμπείροντες.

16 Ἀρετῆς ὅρος ἐστίν, ἡ τῆς ἀνθρωπίνης ἀσθενείας κατ' ἐπίγνωσιν πρὸς τὴν θείαν δύναμιν ἕνωσις. Ὁ τοίνυν ἑαυτὸν τῇ ἀσθενείᾳ περιγράφων τῆς φύσεως, πρὸς τὸν ὅρον οὐκ ἦλθε

τικοῦ, ὡς ἱερέα καὶ ταγμένο νὰ συνομιλεῖ πάντοτε μὲ τὸ Θεό.

11. Χωρισμὸ ψυχῆς καὶ σώματος λέει τὴ διαφορὰ ἀνάμεσα στὶς φυσικὲς ἀρετές, ποὺ ἀπὸ τὴ φύση κατέχομε τοὺς λόγους τους, καὶ στὶς ἀρετὲς τοῦ Πνεύματος, τῶν ὁποίων τὴ χάρη δεχόμαστε δωρεάν· γιατὶ τὴν εὐκρινὴ διαστολὴ αὐτῶν τὴν κάνει κρίνοντας ὁ λόγος.

12. Μυελὸς εἶναι ὁ θεῖος λόγος, ποὺ τρέφει σὰ νὰ εἶναι ὀστᾶ τοὺς λογισμοὺς μέσα μας, ποὺ τροφοδοτοῦν τὸ σῶμα τῶν ἀρετῶν. Ἄρθρωση πάλι καὶ ὀστᾶ εἶναι ὁ τρόπος τῆς πράξης, σύμφωνα μὲ τὸν ὁποῖο γίνεται φυσικὰ ἡ ἕνωση μὲ τοὺς θείους λόγους τῶν λογισμῶν πρὸς κοινὴ ἐκπλήρωση τῆς ἀρετῆς.

13. Θύμηση καὶ ἔννοιες ποὺ διαχωρίζει ὁ λόγος λέει πὼς εἶναι οἱ σχέσεις τῆς ψυχῆς μὲ τοὺς θείους λόγους καὶ λογισμοὺς ἀλλὰ καὶ οἱ αἰτίες τῶν σχέσεων αὐτῶν. Γιατὶ ἡ ἐνθύμηση κινεῖ τὴ μνήμη, ποὺ γνώρισμά της εἶναι ἡ σχέση· ἐνῶ ἡ ἔννοια ἀποβλέπει σὲ ἕνα πέρας, ποὺ τὸ χαρακτηρίζει ὡς αἰτία.

14. Ἡ οὐσιαστικὴ γνώση, λέει, εἶναι ὁ Θεός· καὶ σαφῶς ἀπὸ κάθε γνώση προηγεῖται ὁ νοῦς ἀπὸ τὸν ὁποῖο καὶ φυσικὰ ἐξαρτᾶται. Ἄρα καὶ πάνω ἀπὸ αὐτὴν εἶναι ὁ Θεός, ἐπειδὴ βρίσκεται ὑπεράπειρα καὶ πάνω ἀπὸ κάθε νοῦ, ἀπὸ τὸν ὁποῖο ἐξαρτᾶται ὁπωσδήποτε κάθε γνώση.

15. Ὅσοι πολεμοῦν ἀπὸ ἔλλειψη ἀρετῆς εἶναι δαίμονες, ποὺ διδάσκουν τὴν πορνεία καὶ τὴ μέθη, τὴ φιλαργυρία καὶ τὸ φθόνο καὶ τὰ παρόμοια. Ἐνῶ ἐκεῖνοι ποὺ πολεμοῦν ὑπερβολικὰ εἶναι αὐτοὶ ποὺ διδάσκουν τὴν οἴηση, τὴ ματαιοδοξία, τὴν ὑπερηφάνεια καὶ τὰ ὅμοια, καὶ μέσω τῶν δεξιῶν διεισδύουν κρυφὰ στὰ ἀριστερά.

16. Ὁ ὁρισμὸς τῆς ἀρετῆς· ἀρετὴ εἶναι ἡ συνειδητὴ ἕνωση τῆς ἀνθρώπινης ἀσθένειας μὲ τὴ θεία δύναμη. Ὅποιος λοιπὸν περιορίζει τὸν ἑαυτό του μέσα στὴν ἀσθένεια τῆς φύσης,

τῆς ἀρετῆς· διὰ τοῦτο πλημμελεῖ, μήπω λαβὼν τὴν τὸ ἀσθενὲς ἰσχύουσαν δύναμιν· ὁ διὰ τῆς θείας δυνάμεως τὴν οἰκείαν ἀσθένειαν ὡς ἰσχὺν αὐθαδῶς ἀντιπροβαλλόμενος, τὸν ὅρον παρῆλθε τῆς ἀρετῆς, καὶ διὰ τοῦτο πλημμελῶν, ὡς τοῦ κατόπιν ὑπερφεροῦς παρ' ἑαυτοῦ γενομένου, οὐκ ἐπιγινώσκει. Ἀρετὴν γὰρ εἶναι νομίζει τὸ πλημμέλημα. Συγγνωστὸς οὖν μᾶλλον ὁ τῇ κατὰ φύσιν ἀσθενείᾳ ἑαυτὸν περιγράψας, παθὼν μᾶλλον ἐκ ῥᾳθυμίας τῆς ἀρετῆς τὴν ἔκπτωσιν, ἢ ὁ· τὴν οἰκείαν ἀσθένειαν ὡς ἰσχὺν πρὸς τὴν τῶν καθηκόντων ποίησιν ἀντιπαραβαλλόμενος τῆς θείας δυνάμεως, δράσας μᾶλλον ἐξ αὐθαδείας τὴν ἔκπτωσιν.

47 *Ὁ τὸν φαινόμενον κόσμον νοῶν, θεωρεῖ τὸν νοούμενον· τυποῖ γὰρ τῇ αἰσθήσει τὰ νοητὰ φανταζόμενος καὶ κατὰ νοῦν σχηματίζει τοὺς θεαθέντας λόγους, καὶ μεταφέρει πρὸς μὲν αἴσθησιν πολυειδῶς τοῦ νοητοῦ κόσμου τὴν σύστασιν, πρὸς δὲ νοῦν τοῦ αἰσθητοῦ κόσμου πολυπλόκως τὴν σύνθεσιν· καὶ νοεῖ, ἐν μὲν τῷ νοητῷ τὸν αἰσθητόν, μετενέγκας πρὸς τὸν νοῦν τοῖς λόγοις τὴν αἴσθησιν, ἐν δὲ τῷ αἰσθητῷ τὸν νοητόν, πρὸς τὴν αἴσθησιν ἐπιστημόνως τοῖς τύποις μετεγκλώσας τὸν νοῦν.*

48 *Ἄλλη περὶ τῶν αὐτῶν θεωρία.*

δὲν ἐμπίπτει στὸν ὁρισμὸ τῆς ἀρετῆς. Γι' αὐτὸ καὶ πλημμελεῖ, ἐπειδὴ δὲν ἔλαβε ἀκόμα τὴ δύναμη ποὺ ἐνισχύει τὸ ἀσθενές. Ὅποιος πάλι ἀντιπαραθέτει μὲ αὐθάδεια στὴ θεία δύναμη τὴν ἀσθένειά του ὡς ἰσχύ, ἄφησε πίσω του τὸν ὁρισμὸ τῆς ἀρετῆς, καὶ γι' αὐτὸ ὅταν σφάλλει δὲν τὸ ἀντιλαμβάνεται, ἐπειδὴ τὸ ἑπόμενο ἔγινε γιὰ ἐκεῖνον προηγούμενο. Νομίζει δηλαδὴ τὸ σφάλμα ὡς ἀρετή. Εἶναι ὅμως περισσότερο ἄξιος γιὰ συγχώρηση ὅποιος περιορίσθηκε στὴ φυσική του ἀσθένεια, παθαίνοντας ἀπὸ ραθυμία μᾶλλον τὴν ἔκπτωσή του ἀπὸ τὴν ἀρετή, παρὰ ἐκεῖνος ποὺ ἀντιπαραθέτει στὴ θεία δύναμη τὴν ἀσθένειά του ὡς ἰσχὺ γιὰ τὴν ἐκτέλεση τῶν καθηκόντων του, ἐνῶ πραγματοποίησε ἀπὸ αὐθάδεια μᾶλλον τὴν ἔκπτωσή του.

ΕΡΩΤΗΣΙΣ ΝΖ'

«Πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη». Τί ἐστι τὸ «ἐνεργουμένη»;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ δύο τρόπους ἐνεργουμένην οἶδα τοῦ διακίου τὴν δέησιν· καθ' ἕνα μέν, ὁπόταν μετὰ τῶν κατ' ἐντολὴν ἔργων τῷ Θεῷ τὴν ταύτης ποιεῖται προσαγωγὴν τῆς δεήσεως ὁ εὐχόμενος, καὶ μὴ μόνον ἐν ψιλῷ λόγῳ καὶ διακένῳ φωνῆς ἤχῳ τῆς γλώττης ἐκπίπτουσαν, ἀργὴν κεῖσθαι τὴν δέησιν καὶ ἀνυπόστατον, ἀλλ' ἐνεργὸν καὶ ζῶσαν, τοῖς τρόποις τῶν ἐντολῶν ψυχουμένην. Εὐχῆς γὰρ καὶ δεήσεως ὑπόστασις, ἡ διὰ τῶν ἀρετῶν ὑπάρχει προδήλως ἐκπλήρωσις, καθ' ἣν ἰσχυρὰν καὶ πάντα δυναμένην ὁ δίκαιος ἔχει τὴν δέησιν, ἐνεργουμένην ταῖς ἐντολαῖς. Καθ' ἕτερον δὲ τρόπον ὁπόταν ὁ τῆς εὐχῆς τοῦ δικαίου δεόμενος τὰ ἔργα τῆς εὐχῆς διαπράττεται, τόν τε πρότερον διορθούμενος βίον καὶ τὴν δέησιν τοῦ δικαίου ἰσχυρὰν ποιούμενος διὰ τῆς οἰκείας καλῆς ἀναστροφῆς δυναμουμένην.

Οὐ γὰρ ὄφελος τῆς τοῦ δικαίου δεήσεως, τοῦ ταύτης χρῄζοντος πλέον τῶν ἀρετῶν ἡδομένου τοῖς πλημμελήμασιν. Ἐπειδὴ καὶ ὁ μέγας ποτὲ Σαμουὴλ ἐπένθει πλημμελοῦντα τὸν Σαούλ, ἀλλ' οὐκ ἴσχυσε τὸν Θεὸν ἱλεώσασθαι, μὴ λαβὼν συλλήπτορα τοῦ πένθους τὴν καθήκουσαν τοῦ πλημμελοῦντος διόρθωσιν. Διὰ τοῦ ἀνονήτου πένθους ὁ Θεὸς καταπαύων τὸν

ΕΡΩΤΗΣΗ 57

«Ἔχει μεγάλη δύναμη ἡ ἐνεργούμενη δέηση τοῦ δικαίου»[1]. Τί σημαίνει ἡ λέξη «ἐνεργούμενη»;

ΑΠΟΚΡΙΣΗ

Γνωρίζω ὅτι ἡ δέηση τοῦ δίκαιου εἶναι ἐνεργούμενη μὲ δύο τρόπους. Ὁ ἕνας τρόπος εἶναι ὅταν ὁ προσευχόμενος ἀπευθύνει αὐτὴ τὴν προσευχὴ στὸ Θεὸ μετὰ τὴν ἐκτέλεση τῶν ἐντολῶν, χωρὶς νὰ μένει ὅμως ἀδρανὴς καὶ κενὴ ἡ δέηση βγαίνοντας ἀπὸ τὸ στόμα μόνο μὲ ἁπλὰ λόγια καὶ διάκενο ἦχο, ἀλλὰ νὰ εἶναι ἐνεργὴς καὶ ζῶσα καὶ νὰ ἐμψυχώνεται ἀπὸ τοὺς τρόπους ἐκτέλεσης τῶν ἀρετῶν. Γιατὶ εἶναι φανερὸ ὅτι ἡ ὑπόσταση τῆς προσευχῆς καὶ τῆς δέησης εἶναι προφανῶς ἡ ἐκπλήρωσή της μὲ τὴν ἐνέργεια τῶν ἀρετῶν, μὲ τὴν ὁποία ὁ δίκαιος κρατεῖ πάντοτε ἰσχυρὴ καὶ παντοδύναμη τὴ δέησή του, ὅταν ααὐτὴ γίνεται μὲ τὴν ἐκτέλεση τῶν ἐντολῶν. Μὲ ἄλλο τρόπο πάλι, ὅταν αὐτός, ποὺ ἔχει ἀνάγκη ἀπὸ τὴ προσευχὴ τοῦ δίκαιου, πραγματοποιεῖ τὰ ἔργα τῆς προσευχῆς διορθώνοντας καὶ τὸν προηγούμενο βίο του καὶ ἰσχυροποιώντας τὴ δέηση τοῦ δίκαιου, ποὺ θὰ ἐνισχύεται μὲ τὴν καλὴ δική του ἀναστροφή.

Γιατὶ δὲν ὠφελεῖ ἡ δέηση τοῦ δίκαιου, ὅταν αὐτὸς ποὺ τὴ χρειάζεται εὐχαριστιέται πιὸ πολὺ μὲ τὰ σφάλματα παρὰ μὲ τὶς ἀρετές. Γιατὶ κι ὁ μέγας Σαμουὴλ κάποτε λυπόταν ὅταν ὁ Σαοὺλ ἔσφαλλε, δὲν μπόρεσε ὅμως νὰ ἐξιλεώσει τὸ Θεό, ἐπειδὴ δὲν βρῆκε συμμέτοχο στὴ λύπη του τὴν ἁρμόζουσα διόρθωση ἐκείνου ποὺ ἔσφαλλε. Γι' αὐτὸ σταματώντας τὴν ἀνώφελη

1. Ἰακ. 5,16.

ἑαυτοῦ θεράποντα, φησὶ πρὸς αὐτόν· «Ἕως πότε σὺ πενθεῖς ἐπὶ Σαούλ; κἀγὼ ἐξουδένωκα αὐτὸν τοῦ μὴ βασιλεύειν ἐπὶ Ἰσραήλ».

Καὶ πάλιν Ἰερεμίας ὁ συμπαθέστατος, ὑπὲρ τοῦ λαοῦ τῶν Ἰουδαίων περὶ τὴν πλάνην μανέντος τῶν δαιμονίων, οὐκ εἰσακούεται προσευχόμενος, οὐκ ἔχων εἰς προσευχῆς δύναμιν τὴν ἀπὸ τῆς πλάνης τῶν ἀθέων Ἰουδαίων ἐπιστροφήν· ὅθεν τοῦ διακενῆς προσεύχεσθαι καὶ τοῦτον ἀπάγων ὁ Θεός, φησί· «Καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου καὶ μὴ ἀξίου τοῦ ἐλεηθῆναι αὐτούς· καὶ μὴ εὔχου καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν ἔτι, ὅτι οὐκ εἰσακούσομαι».

Πολλῆς γὰρ ὄντως ἐστὶν ἀβελτηρίας, ἵνα μὴ λέγω παραφροσύνης, δι᾽ εὐχῆς δικαίων ἐπιζητεῖν τὴν σωτηρίαν, τὸν κατὰ διάθεσιν τοῖς ὀλεθρίοις ἡδόμενον, κἀκείνων αἰτεῖσθαι συγχώρησιν, οἷς ἐγκαυχᾶται κατ᾽ ἐνέργειαν προθέσει σπιλούμενος· δέον μὴ ἀργὴν ἐᾶν γίνεσθαι καὶ ἀκίνητον τοῦ δικαίου τὴν δέησιν τὸν ταύτης δεόμενον, εἴπερ ἀληθῶς τοῖς πονηροῖς ἀπεχθάνεται, ἀλλ᾽ ἐνεργὸν ποιεῖν καὶ ἰσχυρὰν ταῖς οἰκείαις ἀρεταῖς πτερουμένην καὶ φθάνουσαν τὸν συγχώρησιν διδόναι τῶν πλημμεληθέντων δυνάμενον.

Εἴτε οὖν ἐκ τοῦ ποιουμένου τὴν δέησιν δικαίου, εἴτε ἐκ τοῦ γίνεσθαι ταύτην αἰτουμένου τὸν δίκαιον ἐνεργουμένη, πολὺ ἰσχύει τοῦ δικαίου ἡ δέησις. Ὑπὸ μὲν γὰρ τοῦ δικαίου ἐνεργουμένη, δίδωσιν αὐτῷ παρρησίαν πρὸς τὸν δοῦναι δυνάμενον τὰ τῶν δικαίων αἰτήματα· ὑπὸ δὲ τοῦ ταύτην αἰτουμένου τὸν δίκαιον, τῆς προτέρας αὐτὸν μοχθηρίας ἀφίστησι, μεταβάλλουσα πρὸς ἀρετὴν αὐτοῦ τὴν διάθεσιν.

λύπη ὁ Θεὸς τοῦ ὑπηρέτη του τοῦ λέει· «ὡς πότε ἐσὺ θὰ πενθεῖς γιὰ τὸ Σαούλ; ἐγὼ τὸν ἔφερα στὴν κατάσταση αὐτὴ γιὰ νὰ μὴ βασιλεύει στὸν Ἰσραήλ»[2].

Ἐξάλλου καὶ ὁ Ἰερεμίας, ὁ γεμάτος συμπάθεια, δὲν εἰσακούεται ὅταν προσεύχεται γιὰ τὸ λαὸ τῶν Ἰουδαίων ποὺ εἶχε ριχτεῖ μὲ μανία στὴν δαιμονικὴ πλάνη, ἐπειδὴ δὲν ἐνίσχυε τὴν προσευχή του ἡ ἐπιστροφὴ ἀπὸ τὴν πλάνη τῶν ἄθεων Ἰουδαίων. Γι' αὐτὸ ἀπαλλάσσοντάς τον κι αὐτὸν ὁ Θεὸς ἀπὸ τὴν ἀνώφελη προσευχὴ τοῦ λέει· «καὶ ἐσὺ μὴν προσεύχεσαι γιὰ τὸ λαὸ αὐτὸ καὶ μὴ ζητᾶς νὰ ἐλεηθοῦν. Μὴν προσεύχεσαι καὶ μὴ προσέλθεις σὲ μένα γι' αὐτοὺς πιά, γιατὶ δὲ θὰ σὲ ἀκούσω»[3].

Πράγματι εἶναι μεγάλη ἀνοησία, γιὰ νὰ μὴν πῶ παραφροσύνη, νὰ ζητεῖ τὴ σωτηρία του μὲ τὴν προσευχὴ τῶν δίκαιων ὅποιος εὐχαριστιέται ὁλόψυχα μὲ πράγματα ποὺ προκαλοῦν τὸν ὄλεθρο, καὶ νὰ ζητεῖ συγχώρηση γιὰ ὅσα καυχιέται, ποὺ μὲ τὴ διάπραξή τους τὸν σπιλώνουν μὲ πρόθεσή του. Ὅποιος ἔχει ἀνάγκη ἀπὸ τὴ δέηση τοῦ δίκαιου δὲν πρέπει ν' ἀφήνει νὰ γίνεται ἀδρανής, ἂν σιχαίνεται στ' ἀλήθεια τὴν ἁμαρτία, ἀλλὰ νὰ τὴν κάνει ἐνεργὸ καὶ ἰσχυρὴ φτερωμένη μὲ τὶς ἀρετές του καὶ φτάνοντας σ' αὐτὸν ποὺ μπορεῖ νὰ δώσει συγχώρηση τῶν σφαλμάτων.

Εἴτε λοιπὸν ἡ δέηση πραγματοποιεῖται ἀπὸ τὸν δίκαιο ποὺ κάνει αὐτήν, εἴτε ἀπὸ αὐτὸν ποὺ παρακαλεῖ τὸν δίκαιο νὰ τὴν κάνει, ἡ δέηση τοῦ δίκαιου ἔχει μεγάλη δύναμη. Ὅταν δηλαδὴ πραγματοποιεῖται ἀπὸ τὸν δίκαιο, τοῦ δίνει παρρησία πρὸς αὐτὸν ποὺ μπορεῖ νὰ παραχωρήσει τὰ αἰτήματα τῶν δίκαιων· ὅταν πάλι ἀπὸ αὐτὸν ποὺ τὴ ζητεῖ ἀπὸ τὸν δίκαιο, τὸν ἀπαλλάσσει ἀπὸ τὴν προηγούμενη κακία του, μεταβάλλοντας τὴ διαθεσή του πρὸς τὴν ἀρετή.

---

2. Α' Βασ. 16,1.
3. Ἰερ. 3,16.

ΕΡΩΤΗΣΙΣ ΝΗ'

«Ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ λυπηθέντας ὑμᾶς ἐν ποικίλοις πειρασμοῖς». Πῶς τις, λυπούμενος ἐν πειρασμοῖς, δύναται ἀγαλλιᾶσθαι ἐν ᾧ λυπεῖται;

ΑΠΟΚΡΙΣΙΣ

Τὴν λύπην διττὴν οἶδε τῆς ἀληθείας ὁ λόγος· τὴν μέν, κατὰ ψυχὴν ἀφανῶς, τὴν δέ, κατ' αἴσθησιν φανερῶς συνισταμένην· καὶ τὴν μὲν ὅλον τῆς ψυχῆς τὸ βάθος περιλαμβάνουσαν, τῇ μάστιγι τῆς συνειδήσεως αἰκιζόμενον, τὴν δὲ πᾶσαν τὴν αἴσθησιν περιγράφουσαν, τῷ βάρει τῶν ἀλγεινῶν συστελλομένην τῆς φυσικῆς διαχύσεως. Καὶ τὴν μὲν τῆς κατ' αἴσθησιν ἡδονῆς, τὴν δὲ τῆς κατὰ ψυχὴν εὐφροσύνης τέλος ὑπάρχουσαν. Μᾶλλον δέ, τὴν μὲν τῶν κατ' αἴσθησιν γνωμικῶν, τὴν δὲ τῶν κατ' αὐτὴν συμπέρασμα παρὰ γνώμην παθῶν τυγχάνουσαν.

Λύπη γάρ ἐστι, κατ' ἐμὲ φάναι, διάθεσις ἡδονῶν ἐστερημένη. Στέρησις δὲ καθέστηκεν ἡδονῶν, πόνων ἐπαγωγή. Πόνος δὲ σαφῶς ἐστι φυσικῆς ἕξεως ἔλλειψις ἢ ὑποχώρησις· ἔλλειψις δὲ φυσικῆς ἕξεώς ἐστι, πάθος τῆς κατὰ φύσιν ὑποκειμένης τῇ ἕξει δυνάμεως· πάθος δὲ τῆς κατὰ φύσιν ὑποκειμένης τῇ ἕξει δυνάμεώς ἐστιν, ὁ κατὰ τὴν παράχρησιν τῆς φυσικῆς ἐνεργείας τρόπος· παράχρησις δὲ τοῦ κατ' ἐνέργειαν τρόπου καθέστηκεν, ἡ πρὸς τὸ μὴ πεφυκὸς κατὰ φύσιν καὶ ὑφιστάμενον τῆς δυνάμεως κίνησις.

ΕΡΩΤΗΣΗ 58

«Γιὰ τὸν ὁποῖο καιρὸ πρέπει νὰ χαίρεστε, κι ἂν ἀκόμα χρειαστεῖ ἔστω καὶ λίγο νὰ λυπηθεῖτε μὲ κάθε λογῆς πειρασμούς»[1]. Πῶς κάποιος ποὺ λυπᾶται ἀπὸ πειρασμοὺς μπορεῖ νὰ χαίρεται γι' αὐτὸ ποὺ λυπᾶται;

ΑΠΟΚΡΙΣΗ

Ὁ ἀληθινὸς λόγος γνωρίζει τὴ λύπη διπλή· ἡ μία εἶναι ἀθέατη μέσα στὴν ψυχή, ἐνῶ ἡ ἄλλη ἐκδηλώνεται φανερὰ στὴν αἴσθηση. Καὶ ἡ πρώτη καταλαμβάνει ὅλο τὸ βάθος τῆς ψυχῆς καὶ τὴ βασανίζει μὲ τὸ μαστίγιο τῆς συνείδησης, ἐνῶ ἡ ἄλλη περισφίγγει ὅλη τὴν αἴσθηση ποὺ περιορίζεται ἀπὸ τὴ φυσικὴ διάχυσή της ἐξαιτίας τοῦ βάρους τῶν λυπηρῶν. Καὶ ἡ μία τέλος της ἔχει τὴν αἰσθησιακὴ ἡδονή, ἐνῶ ἡ ἄλλη τὴν ψυχικὴ εὐφροσύνη. Ἢ καλύτερα ἡ μία εἶναι ἀποτέλεσμα τῶν θελημένων αἰσθησιακῶν παθῶν, ἐνῶ ἡ ἄλλη τῶν ἀθέλητων παθῶν ποὺ τὴν προκαλοῦν.

Λύπη δηλαδή, κατὰ τὴ γνώμη μου, εἶναι μιὰ διάθεση ποὺ στερεῖται τὶς ὅποιες ἡδονές. Καὶ στέρηση ἡδονῶν εἶναι ἡ συσσώρευση πόνων. Πόνος πάλι εἶναι σαφῶς ἔλλειψη ἢ ὑποχώρηση φυσικῆς ἕξης· ἔλλειψη φυσικῆς ἕξης εἶναι πάθος τῆς φυσικῆς δύναμης ποὺ ἐξαρτᾶται ἀπὸ τὴν ἕξη· πάθος τῆς φυσικῆς δύναμης, ποὺ ἐξαρτᾶται ἀπὸ τὴν ἕξη, εἶναι ἡ μὴ ὀρθὴ χρήση τῆς φυσικῆς ἐνέργειας· τέλος μὴ ὀρθὴ χρήση τῆς ἐνέργειας εἶναι ἡ κίνηση τῆς δύναμης πρὸς ἐκεῖνο ποὺ δὲν ἔχει φυσικὴ ὕπαρξη κι ἐξουσιάζεται ἀπὸ τὴ δύναμη.

---

1. Α' Πέτρ. 1,6.

Ὥσπερ δὲ τὴν λύπην διττήν, ὡς ἔφην, οἶδεν ὁ λόγος, οὕτω καὶ τῶν πειρασμῶν διττὸν ἐπίσταται τὸν τρόπον· τὸν μὲν κατὰ γνώμην, τὸν δὲ παρὰ γνώμην· καὶ τὸν μὲν ἑκουσίων ἡδονῶν δημιουργόν, τὸν δὲ ἀκουσίων ὀδυνῶν ἐπακτικόν. Ὁ γὰρ κατὰ γνώμην πειρασμὸς τὰς κατὰ προαίρεσιν ἑκουσίως σαφῶς συνίστησιν ἡδονάς, ὁ δὲ παρὰ γνώμην προδήλως τοὺς ἀκουσίους παρὰ προαίρεσιν ἐφίστησι πόνους· καὶ ὁ μὲν τῆς κατὰ ψυχήν, ὁ δὲ τῆς κατ' αἴσθησιν λύπης καθέστηκεν αἴτιος.

Ὅθεν οἶμαι τὸν Κύριον ἡμῶν καὶ Θεόν, πῶς δεῖ προσεύχεσθαι τοὺς οἰκείους διδάσκοντα μαθητάς, πρὸς τό, τὸ κατὰ γνώμην εἶδος τῶν πειρασμῶν ἀπεύχεσθαι φάσκειν, «καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν», τῶν ἡδονικῶν δηλονότι καὶ γνωμικῶν καὶ ἑκουσίων πειρασμῶν, μὴ ἐγκαταλειφῆναι πεῖραν λαβεῖν εὔχεσθαι τοὺς οἰκείους διδάσκοντα μαθητάς. Τὸν δὲ μέγαν Ἰάκωβον, τὸν τοῦ Κυρίου λεγόμενον ἀδελφόν, πρὸς τὸ τῶν ἀκουσίων πειρασμῶν εἶδος διδάσκοντα μὴ συστέλλεσθαι, τοὺς ὑπὲρ ἀληθείας ἀγωνιζομένους φάναι, «πᾶσαν χαρὰν ἡγήσασθαι, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις», δηλονότι τοῖς ἀκουσίοις καὶ παρὰ γνώμην καὶ πόνων ποιητικοῖς πειρασμοῖς· καὶ δηλοῦσι σαφῶς, ἐκεῖ μὲν ἐπάγων ὁ Κύριος, «ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ», ἐνταῦθα δὲ ὁ μέγας Ἰάκωβος, «γινώσκοντες ὅτι τὸ δοκίμιον ἡμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν, ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι». Τέλειός ἐστιν, ὁ τοῖς ἑκουσίοις δι' ἐγκρατείας μαχόμενος καὶ τοῖς ἀκουσίοις δι' ὑπομονῆς ἐγκαρτερῶν πειρασμοῖς καὶ ὁλόκληρός

Κι ὅπως ὁ λόγος γνωρίζει, ὅπως εἶπα, διπλὴ λύπη, ἔτσι γνωρίζει ὅτι κι ὁ τρόπος τῶν πειρασμῶν εἶναι διπλός· ὁ ἕνας γιὰ ὅσα γίνονται μὲ σύμφωνη γνώμη μας, καὶ ὁ ἄλλος γιὰ τὰ ἀνεξάρτητα ἀπὸ τὴ γνώμη μας. Κι ὁ ἕνας τρόπος μᾶς δημιουργεῖ ἑκούσιες ἡδονές, ἐνῶ ὁ ἄλλος μᾶς φέρνει ἀκούσιες ὀδύνες. Ὁ σύμφωνος δηλαδὴ μὲ τὴ γνώμη μας πειρασμὸς προκαλεῖ τὶς ἑκούσιες καὶ σύμφωνες μὲ τὴν προαίρεσή μας ἡδονές, ἐνῶ ὁ χωρὶς τὴ θέλησή μας πειρασμὸς μᾶς φέρνει ὁλοφάνερα τοὺς ἀκούσιους καὶ ἔξω ἀπὸ τὴν προαίρεσή μας πόνους. Κι ὁ ἕνας εἶναι ὁ αἴτιος τῆς ψυχικῆς λύπης, ἐνῶ ὁ ἄλλος προκαλεῖ τὴ λύπη τῆς αἴσθησης.

Γι' αὐτό, νομίζω, ὁ Κύριος καὶ Θεός μας διδάσκοντας τοὺς μαθητές του, πῶς πρέπει νὰ προσεύχονται, τοὺς συνιστᾶ νὰ παρακαλοῦν νὰ μὴν τοὺς ἔρχονται οἱ σύμφωνοι μὲ τὴ γνώμη πειρασμοὶ λέγοντας «καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν»[2]. Δίδασκε δηλαδὴ τοὺς μαθητές του, νὰ μὴν τοὺς ἀφήσει νὰ δοκιμάσουν τοὺς ἡδονικούς, δηλαδὴ τοὺς σύμφωνους μὲ τὴ γνώμη τους ἑκούσιους πειρασμούς. Κι ὁ μέγας Ἰάκωβος, ὁ λεγόμενος ἀδελφὸς τοῦ Κυρίου, διδάσκοντας νὰ μὴ δειλιάζουν μπροστὰ στοὺς ἀκούσιους πειρασμοὺς ὅσοι ἀγωνίζονται γιὰ τὴν ἀλήθεια, συμβουλεύει· «θεωρῆστε μεγάλη χαρά, ἀδελφοί μου, ὅταν πέσετε σὲ διάφορους πειρασμούς»[3], δηλαδὴ τοὺς ἀκούσιους καὶ ἀνεξάρτητους ἀπὸ τὴ γνώμη σας πειρασμοὺς ποὺ προκαλοῦν πόνους. Καὶ τὸ δηλώνουν καὶ οἱ δύο μὲ σαφήνεια, στὴν πρώτη περίπτωση προσθέτοντας ὁ Κύριος «ἀλλὰ ρῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ», κι ἐδῶ ὁ μέγας Ἰάκωβος, «γνωρίζοντας ὅτι ἡ δοκιμασία τῆς πίστης σας σφυρηλατεῖ τὴν ὑπομονή. Καὶ ἡ ὑπομονή σας ἂς δώσει τέλειους καρπούς, γιὰ νὰ γίνετε τέλειοι καὶ ὁλοκληρωμένοι καὶ νὰ μὴν ὑστερεῖτε σὲ τίποτε»[4]. Τέλειος εἶναι ὅποιος μὲ ὅπλο τὴν ἐγκράτεια μάχεται τοὺς ἑκούσιους πειρασμοὺς καὶ στοὺς ἀκούσιους δείχνει καρτερία καὶ ὑπομονή, καὶ

2. Ματθ. 6,13. 3. Ἰακ. 1,2. 4. Ἰακ. 3,4.

ἐστιν, ὁ καὶ τὴν πρᾶξιν μετὰ γνώσεως καὶ τὴν θεωρίαν οὐκ ἄπρακτον διανύων.

Διῃρημένης γὰρ εἰς ψυχήν τε καὶ αἴσθησιν τῆς τε λύπης καὶ τῆς ἡδονῆς, ὁ τὴν τῆς ψυχῆς περιποιούμενος ἡδονήν, τὴν δὲ τῆς αἰσθήσεως καταδεχόμενος λύπην, δόκιμος γίνεται καὶ τέλειος καὶ ὁλόκληρος. Δόκιμος μέν, διὰ τὴν πεῖραν τῶν κατ' αἴσθησιν ἐναντίων· τέλειος δέ, ὡς τῇ κατ' αἴσθησιν ἡδονῇ τε καὶ λύπῃ δι' ἐγκρατείας καὶ ὑπομονῆς ἀνενδότως μαχόμενος· ὁλόκληρος δέ, ὡς τὰς μαχομένας ταῖς κατ' αἴσθησιν ἀλλήλαις ἀντικειμέναις διαθέσεσιν ἕξεις ἐν τῇ σταθερότητι τῆς κατὰ τὸν λόγον ταυτότητος ἀλωβήτους διαφυλάττων· φημὶ δὲ τὴν πρᾶξιν καὶ τὴν θεωρίαν ἀλλήλαις συνεχομένας καὶ μηδεμίαν τῆς ἑτέρας διεζευγμένην, ἀλλὰ τὴν μὲν πρᾶξιν τῆς θεωρίας τὴν γνῶσιν διὰ τῶν τρόπων προφαίνουσαν, τὴν δὲ θεωρίαν οὐχ ἧττον τοῦ λόγου τὴν ἀρετὴν τεθωρακισμένην τῆς πράξεως.

Οὐκοῦν, ἐπειδὴ τήν τε λύπην καὶ τὴν ἡδονὴν διττὴν οὖσαν ἀπέδειξεν ὁ λόγος, καὶ τὴν μὲν κατὰ ψυχήν, τὴν δὲ κατ' αἴσθησιν συνισταμένην, φέρε καὶ τὰς τούτων συνοπτικώτερον θεωρήσωμεν αἰτίας. Τῆς μὲν οὖν κατὰ ψυχῆς λύπης διττὸς ὁ τρόπος. Ὁ μὲν ἐπὶ τοῖς οἰκείοις, ὁ δὲ ἐπὶ τοῖς ἀλλοτρίοις πλημμελήμασι συνιστάμενος. Αἰτία δὲ τῆς τοιαύτης λύπης ἡ κατ' αἴσθησιν τοῦ λυπουμένου σαφῶς, ἢ τῶν δι' οὓς λυπεῖται, καθέστηκεν ἡδονή. Κατὰ γὰρ τὸν ἀκριβῆ λόγον, οὐκ ἔστι παντελῶς ἁμαρτία σχεδὸν ἐν ἀνθρώποις, μὴ τὴν ψυχῆς πρὸς αἴσθησιν ἡδονῆς ἕνεκεν ἀλόγιστον σχέσιν ἀρχὴν τῆς οἰκείας γενέσεως ἔχουσαν. Τῆς δὲ κατὰ ψυχὴν ἡδονῆς αἰτία προδήλως ἐστίν, ἡ κατ' αἴσθησιν τοῦ ἐπὶ ταῖς οἰκείαις ἢ ταῖς ἀλλοτρίαις ἀρεταῖς ἡδομένου τε καὶ χαίροντος λύπη· κατὰ γὰρ τὸν ἀκριβῆ λόγον οὐκ ἔστι παντελῶς ἀρετὴ σχεδὸν ἐν ἀνθρώποις, μὴ τὴν ψυχῆς πρὸς αἴσθησιν λελογισμένην ἀποδιάθεσιν ἀρχὴν τῆς οἰκείας γενέσεως ἔχουσα.

ὁλοκληρωμένος εἶναι ὅποιος ἐκτελεῖ καὶ τὴν πράξη μὲ γνώση καὶ τὴ θεωρία ὄχι χωρὶς ἔργα.

Εἶναι μοιρασμένη λοιπὸν στὴν ψυχὴ καὶ τὴν αἴσθηση ἡ λύπη καὶ ἡ ἡδονή. Ὅποιος καλλιεργεῖ τὴν ἡδονὴ τῆς ψυχῆς καὶ ὑπομένει τὴ λύπη τῆς αἴσθησής γίνεται δόκιμος καὶ τέλειος καὶ ὁλοκληρωμένος. Δόκιμος, ἐπειδὴ ἔχει τὴν ἐμπειρία ὅσων πολεμοῦν τὴν αἴσθηση, τέλειος, γιατὶ μάχεται ἀνυποχώρητα τὴν ἡδονὴ καὶ τὴ λύπη τῆς αἴσθησης μὲ τὴν ἐγκράτεια καὶ τὴν ὑπομονή, καὶ ὁλοκληρωμένος, ἐπειδὴ διαφυλάγει ἀλώβητες στὴ σταθερότητα τῆς λογικῆς τους ταυτότητας τὶς ἕξεις ποὺ πολεμοῦν τὶς ἀλληλομαχοῦσες μεταξύ τους διαθέσεις τῶν αἰσθήσεων. Ἐννοῶ μ' αὐτὰ τὴν πράξη καὶ τὴ θεωρία ποὺ συνάπτονται ἡ μία μὲ τὴν ἄλλη καὶ ποὺ καμμιὰ δὲ χωρίζεται ἀπὸ τὴν ἄλλη. Ἀλλὰ ἡ πράξη μὲ τὶς ἐκδηλώσεις της φανερώνει τὴ γνώση τῆς θεωρίας, καὶ ἡ θεωρία καθόλου λιγότερο ἀπὸ ὅ,τι ὁ λόγος, φανερώνει ἐξασφαλισμένη τὴν ἀρετὴ τῆς πράξης.

Ἐπειδὴ λοιπὸν ὁ λόγος ἔδειξε ὅτι ἡ λύπη καὶ ἡ ἡδονὴ εἶναι ἡ καθεμιὰ διπλή, ἡδονὴ καὶ λύπη ψυχικὴ ἀπὸ τὴ μιά, καὶ ἀπὸ τὴν ἄλλη ἡδονὴ καὶ λύπη ποὺ ἐκδηλώνονται στὴν αἴσθηση, ἐμπρὸς ἂς ἐξετάσομε συνοπτικὰ καὶ τὶς αἰτίες τους. Ἡ ψυχικὴ λοιπὸν λύπη ἐκδηλώνεται μὲ δύο τρόπους· ὁ ἕνας τρόπος ἔχει σχέση μὲ τὰ δικά μας καὶ ὁ ἄλλος μὲ τὰ ξένα πλημμελήματα. Αἰτία τῆς λύπης αὐτῆς εἶναι σαφῶς ἡ ἡδονὴ τῶν αἰσθήσεων ἐκείνου ποὺ λυπᾶται ἢ ἐκείνων ποὺ γιὰ χάρη τους λυπᾶται. Γιὰ νὰ μιλήσω μὲ ἀκρίβεια, δὲν ὑπάρχει ὁλότελα σχεδὸν ἁμαρτία στοὺς ἀνθρώπους, ποὺ δὲν ἔχει ὡς ἀρχὴ τῆς γένεσής της τὴν ἀλόγιστη σχέση τῆς ψυχῆς μὲ τὴν αἴσθηση γιὰ χάρη τῆς ἡδονῆς. Ἐνῶ αἰτία τῆς ψυχικῆς ἡδονῆς εἶναι ὁλοφάνερα ἡ λύπη τῆς αἴσθησης ἐκείνου ποὺ εὐχαριστεῖται καὶ χαίρεται γιὰ δικές του ἢ γιὰ τὶς ἀρετὲς τῶν ἄλλων. Γιὰ νὰ μιλήσομε μὲ ἀκρίβεια, δὲν ὑπάρχει ὁλότελα σχεδὸν ἀρετὴ στοὺς ἀνθρώπους, ποὺ δὲν ἔχει ἀρχὴ τῆς δημιουργίας της τὴ συνειδητὴ ἀποστροφὴ τῆς ψυχῆς πρὸς τὴν αἴσθηση.

Τῆς δὲ ψυχῆς ὑπὲρ ἀρετῆς πρὸς τὴν αἴσθησιν ἀποδιάθεσιν κτησαμένης, ἐξ ἀνάγκης ἡ αἴσθησις ἐν πόνοις ἔσται, τὴν τῶν ἡδέων ἐπινοητικὴν συνημμένην αὐτῇ κατὰ τὴν γνωμικὴν σχέσιν τῆς ψυχῆς οὐκ ἔχουσα δύναμιν· τοὐναντίον δέ, τῶν μὲν αὐτῆς φυσικῶν ἡδονῶν ἐπανάστασιν δι' ἐγκρατείας ἀνδρικῶς ἀπορραπίζουσαν, πρὸς δὲ τὴν τῶν παρὰ φύσιν καὶ ἀκουσίων πόνων ἐπαγωγὴν διὰ τῆς ὑπομονῆς ἀμείλικτον παντελῶς διαμένουσαν, καὶ τῆς κατ' ἀρετὴν θεοπρεποῦς ἀξίας τε καὶ δόξης διὰ τὴν ἀνυπόστατον ἡδονὴν οὐκ ἐξισταμένην καὶ πρὸς τὴν τῶν πόνων ἀντίληψιν φειδοῖ τῆς σαρκὸς διὰ τὴν ὀδύνουσαν αἴσθησιν τοῦ ὕψους τῶν ἀρετῶν οὐκ ἀποπίπτουσαν. Τῆς δὲ κατ' αἴσθησιν λύπης αἰτία καθέστηκεν ἡ πρὸς τὰ κατὰ φύσιν τῆς ψυχῆς παντελὴς ἀσχολία. Τὴν κατ' αἴσθησιν ἡδονὴν ἡ παρὰ φύσιν ἐνέργεια τῆς ψυχῆς προδήλως ὑφίστησιν, ἄλλην ἀρχὴν ἔχειν οὐ δυναμένην συστάσεως, ἢ τῆς ψυχῆς τῶν κατὰ φύσιν ἀπόθεσιν.

Νοῦς γὰρ καὶ αἴσθησις ἀντικειμένην ἔχουσι πρὸς ἄλληλα τὴν κατὰ φύσιν ἐνέργειαν, διὰ τὴν τῶν αὐτοῖς ὑποκειμένων ἀκροτάτην διαφορὰν καὶ ἑτερότητα. Ὁ μὲν γὰρ ὑποκειμένας ἔχει τὰς νοητὰς καὶ ἀσωμάτους οὐσίας, ὧν κατ' οὐσίαν ἀντιλαμβάνεσθαι πέφυκεν, ἡ δὲ τὰς αἰσθητὰς καὶ σωματικὰς φύσεις, ὧν καὶ αὐτὴ φυσικῶς ἀντιλαμβάνεται.

Ἐπεὶ οὖν οὐκ ἔστι δυνατὸν πρὸς τὰ συγγενῆ νοητὰ νοῦν διαβῆναι δίχα τῆς τῶν διὰ μέσου προβεβλημένων αἰσθητῶν θεωρίας, ταύτην δὲ γεννᾶσθαι παντελῶς ἀμήχανον χωρὶς τῆς αὐτῷ μὲν συγκειμένης, τοῖς αἰσθητοῖς δὲ κατὰ φύσιν συγγενοῦς αἰσθήσεως, εἰκότως, εἰ μὲν προσβαλὼν ἐνσχεθῇ ταῖς ἐπιφανείαις τῶν ὁρατῶν ἐνέργειαν εἶναι φυσικὴν τὴν συγκειμένην οἰόμενος αἴσθησιν, τῶν μὲν κατὰ φύσιν ἐκπέπτωκε νοητῶν, τῶν δὲ παρὰ φύσιν ἀμφοῖν ταῖν χεροῖν, τὸ δὴ λεγόμενον, ἐπελάβετο σωμάτων· οἷς παρὰ τὸν λόγον ἐνεργούμενος, διὰ τὴν αὐτὸν ἐκνικήσασαν αἴσθησιν, τῆς μὲν κατὰ ψυχὴν λύπης γεννή-

Ἐφόσον λοιπὸν ἡ ψυχὴ ἀπέκτησε τὴν ἀποστροφὴ πρὸς τὴν αἴσθηση γιὰ χάρη τῆς ἀρετῆς, κατ' ἀνάγκη ἡ αἴσθηση θὰ ἀντιμετωπίσει πόνους, ἐπειδὴ δὲν ἔχει δεμένη μαζί της κατὰ τὴ γνωμικὴ σχέση τὴν ἱκανότητα τῆς ψυχῆς ποὺ ἐπινοεῖ τὰ ἡδονικά. Τὸ ἀντίθετο μᾶλλον· ἀπὸ τὴ μιὰ ἀποκρούει ἀνδρικὰ μὲ τὴν ἐγκράτεια τὴν ἐξέγερση τῶν φυσικῶν ἡδονῶν, καὶ ἀπὸ τὴν ἄλλη παραμένει ἀνένδοτη ὁλότελα μὲ τὴν ὑπομονὴ στὴν καταφορὰ τῶν παραφύση καὶ ἀκούσιων πόνων χωρὶς νὰ ἐγκαταλείπει γιὰ τὴν ἀνυπόστατη ἡδονὴ τὴ θεία ἀξία καὶ δόξα τῆς ἀρετῆς καὶ χωρὶς νὰ γλιστροῦν ἀπὸ τὸ ὕψος τῶν ἀρετῶν στὴν ἐξουσία τῶν πόνων ἀπὸ εὔνοια στὴ σάρκα γιὰ τὸ βασανισμὸ τῆς αἰσθήσης. Τῆς λύπης τῆς αἴσθησης αἰτία εἶναι ἡ παντελὴς ἀπασχόληση τῆς ψυχῆς μὲ τὰ φυσικά. Εἶναι πρόδηλο ὅτι τὴν κατ' αἴσθηση ἡδονὴ τὴν προκαλεῖ ἡ παραφύση ἐνέργεια τῆς ψυχῆς, καὶ δὲν μπορεῖ νὰ ἔχει ἄλλες ἀρχὲς ὕπαρξης ἀπὸ τὴν ἀπόρριψη τῶν φυσικῶν ἀπὸ τὴν ψυχή.

Ὁ νοῦς δηλαδὴ καὶ ἡ αἴσθηση ἔχουν ἀντίθετη τὴ φυσικὴ ἐνέργεια μεταξύ τους, ἐπειδὴ ὅσα ὑπόκεινται σ' αὐτὰ ἔχουν ριζικὴ διαφορὰ καὶ ἑτερότητα μεταξύ τους. Γιατὶ ὑποκείμενες στὸ νοῦ εἶναι οἱ νοητὲς καὶ ἀσώματες οὐσίες ποὺ τὶς ἀντιλαμβάνεται κατὰ τὴ φύση τῆς οὐσίας του, ἐνῶ ἡ αἴσθηση ἔχει ὑποκείμενές της τὶς αἰσθητὲς καὶ σωματικὲς φύσεις, ποὺ κι αὐτὴ τὶς ἀντιλαμβάνεται φυσικῶς.

Ἐπειδὴ λοιπὸν δὲν εἶναι δυνατὸ ὁ νοῦς νὰ περάσει πρὸς τὰ συγγενή του νοητὰ χωρὶς τὴ θεωρία τῶν παρεμβαλλόμενων αἰσθητῶν, καὶ τὸ νὰ γίνει αὐτὸ εἶναι τελείως ἀδύνατο χωρὶς τὴ συναρτημένη μαζί του αἴσθηση καὶ τὴ συγγενικὴ κατὰ φύση μὲ τὰ αἰσθητά, κατὰ φυσικὸ λόγο, ἂν νοώντας συλληφθεῖ ἀπὸ τὶς ἐπιφάνειες τῶν ὁρατῶν νομίζοντας ὅτι ἡ συνδεμένη μαζί του αἴσθηση εἶναι ἐνέργεια φυσική, θὰ ἐκπέσει ἀπὸ ὅσα ἔχουν φύση νοερή, ἐνῶ θὰ ἁρπάξει μὲ τὰ δυὸ χέρια, ὅπως λέμε, τὰ παρὰ φύση σώματα. Δεχόμενος λοιπὸν τὴν ἐπίδραση τῶν σωμάτων παράλογα, ἐξαιτίας τῆς αἴσθησης ποὺ τὸν νίκησε, γί-

τωρ καθίσταται, συχναῖς ταῖς κατὰ συνείδησιν μάστιξιν αἰκιζομένην, τῆς δὲ κατ' αἴσθησιν ἡδονῆς ἀριδήλως γίνεται ποιητής, ταῖς ἐπινοίαις τῶν περιποιητικῶν τῆς σαρκὸς τρόπων λιπαινόμενος. Εἰ δὲ τὴν πρὸς αἴσθησιν ἅμα τῇ προσβολῇ τῶν ὁρωμένων διατεμὼν ἐπιφάνειαν, τοὺς πνευματικοὺς τῶν ὄντων καθαροὺς τῶν ἐπ' αὐτοῖς σχημάτων θεάσηται λόγους τὴν μὲν τῆς ψυχῆς ἡδονὴν κατειργάσατο, μηδενὶ τῶν αἰσθήσει θεωρουμένων κρατούμενος, τὴν δὲ τῆς αἰσθήσεως συνεστήσατο λύπην, πάντων κατὰ φύσιν τῶν αἰσθητῶν ἐστερημένος. Ἔνθα γὰρ προκαθηγεῖται ὁ λόγος τῆς αἰσθήσεως κατὰ τὴν τῶν ὁρατῶν θεωρίαν, πάσης ἐστέρηται τῆς κατὰ φύσιν ἡ σὰρξ ἡδονῆς, οὐκ ἔχουσα τὴν αἴσθησιν ἄφετον καὶ τῶν λογικῶν ἀπολελυμένην δεσμῶν, εἰς ὑπηρεσίαν τῶν κατ' αὐτὴν ἡδονῶν.

Οὐκοῦν, ὡς ἔφην, ἐπειδὴ τὴν μὲν τῆς ψυχῆς λύπην, ἤγουν τὸν πόνον (ταὐτὸν γὰρ ἀλλήλοις ἀμφότερα), ἡ κατ' αἴσθησιν ἡδονὴ συνίστησι, τὴν δὲ τῆς αἰσθήσεως λύπην, ἤγουν τὸν πόνον, ἡ κατὰ ψυχὴν ἡδονὴ ποιεῖν πέφυκεν, εἰκότως ὁ τῆς κατ' ἐλπίδα ζωῆς «τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δι' ἀναστάσεως νεκρῶν εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς» ἐφιέμενος, κατὰ μὲν ψυχὴν ἀγαλλίασιν ἔχει καὶ χαρὰν χαίρει ἀνεκλάλητον, διηνεκῶς τῇ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι γαννύμενος, κατὰ δὲ τὴν σάρκα καὶ τὴν αἴσθησιν λύπην. Ἤγουν τοὺς ἐκ τῶν ποικίλων πειρασμῶν ἐπιγινομένους αὐτῇ πόνους καὶ τὰς ἐπ' αὐτοῖς ὀδύνας· πάσῃ γὰρ ἀρετῇ ἡδονὴ καὶ πόνος παρέπεται· πόνος μὲν σαρκός, ἐστερημένης τῆς προσηνοῦς καὶ λειοτέρας αἰσθήσεως, ὀδύνη δὲ ψυχῆς, παντὸς αἰσθητοῦ καθαροῖς ἐντρυφώσης τοῖς ἐν πνεύματι λόγοις.

Δέον οὖν ἐστι τὸν νοῦν κατὰ τὴν παροῦσαν ζωὴν (τοῦτο

νεται γεννήτορας τῆς λύπης τῆς ψυχῆς ποὺ τὴν ξεσκίζουν τ' ἀλλεπάλληλα χτυπήματα τῆς συνείδησης, καὶ δημιουργεῖ ὁλοφάνερα τὴν ἡδονὴ τῆς αἴσθησης, τροφοδοτημένος ἀπὸ τὶς ἐπινοήσεις τῶν τρόπων ποὺ κολακεύουν τὴ σάρκα. Ἂν ὅμως ταυτόχρονα μὲ τὴν προσέγγιση τῶν ὁρατῶν διασχίζοντας τὴν αἰσθητὴ ἐπιφάνεια θεαστεῖ καθαρὸς πάνω σ' αὐτὰ τοὺς πνευματικοὺς λόγους τῶν ὄντων, τότε ἔχει δημιουργήσει ἀπὸ τὴ μιὰ τὴν ἡδονὴ τῆς ψυχῆς χωρὶς νὰ κρατιέται ἀπὸ κανένα ἀντιληπτὸ ἀπὸ τὶς αἰσθήσεις, καὶ ἀπὸ τὴν ἄλλη προκάλεσε τὴ λύπη τῆς αἴσθησης, ἀφοῦ ἔχει στερηθεῖ κάθε κατὰ φύση αἰσθητό. Γιατί, ὅπου ὁ λόγος προηγεῖται ἀπὸ τὴν αἴσθηση κατὰ τὴ θεωρία τῶν ὁρατῶν, ἡ σάρκα στερεῖται κάθε φυσικὴ ἡδονή, ἐπειδὴ δὲν ἀφήνει ἀδέσποτη τὴν αἴσθηση, ἐλεύθερη ἀπὸ τὰ λογικὰ δεσμὰ νὰ ὑπηρετεῖ τὶς οἰκεῖες ἡδονές.

Ἑπομένως, ὅπως εἶπα, ἐπειδὴ τὴ λύπη τῆς ψυχῆς, δηλαδὴ τὸν πόνο (εἶναι καὶ τὰ δύο τὸ αὐτὸ μεταξύ τους), τὸν δημιουργεῖ ἡ αἰσθησιακὴ ἡδονή, ἐνῶ τὴ λύπη τῆς αἴσθησης, δηλαδὴ τὸν πόνο, τὸν δημιουργεῖ ἀπὸ τὴ φύση της ἡ ψυχικὴ ἡδονή, εἶναι εὔλογο ὅποιος ἐπιθυμεῖ «τὴ ζωὴ ποὺ διατηροῦμε στὶς ἐλπίδες μας τοῦ Θεοῦ καὶ Σωτήρα μας Ἰησοῦ Χριστοῦ μὲ τὴν ἀνάσταση τῶν νεκρῶν γιὰ νὰ κληρονομήσομε τὴν κληρονομία ποὺ μᾶς φυλάγεται ἄφθαρτη κι ἀβεβήλωτη κι ἀμάραντη στοὺς οὐρανούς»[5], ἔχει στὴν ψυχή του βέβαια ἀγαλλίαση καὶ χαρὰ ἀνεκλάλητη καθὼς λαμπρύνεται ἀδιάκοπα μὲ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν, ἐνῶ ἡ αἴσθηση καὶ ἡ σάρκα του αἰσθάνονται λύπη, δηλαδὴ τοὺς πόνους ποὺ τῆς προκαλοῦν οἱ ποικίλοι πειρασμοὶ καὶ τὶς ὀδύνες· γιατὶ σὲ κάθε ἀρετὴ ἀκολουθεῖ ἡ ἡδονὴ καὶ ὁ πόνος· πόνος τῆς σάρκας ποὺ εἶναι στερημένη ἀπὸ τὴν ἤπια καὶ μαλακότερη αἴσθηση, καὶ ὀδύνη τῆς ψυχῆς ποὺ ἐντρυφᾶ στοὺς καθαροὺς ἀπὸ κάθε αἰσθητὸ πνευματικοὺς λόγους.

Εἶναι λοιπὸν πρέπον ὁ νοῦς κατὰ τὴν παροῦσα ζωὴ (γιατὶ

5. Α' Πέτρ. 1,3.

γάρ μοι νοεῖται τό, «νῦν») κατὰ σάρκα λυπούμενον, διὰ τοὺς πολλοὺς πόνους τῶν ὑπὲρ αὐτῷ προσαγομένων πειρασμῶν, ἀεὶ χαίρειν κατὰ ψυχὴν καὶ ἥδεσθαι, διὰ τὴν ἐλπίδα τῶν αἰωνίων ἀγαθῶν, κἂν ἔχῃ καταπονουμένην τὴν αἴσθησιν· «οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν εἰς ἡμᾶς ἀποκαλυπτεσθαι», φησὶν ὁ θεῖος Ἀπόστολος.

Οὕτως οὖν, κατ' ἐμὲ φάναι, δύναται χαίρειν ἄνθρωπος ἐφ' ᾧ λυπεῖται. Τῇ γὰρ ἀρετῇ κατὰ σάρκα μὲν διὰ τοὺς πόνους λυπούμενος, ἐν αὐτῇ χαίρει τῇ ἀρετῇ κατὰ ψυχήν, ὡς παροῦσαν θεώμενος τὴν τῶν μελλόντων εὐπρέπειαν, ὑπὲρ ἧς, κατὰ τὸν μέγαν Δαβίδ, τῇ κατὰ γνώμην ἀπογενέσει τῆς σαρκὸς καθ' ἑκάστην ἀποθνήσκει τὴν ἡμέραν, ὁ κατὰ τὴν ψυχῆς ἐν πνεύματι γένεσιν ἀεὶ καινιζόμενος· ἅτε δὴ καὶ τὴν ἡδονὴν ἔχων σωτήριον, καὶ τὴν λύπην ὠφέλιμον. Λύπην γάρ φαμεν οὐ τὴν παράλογον καὶ τῶν πολλῶν, ἐπὶ στερήσει παθῶν ἢ πραγμάτων ὑλικῶν τὴν ψυχὴν ἀφανίζουσαν, ὡς τὰς ὁρμὰς παρὰ φύσιν ἐφ' ἃ μὴ δεῖ, καὶ τὰς ἀποφυγὰς ἀφ' ὧν μὴ δεῖ ποιουμένων, ἀλλὰ τὴν λελογισμένην καὶ τοῖς τὰ θεῖα σοφοῖς ἐγκριθεῖσαν καὶ τὸ παρὸν κακὸν ὑποσημαίνουσαν. Παρὸν γὰρ κακὸν φασὶν εἶναι τὴν λύπην, συνισταμένην μὲν κατὰ ψυχήν, ὅταν ἡ κατ' αἴσθησιν ἡδονὴ τῆς λογικῆς κρατῇ διακρίσεως, ὑφισταμένην δὲ κατ' αἴσθησιν, ὅταν τῆς ψυχῆς κατ' ἀρετὴν ἀκωλύτως ὁ δρόμος ἀνύεται, τοσοῦτον ἐπάγων τῇ αἰσθήσει τοὺς πόνους, ὅσον ἡδονὴ ἐμποιεῖ καὶ χαρὰν τῇ ψυχῇ τῷ Θεῷ προσαγομένῃ, διὰ τῆς συγγενοῦς κατ' ἀρετήν τε καὶ γνῶσιν ἐλλάμψεως.

ΣΧΟΛΙΑ

1 *Τὴν κατὰ ψυχὴν λύπην φησί.*

ἔτσι ἐγὼ ἐννοῶ τὸ 'νῦν'), κατὰ τὴν ὁποία λυπᾶται κατὰ σάρκα, ἐξαιτίας τῶν πολλῶν πόνων ποὺ γιὰ χάρη τῆς ἀρετῆς δοκιμάζει ἀπὸ τοὺς πειρασμούς, πάντοτε νὰ εἶναι χαρούμενος καὶ νὰ εὐχαριστεῖται ψυχικὰ μὲ τὴν ἐλπίδα τῶν αἰώνιων ἀγαθῶν, ἀκόμα κι ἂν εἶναι ἡ αἴσθησή του καταπονημένη· «γιατὶ λέει ὁ θεῖος Ἀπόστολος, «τὰ παθήματα τοῦ τωρινοῦ καιροῦ δὲν ἔχουν καμμιὰ ἀξία μπροστὰ στὴ δόξα ποὺ πρόκειται νὰ μᾶς ἀποκαλυφθεῖ»[6].

Ἔτσι λοιπόν, κατὰ τὴ γνώμη μου, μπορεῖ νὰ χαίρεται ὁ ἄνθρωπος γιὰ κάτι ποὺ λυπᾶται. Νιώθοντας δηλαδὴ στὴ σάρκα λύπη ἐξαιτίας τῶν πόνων τῆς ἀρετῆς, χαίρεται ἡ ψυχή του γιὰ τὴν ἴδια τὴν ἀρετή, βλέποντας σὰ νά 'ναι μπροστά του τὴν ὀμορφιὰ τῶν μελλοντικῶν, γιὰ τὴν ὁποία, κατὰ τὸν μεγάλο Δαβίδ[7], μὲ τὴν ἑκούσια ἀπάρνηση τῆς σάρκας πεθαίνει καθημερινά, ὅποιος πάντοτε ἀνακαινίζεται μὲ τὴν πνευματικὴ γέννηση τῆς ψυχῆς. Κι αὐτά, γιατὶ καὶ ἡ ἡδονὴ εἶναι σωτήρια καὶ ἡ λύπη ὠφέλιμη. Δὲν ἐννοῶ τὴ λύπη τὴν παράλογη ἢ τῶν πολλῶν, ποὺ ἀφανίζει τὴν ψυχὴ ἐξαιτίας τῆς στέρησης παθῶν ἢ ὑλικῶν πραγμάτων, ποὺ σπρώχνουν τὶς ὁρμὲς τοῦ ἀνθρώπου παραφύση σὲ πράγματα ποὺ δὲν πρέπει καὶ τὸν ἐμποδίζουν ἀπὸ αὐτὰ ποὺ πρέπει, ἀλλ' ἐννοῶ τὴ λύπη τὴ λογικὴ ποὺ ἐπιδοκίμασαν οἱ σοφοὶ στὰ θεῖα καὶ ποὺ ὑποδηλώνει τὸ κακὸ ποὺ εἶναι παρόν. Γιατὶ παρὸν κακὸ λένε πὼς εἶναι ἡ λύπη, ποὺ ἐκδηλώνεται στὴν ψυχή, ὅταν ἡ αἰσθησιακὴ ἡδονὴ ἐπικρατεῖ καὶ καλύπτει τὴ λογικὴ διάκριση· ἐνῶ ἐκδηλώνεται αὐτὴ στὴν αἴσθηση, ὅταν ἡ ψυχὴ διανύει ἀνεμπόδιστη τὸ δρόμο τῆς ἀρετῆς, προκαλώντας τόσους πόνους στὴν αἴσθηση, ὅση ἡδονὴ καὶ χαρὰ κάνει νὰ νιώσει ἡ ψυχὴ ποὺ προσέρχεται στὸ Θεὸ μὲ τὴ συγγενὴ ἔλλαμψη τῆς ἀρετῆς καὶ τῆς γνώσης.

ΣΧΟΛΙΑ

1. Ἐννοεῖ τὴν ψυχικὴ λύπη.

6. Ρωμ. 8,18. 7. Ψαλμ. 53,22. Α΄ Κορ. 15,31.

2 Τὴν κατ' αἴσθησιν ὀδύνην, λύπην νῦν προσηγόρευσε.

3 Τὴν κατὰ ψυχὴν λύπην τέλος εἶναί φησι τῆς κατ' αἴσθησιν ἡδονῆς· ἐκ γὰρ ταύτης συνίσταται λύπη ψυχῆς· ὥσπερ οὖν καὶ τῆς κατὰ ψυχὴν ἡδονῆς τέλος ἐστὶν ἡ κατὰ σάρκα λύπη· ψυχῆς γὰρ εὐφροσύνη, σαρκὸς γίνεται λύπη.

4 Ὁρισμοὶ λύπης ἐπάλληλοι πρὸς τὴν αἰτίαν, καθ' ἣν γίνεσθαι πέφυκεν, ἀναφέροντες.

5 Διττὴν τὴν λύπην λέγει· τὴν μὲν περὶ τὴν αἴσθησιν, κατὰ στέρησιν τῶν σωματικῶν ἡδονῶν συνισταμένην, τὴν δὲ περὶ νοῦν, κατὰ στέρησιν τῶν τῆς ψυχῆς ἀγαθῶν γινομένην. Διττοὺς δὲ λέγει καὶ τοὺς πειρασμούς, τοὺς μὲν ἑκουσίους, τοὺς δὲ ἀκουσίους· καὶ τοὺς μὲν ἑκουσίους τῆς μὲν κατ' αἴσθησιν σωματικῆς ἡδονῆς εἶναι πατέρας, τῆς δὲ κατὰ ψυχὴν λύπης εἶναι γεννήτορας. Μόνη γὰρ πραχθεῖσα λυπεῖ τὴν ψυχὴν ἁμαρτία. Τοὺς δὲ ἀκουσίους, οἵτινες ἐν τοῖς παρὰ γνώμην δείκνυνται πόνοις, τῆς μὲν κατὰ ψυχὴν ἡδονῆς εἶναι πατέρας, τῆς δὲ κατ' αἴσθησιν σωματικῆς ὀδύνης εἶναι γεννήτορας.

6 Ὁ μὲν κατὰ γνώμην πειρασμός, φησί, τὴν μὲν κατὰ ψυχὴν λύπην συνίστησι, τὴν δὲ κατ' αἴσθησιν δημιουργεῖ σαφῶς ἡδονήν· ὁ δὲ παρὰ γνώμην, τὴν μὲν τῆς ψυχῆς ἡδονήν, τὴν δὲ τῆς σαρκὸς λύπην ὑφίστησι.

7 Ὁ μὲν Κύριος, φησί, τοὺς ἑκουσίους ἀπεύχεσθαι ἡμᾶς διδάσκει πειρασμούς, ὡς σαρκὸς μὲν ἡδονῆς, ψυχῆς δὲ ποιητικοὺς ὀδύνης· ὁ δὲ μέγας Ἰάκωβος ἐπὶ τοῖς ἀκουσίοις ἡμῖν παραινεῖ χαίρειν πειρασμοῖς, ὡς σαρκὸς μὲν ἡδονήν, ψυχῆς δὲ ὀδύνην ἀφαιρουμένους.

8 Τίνα λέγει τέλειον.

9 Τίνα λέγει ὁλόκληρον.

10 Ὁ λύπης καὶ ἡδονῆς σαρκὸς πεῖραν λαβών, λέγοιτ' ἂν δόκιμος, ὡς εὐχερείας καὶ δυσχερείας τῶν περὶ σάρκα πρα-

2. Τὴν ὀδύνη τῶν αἰσθήσεων τὴν ἀποκάλεσε τώρα λύπη.
3. Ἡ ψυχικὴ λύπη λέει πὼς εἶναι κατάληξη τῆς αἰσθησιακῆς ἡδονῆς. Γιατὶ ἀπὸ αὐτὴν γίνεται ἡ ψυχικὴ λύπη. Ὅπως βέβαια καὶ τῆς ψυχικῆς ἡδονῆς κατάληξη εἶναι ἡ λύπη τῆς σάρκας. Ἡ εὐφροσύνη δηλαδὴ τῆς ψυχῆς γίνεται λύπη τῆς σάρκας.
4. Ἀλλεπάλληλοι ὁρισμοὶ τῆς λύπης ποὺ τὴν ἀνάγουν στὴν αἰτία ποὺ εἶναι φυσικὸ νὰ τὶς δημιουργεῖ.
5. Ἡ λύπη λέει ὅτι εἶναι διπλή· ἡ μία ἐκδηλώνεται στὶς αἰσθήσεις καὶ δημιουργεῖται ἀπὸ τὴ στέρηση τῶν σωματικῶν ἡδονῶν· ἡ ἄλλη σχετίζεται μὲ τὸ νοῦ καὶ γίνεται ἀπὸ τὴ στέρηση τῶν φυσικῶν ἀγαθῶν. Ἀλλὰ καὶ οἱ πειρασμοὶ λέει ὅτι εἶναι δύο εἰδῶν. Οἱ ἑκούσιοι καὶ οἱ ἀκούσιοι. Οἱ ἑκούσιοι εἶναι πατέρες τῆς αἰσθησιακῆς σωματικῆς ἡδονῆς, καὶ γεννήτορες τῆς ψυχικῆς λύπης. Γιατὶ μόνο ἡ ἁμαρτία προκαλεῖ λύπη στὴν ψυχή. Οἱ ἀκούσιοι, ποὺ ἐκδηλώνονται στοὺς πέρα ἀπὸ τὴ γνώμη μας πόνους, εἶναι πατέρες τῆς ψυχικῆς ἡδονῆς καὶ γεννήτορες τῆς αἰσθησιακῆς σωματικῆς ὀδύνης.
6. Ὁ σύμφωνος μὲ τὴ γνώμη μας, λέει, πειρασμὸς προκαλεῖ τὴν ψυχικὴ λύπη καὶ σαφῶς δημιουργεῖ τὴν αἰσθησιακὴ ἡδονή, ἐνῶ ὁ ἐκτὸς τῆς γνώμης μας πειρασμὸς προκαλεῖ τὴν ψυχικὴ ἡδονὴ καὶ τὴν λύπη τῆς σάρκας.
7. Ὁ Κύριος, λέει, μᾶς διδάσκει νὰ εὐχόμαστε νὰ μὴ μᾶς ἔρχονται οἱ ἑκούσιοι πειρασμοί, ἐπειδὴ προκαλοῦν τὴν ἡδονὴ τῆς σάρκας καὶ τὴν ὀδύνη τῆς ψυχῆς, ἐνῶ ὁ μέγας Ἰάκωβος μᾶς προτρέπει νὰ χαιρόμαστε γιὰ τοὺς ἀκούσιους πειρασμούς, ἐπειδὴ μᾶς ἀφαιροῦν τὴν ἡδονὴ τῆς σάρκας καὶ τὴν ὀδύνη τῆς ψυχῆς.
8. Ποιόν λέει τέλειο.
9. Ποιόν λέει ὁλόκληρο.
10. Ὅποιος ἔλαβε πείρα τῆς λύπης καὶ τῆς ἡδονῆς τῆς σάρκας, μπορεῖ νὰ χαρακτηριστεῖ δόκιμος, ἐπειδὴ εἶναι δοκιμασμέ-

γμάτων πεπειραμένος. Τέλειος δέ, ὁ τὴν ἡδονὴν τῆς σαρκὸς καὶ τὴν ὀδύνην τῇ τοῦ λόγου δυνάμει καταπαλαίσας. Ὁλόκληρος δέ, ὁ τὰς κατὰ τὴν πρᾶξιν καὶ τὴν θεωρίαν ἕξεις ἀτρέπτους τῇ περὶ τὸν θεῖον συντονίᾳ διατηρήσας.

11 Πάσης λύπης συνισταμένης κατὰ ψυχήν, ἡδονὴ σαρκός φησι προηγεῖται.

12 Ὅτι, χωρὶς τῆς κατὰ ψυχὴν ἐμπαθοῦς πρὸς αἴσθησιν σχέσεως, ἐν ἀνθρώποις οὐκ ἔστι παντελῶς ἁμαρτία.

13 Ὅτι ψυχὴν πνευματικῶς εὐφραίνει, φησίν, ὁ τοῖς ἑκουσίοις τὴν σάρκα πόνοις δομάζων.

14 Ὅτι γένεσίς ἐστιν ἀρετῆς, φησίν, ἡ πρὸς τὴν σάρκα τῆς ψυχῆς ἑκούσιος ἀλλοτρίωσις.

15 Ἐπινοητικὴν λέγει τὴν νοερὰν τῆς ψυχῆς δύναμιν, ἥτις, χωριζομένη τῆς κατ' αἴσθησιν σχέσεως, ἔρημον τῆς πρὸς ἡδονὴν τὴν σάρκα καταλιμπάνει προνοίας κατὰ τὴν ἐν γνώμῃ σχέσιν. Οὐδὲ τὴν ὀδύνην τῆς σαρκὸς ἀνεχομένης παραμυθεῖσθαι διὰ τὴν ἐν σχέσει τῆς γνώμης ὁλικὴν περὶ τὰ θεῖα σχολήν.

16 Ἡ τῆς ψυχῆς τῶν κατὰ φύσιν ἀπόθεσις, φησί, τῆς κατ' αἴσθησιν ὀδύνης ἀρχὴ γίνεσθαι πέφυκε. Τῆς γὰρ ψυχῆς περὶ τὰ κατὰ φύσιν ἀγαθὰ πονουμένης, οὐκ ἔστιν ἡ τῶν κατ' αἴσθησιν τῆς ἡδονῆς τρόπων ἐφευρίσκουσα δύναμις.

17 Ὑπόκειται τῇ μὲν αἰσθήσει τὰ αἰσθητά, τῷ δὲ νῷ τὰ νοητά. Πολλὴ γοῦν διαφορὰ νοητῶν ἐστι καὶ αἰσθητῶν.

18 Ὁ νοῦς, φησίν, ἅμα τὴν αἴσθησιν οἰκείαν κατὰ φύσιν ἡγήσεται δύναμιν, ταῖς τῶν αἰσθητῶν ἐπιπλεκόμενος ἐπιφανίαις, ἐπινοεῖ τὰς τῆς σαρκὸς ἡδονάς, οὐ δυνάμενος τῶν ὁρατῶν διαβῆναι τὴν φύσιν, τῇ πρὸς τὴν αἴσθησιν ἐμπαθεῖ σχέσει περισχεθείς.

νος σὲ ὅσα εὐκολύνουν ἢ δυσχεραίνουν τὴ σάρκα. Τέλειος μπορεῖ νὰ χαρακτηριστεῖ ὅποιος μὲ τὴ δύναμη τοῦ λόγου καταπολέμησε τὴν ἡδονὴ καὶ τὴν ὀδύνη τῆς σάρκας. Καὶ ὁλοκληρωμένος, ὅποιος διατήρησε μὲ τὴν ἔντονη τάση πρὸς τὴ θεότητα ἀμετάβλητες τὶς ἕξεις τῆς πράξης καὶ τῆς θεωρίας.

11. Ἡ ἡδονὴ τῆς σάρκας, λέει, προηγεῖται ἀπὸ κάθε λύπη ποὺ ἐκδηλώνεται στὴν ψυχή.
12. Χωρὶς τὴν παθητικὴ σχέση τῆς ψυχῆς μὲ τὴν αἴσθηση δὲν ὑπάρχει καθόλου ἁμαρτία στοὺς ἀνθρώπους.
13. Τὴν ψυχή, λέει, τὴν εὐφραίνει πνευματικὰ ὅποιος δαμάζει τὴ σάρκα μὲ ἑκούσιους ἀγῶνες.
14. Γένεση τῆς ἀρετῆς, λέει, εἶναι ἡ ἑκούσια ἀποξένωση τῆς ψυχῆς ἀπὸ τὴ σάρκα.
15. Λέει ὅτι εἶναι ἐπινοητικὴ ἡ νοερὴ δύναμη τῆς ψυχῆς. Αὐτή, ἂν χωριστεῖ ἀπὸ τὴ σχέση της μὲ τὴν αἴσθηση, ἐγκαταλείπει τὴ σάρκα χωρὶς τὴν πρόνοια γιὰ ἡδονὴ στὴ γνωμικὴ σχέση. Οὔτε ἀνέχεται νὰ ἀνακουφίζεται ἡ ὀδύνη τῆς σάρκας ἐξαιτίας τῆς ὁλικῆς ἀπασχόλησης της μὲ τὰ θεῖα τὴ σύμφωνη μὲ τὴ γνώμη μας.
16. Ἡ ἀπόθεση τῶν φυσικῶν ἀγαθῶν ἐκ μέρους τῆς ψυχῆς γίνεται εὔλογα ἀρχὴ τῆς αἰσθησιακῆς ὀδύνης. Γιατὶ ὅταν ἡ ψυχὴ ταλαιπωρεῖται μὲ τὰ φυσικὰ ἀγαθά, δὲν ὑπάρχει ἡ δύναμη ποὺ ἐφευρίσκει τοὺς τρόπους τῆς αἰσθησιακῆς ἡδονῆς.
17. Τὰ αἰσθητὰ ἀνήκουν στὴν αἴσθηση, στὸ νοῦ τὰ νοητά. Ἀνάμεσα στὰ αἰσθητὰ καὶ τὰ νοητὰ ὑπάρχει μεγάλη διαφορά.
18. Μόλις ὁ νοῦς θεωρήσει δική του φυσικὴ δύναμη τὴν αἴσθηση, ἐμπλεκόμενος μὲ τὶς ἐπιφάνειες τῶν αἰσθητῶν, ἐπινοεῖ τὶς ἡδονὲς τῆς σάρκας, ἐπειδὴ δὲν μπορεῖ νὰ διαβεῖ τὴ φύση τῶν ὁρατῶν κρατημένος ἀπὸ τὴν ἐμπαθὴ σχέση του πρὸς τὴν αἴσθηση.

19 *Ὁ πρὸς τὸν ἑαυτοῦ νόμον τοὺς τῶν ὄντων κατὰ μίμησιν μεταφέρων νόμους, ἐνάρετος λογίζων τῶν ἐστερημένων λόγου τὴν κίνησιν. Ὁ δὲ τὸν ἑαυτοῦ πρὸς τοὺς νόμους τῶν ἄλλων κατὰ μίμησιν μεταβάλλων, ἐμπαθής, πρὸς ἀλογίαν ἐκφέρων τοῦ λόγου τὴν δύναμιν.*

20 *Ὅτι κρατοῦντος ἐν ἡμῖν τοῦ λόγου, φησίν, ἐξ ἀνάγκης ἡ πρὸς ἀρετὴν αὐτῷ δουλωθεῖσα βασανίζεται σάρξ.*

21 *Ψυχῆς ἡ σάρξ, ἀλλ' οὐ σαρκὸς ἡ ψυχή. Τοῦ γὰρ κρείττονος, φησίν, τὸ ἧττον, ἀλλ' οὐ τοῦ ἥττονος τὸ κρεῖττον. Οὐκοῦν, ἐπειδὴ τῇ σαρκὶ διὰ τὴν παράβασιν ἐνεφύρη τῆς ἁμαρτίας ὁ ὁ νόμος, ὅπερ ἐστὶν ἡ κατ' αἴσθησιν ἡδονή, δι' ἣν διὰ πόνων κατεκρίθη τῆς σαρκὸς ὁ θάνατος, εἰς τὴν τοῦ νόμου τῆς ἁμαρτίας ἀναίρεσιν ἐπινενοημένος, ὁ διαγνοὺς ὅτι διὰ τὴν ἁμαρτίαν, εἰς τὴν αὐτῆς ἀναίρεσιν, ἐπεισῆλθεν ὁ θάνατος, ἀεὶ χαίρουσαν ἔχει τὴν ψυχὴν διὰ πόνων ποικίλων θεωμένην ἀπογινόμενον τῆς οἰκείας σαρκὸς τὸν νόμον τῆς ἁμαρτίας, πρὸς ὑποδοχὴν τῆς μελλούσης ἐν πνεύματι μακαρίας ζωῆς, ἧς ἄλλως οὐκ ἔστι τυχεῖν, μὴ πρότερον κενωθέντος ὡς ἐξ ἀγγείου τινός, τῆς σαρκὸς ἐν τῇ παρούσῃ ζωῇ κατὰ τὴν πρὸς αὐτὴν σχέσιν τῆς γνώμης τοῦ νόμου τῆς ἁμαρτίας.*·

22 *Ἡδονὴν λέγει σωτήριον, τὴν ἐπ' ἀρετῇ χαρὰν τῆς ψυχῆς, ὠφέλιμον δὲ λύπην, τὴν ὑπὲρ ἀρετῆς ὀδύνην τῆς σαρκός.*

23 *Ὁ πάθεσι προστετηκὼς καὶ πράγμασιν, ἐφ' ἃ μὴ δεῖ τὰς ὁρμὰς ποιεῖται.*

24 *Ὁ τὰς ποιητικὰς τῶν παθῶν καὶ τῶν πραγμάτων στερήσεως συμβάσεις οὐκ ἀσπαζόμενος, ἀφ' ὧν μὴ δεῖ τὰς ἀποφυγὰς ποιεῖται.*

19. Ὅποιος κατὰ μίμηση μεταφέρει τοὺς νόμους τῶν ὄντων στὸ νόμο τὸ δικό του εἶναι ἐνάρετος, λογαριάζοντας τὴν κίνηση ὅσων στεροῦνται τὸ λόγο. Αὐτὸς ὅμως ποὺ μεταβάλλει τὸ δικό του νόμο κατὰ μίμηση πρὸς τοὺς νόμους τῶν ἄλλων εἶναι ἐμπαθὴς καὶ ἐκτρέπει τὴ δύναμη τοῦ λόγου πρὸς τὴν ἀλογία.

20. Ὅταν κυριαρχεῖ μέσα μας ὁ λόγος κατ' ἀνάγκη ἡ σάρκα βασανίζεται ἔχοντας ὑποδουλωθεῖ σ' αὐτὸν γιὰ τὴν κατάκτηση τῆς ἀρετῆς.

21. Ἡ σάρκα εἶναι τῆς ψυχῆς ὄχι ὅμως καὶ ἡ ψυχὴ τῆς σάρκας. Γιατὶ τὸ κατώτερο ἀνήκει στὸ ἀνώτερο ὄχι ὅμως στὸ κατώτερο τὸ ἀνώτερο. Ἐπειδὴ λοιπὸν ἐξαιτίας τῆς παράβασης ὁ νόμος τῆς ἁμαρτίας ἀναμίχθηκε μὲ τὴ σάρκα, πράγμα ποὺ εἶναι ἡ αἰσθησιακὴ ἡδονή, γιὰ τὴν ὁποία καταδικάστηκε ἡ σάρκα μὲ πόνους σὲ θάνατο, ποὺ ἐπινοήθηκε γιὰ νὰ ἀναιρεθεῖ ἡ ἁμαρτία, ἐκεῖνος ποὺ διαπίστωσε ὅτι ἐξαιτίας τῆς ἁμαρτίας καὶ γιὰ τὴν ἀναίρεσή της εἰσῆλθε ἐκ τῶν ὑστέρων ὁ θάνατος, αὐτὸς ἔχει πάντα χαρούμενη τὴν ψυχή του ποὺ μέσα ἀπὸ λογῆς πόνους βλέπει νὰ ἐξέρχεται ἀπὸ τὴ σάρκα της ὁ νόμος τῆς ἁμαρτίας, γιὰ νὰ ὑποδεχθεῖ ἡ ψυχὴ τὴ μελλοντικὴ πνευματικὴ ζωή, τὴν ὁποία δὲν μποροῦμε νὰ ἐπιτύχομε ἀλλιῶς, ἂν προηγουμένως δὲν κενωθεῖ ὁ νόμος τῆς ἁμαρτίας ἀπὸ τὴ σάρκα σὰν ἀπὸ κάποιο ἀγγεῖο στὴν παροῦσα ζωὴ κατὰ τὴ σχέση μαζί της τῆς γνώμης.

22. Ἡδονὴ σωτήρια χαρακτηρίζει τὴ χαρὰ τῆς ψυχῆς γιὰ τὴν ἀρετή, καὶ ὠφέλιμη λύπη τὴν ὀδύνη τῆς σάρκας γιὰ τὴν ἀρετή.

23. Ὅποιος εἶναι προσκολλημένος σὲ πάθη καὶ ἀπασχολήσεις ἀφήνει τὶς ὁρμές του σ' αὐτὸν ποὺ δὲν πρέπει.

24. Αὐτὸς ποὺ δὲν ἐγκρίνει τὰ περιστατικὰ ποὺ προκαλοῦν στέρηση τῶν παθῶν καὶ τῶν ἀπασχολήσεων, ἀποδέχεται αὐτὰ ποὺ δὲν πρέπει ν' ἀποφύγει.

ΕΡΩΤΗΣΙΣ ΝΘ'

«Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα ἢ πόσον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ, μαρτυρούμενον τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας». Ἐὰν αὐτοὶ οἱ μακάριοι προφῆται, ἅπερ ἐκ Πνεύματος ἁγίου ἐνηχήθησαν, ἡμῖν ἐγγράφως κατέλιπον ἐκζητεῖν καὶ ἐρευνῆσαι, πῶς αὐτοὶ ἐκ Πνεύματος ἁγίου ἐνηχούμενοι καὶ τὰ ἀποκαλυπτόμενα αὐτοῖς συγράφοντες, ποίαν ἐκζήτησιν καὶ ἐξερεύνησιν ἐξεζήτουν ἢ ἐξηρεύνων;

ΑΠΟΚΡΙΣΙΣ

Τὰς μὲν ἐκζητικάς τε καὶ ἐξερευνητικὰς τῶν θείων δυνάμεις οὐσιωδῶς ἔχει καταβεβλημένας αὐτῇ παρὰ τοῦ κτίσαντος, κατ' αὐτὴν τὴν εἰς τὸ εἶναι πάροδον, ἡ τῶν ἀνθρώπων φύσις, τὰς δὲ τῶν θείων ἀποκαλύψεις κατὰ χάριν ἡ τοῦ παναγίου Πνεύματος ἐπιφοιτῶσα ποιεῖται δύναμις. Ἐπειδὴ δὲ καταρχὰς διὰ τῆς ἁμαρτίας τῇ φύσει τῶν ὁρατῶν ταύτας ὁ πονηρὸς προσήλωκε τὰς δυνάμεις καὶ οὐκ ἦν ὁ συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν, πάντων τῶν μετειληφότων τῆς φύσεως τὴν νοεράν τε καὶ λογικὴν δύναμιν ἐχόντων περιγεγραμμένην τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν, καὶ μηδεμίαν κεκτημένων ἔννοιαν τῶν ὑπὲρ αἴσθησιν, εἰκότως ἡ τοῦ παναγίου Πνεύματος χάρις τοῖς μὴ κατὰ πρόθεσιν ἐνδιαθέτως ὑπὸ τὴν ἀπάτην γενομένοις, τῶν ὑλικῶν ἀφηλώσασα τὴν προσηλωμένην ἀπεκατέστησε δύναμιν, ἣν καθαρὰν ἀπολαβόντες διὰ τῆς χάριτος, πρῶτον ἐζήτησαν καὶ ἠρεύνησαν, καὶ

ΕΡΩΤΗΣΗ 59

«Γιὰ τὴ σωτηρία αὐτὴ ἀναζήτησαν καὶ ἐρεύνησαν οἱ προφῆτες ποὺ προφήτευσαν γιὰ τὴ χάρη ποὺ θὰ γινόταν σ' ἐμᾶς, ψάχνοντας νὰ βροῦν γιὰ ποιόν καὶ πόσον καιρὸ μιλοῦσε τὸ Πνεῦμα τοῦ Χριστοῦ ποὺ ὑπῆρχε μέσα τους, προαγγέλλοντας τὰ παθήματα γιὰ χάρη τοῦ Χριστοῦ καὶ τὴ δόξα ποὺ τὰ ἀκολουθεῖ»[1]. Ἂν οἱ ἴδιοι οἱ μακαριστοὶ προφῆτες, ὅσα πληροφορήθηκαν ἀπὸ τὸ ἅγιο Πνεῦμα μᾶς ἄφησαν γραπτὴ ἐντολὴ νὰ τὰ ἀναζητήσομε καὶ νὰ τὰ ἐρευνήσομε, ποιά ἦταν ἡ ἀναζήτηση καὶ ἔρευνά τους, ἀφοῦ πληροφοροῦνταν αὐτοὶ ἀπὸ τὸ ἅγιο Πνεῦμα καὶ ἔγραφαν ὅσα τοὺς ἀποκαλύπτονταν;

ΑΠΟΚΡΙΣΗ

Ἡ ἱκανότητα νὰ ἀναζητᾶ καὶ νὰ ἐρευνᾶ κανεὶς τὰ θεῖα εἶναι ἐμφυτευμένη ἀπὸ τὸν ἴδιο τὸ δημιουργὸ μέσα στὴν ἀνθρώπινη φύση ἀπὸ αὐτὴν τὴν πρώτη στιγμὴ τῆς ὕπαρξής της, ἐνῶ τὶς ἀποκαλύψεις τῶν θείων τὶς παρέχει κατὰ χάρη ἐπιφοιτώντας ἡ δύναμη τοῦ παναγίου Πνεύματος. Ἐπειδὴ ὅμως στὴν ἀρχὴ ὁ πονηρὸς ἔβαλε μὲ τὴν ἁμαρτία μέσα στὴ φύση τῶν ὁρατῶν αὐτὲς τὶς δυνάμεις καὶ δὲν ὑπῆρχε κανένας νὰ κατανοεῖ ἢ νὰ ἀναζητεῖ τὸ Θεό[2], ἀφοῦ ὅλοι οἱ ἄνθρωποι εἶχαν περιορισμένη μὲ τὴν ἐπιφάνεια τῶν αἰσθητῶν τὴ λογικὴ δύναμη καὶ δὲν εἶχαν καμμιὰ ἰδέα γιὰ τὰ ὑπεραισθητά, εὔλογα ἡ χάρη τοῦ παναγίου Πνεύματος σ' ἐκείνους ποὺ ἔπεσαν στὴν ἀπάτη χωρὶς συνειδητὴ πρόθεση, ἀφοῦ τοὺς ἀποκόλλησε ἀπὸ τὰ ὑλικά, ἀποκατέστησε τὴ δεμένη μαζί τους δύναμη, καὶ αὐτὴν τὴν ἔλαβαν καθαρὴ μὲ τὴ χάρη,

1. Α' Πέτρ. 1,10,11. 2. Ψαλμ. 13,2· 52,3.

οὕτως ἐξεζήτησαν καὶ ἐξηρεύνησαν, διὰ τῆς αὐτῆς δηλαδὴ τοῦ Πνεύματος χάριτος

Οὐ γὰρ θέμις εἰπεῖν, ὡς μόνη καθ' ἑαυτὴν ἡ χάρις ἐνήργει τοῖς ἁγίοις τὰς γνώσεις τῶν μυστηρίων, χωρὶς τῶν τῆς γνώσεως δεκτικῶν κατὰ φύσιν δυνάμεων[1]. Ἐπεὶ μὴ συνιέντας εἰσάγομεν τοὺς ἁγίους Προφήτας τῶν δοθέντων αὐτοῖς ὑπὸ τοῦ παναγίου Πνεύματος φωτισμῶν τὴν δύναμιν· καὶ πῶς ἀληθὴς ὁ φάσκων ἐστὶ λόγος, ὅτι «ὁ σοφὸς νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος»; Οὔτε μὴν δίχα τῆς τοῦ παναγίου Πνεύματος χάριτος, μόνῃ τῇ κατὰ φύσιν δυνάμει ζητήσαντες τὴν ἀληθῆ τῶν ὄντων ἀπειλήφασι γνῶσιν, ἐπειδὴ περιττὴ δειχθήσεται τοῖς ἁγίοις ἡ τοῦ Πνεύματος ἐπιφοίτησις, κατὰ μηδὲν αὐτοῖς συνεργοῦσα πρὸς τὴν τῆς ἀληθείας φανέρωσιν. Καὶ πῶς ἀληθὴς ὁ φάσκων ἔσται λόγος, ὅτι «πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων», καὶ τό, «ἑκάστῳ δέδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον· ᾧ μέν», γάρ φησι, «διὰ τοῦ Πνεύματος δέδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων», καὶ τὰ ἑξῆς, οἷς ἐπάγει, «πάντα δὲ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»; Βούλεται δὲ τὸ ἑκάστῳ δηλονότι συμφέρον[2], εἰς πληροφορίαν τῆς ἀπαθοῦς τῶν ἐπιζητούντων τὰ θεῖα ἐφέσεως. Ὁ γὰρ ἀπαθῶς τὰ θεῖα ζητῶν, πάντως λήψεται τὸ ζητούμενον. Ὁ δὲ μετά τινος πάθους αἰτῶν, ὡς κακῶς ζητῶν, ἀποτεύξεται τοῦ ζητουμένου. Φησὶ γάρ· «αἰτεῖσθε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε».

Οὐκοῦν οὔτε ἡ χάρις τοῦ ἁγίου Πνευματος ἐνεργεῖ σοφίαν ἐν τοῖς ἁγίοις, χωρὶς τοῦ ταύτην δεχομένου νοός, οὔτε γνῶσιν[3], χωρὶς τῆς δεκτικῆς τοῦ λόγου δυνάμεως, οὔτε πίστιν,

πρῶτα ζήτησαν κι ἐρεύνησαν κι ἔτσι ἀναζήτησαν καὶ ἐξερεύνησαν, μὲ τὴν ἴδια δηλαδὴ τὴ χάρη τοῦ Πνεύματος.

Δὲν εἶναι λοιπὸν σωστὸ νὰ ποῦμε ὅτι μόνη της ἡ χάρη ἐνεργοῦσε στοὺς ἁγίους τὶς γνώσεις τῶν μυστηρίων χωρὶς τὶς φυσικὲς ἱκανότητες ποὺ εἶναι δεκτικὲς τῆς γνώσης, γιατὶ παρουσιάζομε τοὺς ἁγίους προφῆτες νὰ μὴν ἐννοοῦν τὴ δύναμη τῶν φωτισμῶν ποὺ τοὺς δόθηκαν ἀπὸ τὸ ἅγιο Πνεῦμα· καὶ πῶς τότε εἶναι ἀληθινὸς ὁ λόγος ὅτι «ὁ σοφὸς θὰ ἐννοήσει ὅσα βγαίνουν ἀπὸ τὸ στόμα του»[3]; Οὔτε βέβαια δίχως τὴ χάρη τοῦ παναγίου Πνεύματος, ζητώντας μὲ μόνη τὴ φυσικὴ δύναμή τους, ἀπέκτησαν τὴν ἀληθινὴ γνώση τῶν ὄντων, γιατὶ θ' ἀποδειχθεῖ περιττὴ γιὰ τοὺς ἁγίους ἡ ἐπιφοίτηση τοῦ Πνεύματος μὴ συνεργώντας καθόλου μαζί τους γιὰ τὴ φανέρωση τῆς ἀλήθειας. Καὶ πῶς θὰ εἶναι ἀληθινὸς ὁ λόγος ποὺ λέει, «κάθε ὠφέλιμη δόση καὶ κάθε δώρημα τέλειο, προέρχεται ἀπὸ τὸν οὐρανὸ καὶ κατεβαίνει ἀπὸ τὸν Πατέρα τῶν φώτων»[4], καὶ «στὸν καθένα ἔχει δοθεῖ ἡ φανέρωση τοῦ Πνεύματος πρὸς τὸ συμφέρον του»; Γιατὶ στὸν ἕνα, λέει, ἔχει δοθεῖ ἀπὸ τὸ Πνεῦμα λόγος σοφίας, στὸν ἄλλο μὲ τὸ ἴδιο Πνεῦμα λόγος γνώσης, σὲ ἄλλον δόθηκε πίστη μὲ τὸ ἴδιο Πνεῦμα, σὲ ἄλλον χαρίσματα ἰαμάτων καὶ τὰ λοιπά. Καὶ σ' αὐτὰ προσθέτει· «ὅλα τὰ ἐνεργεῖ τὸ ἕνα καὶ τὸ αὐτὸ Πνεῦμα καὶ τὰ ἀπονέμει στὸν καθένα χωριστὰ ὅπως θέλει»[5]. Καὶ εἶναι φανερὸ ὅτι θέλει τὸ συμφέρον καθενὸς γιὰ νὰ ἱκανοποιηθεῖ ἡ ἀπαθὴς ἐπιθυμία ἐκείνων ποὺ ἐπιζητοῦν τὰ θεῖα. Γιατί, ὅποιος ζητᾶ τὰ θεῖα ἀπαλλαγμένος ἀπὸ τὰ πάθη θὰ λάβει ὅ,τι ζητᾶ, ἐνῶ ὅποιος τὰ ζητᾶ ἔχοντας κάποιο ἀπὸ τὰ πάθη, δὲ θὰ ἐπιτύχει ἐκεῖνο ποὺ ζητᾶ, ἐπειδὴ ζητᾶ κακῶς. Γιατὶ λέει· «ζητεῖτε καὶ δὲν παίρνετε, γιατὶ ζητᾶτε κακῶς»[6].

Ἑπομένως οὔτε ἡ χάρη τοῦ ἁγίου Πνεύματος δίδει σοφία στοὺς ἁγίους χωρὶς τὸ νοῦ ποὺ τὴ δέχεται, οὔτε γνώση παρέχει χωρὶς τὴ δεκτικὴ ἱκανότητα τοῦ λόγου, οὔτε πίστη χωρὶς τὴ νο-

3. Παρμ. 16,23. 4. Ἰακ. 1,17. 5. Α' Κορ. 12,7-11. 6. Ἰακ. 4,5.

στιν, ἄνευ τῆς κατὰ νοῦν καὶ λόγον τῶν μελλόντων καὶ πᾶσι τέως ἀδήλων πληροφορίας, οὔτε ἰαμάτων χαρίσματα, δίχα τῆς κατὰ φύσιν φιλανθρωπίας, οὔτε τι ἕτερον τῶν λοιπῶν χαρισμάτων, χωρὶς τῆς ἑκάστου δεκτικῆς ἕξεώς τε καὶ δυνάμεως, οὔτε μὴν πάλιν ἓν τῶν ἀπηριθμημένων ἄνθρωπος κτήσεται κατὰ δύναμιν φυσικήν, δίχα τῆς χορηγούσης ταῦτα θείας δυνάμεως.

Καὶ δηλοῦσι τοῦτο σαφῶς πάντες οἱ ἅγιοι, μετὰ τὰς ἀποκαλύψεις τῶν θείων ζητοῦντες τῶν ἀποκαλυφθέντων τοὺς λόγους. Ἀβραὰμ γὰρ λαβὼν τὴν ἐπαγγελίαν τῆς κληρονομίας τῆς δειχθείσης αὐτῷ γῆς, φάσκοντος πρὸς αὐτὸν τοῦ Θεοῦ, «Ἐγὼ ὁ Θεός, ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν», οὐκ ἠρκέσθη λαβὼν ὅπερ ἐκζητῶν ἐξῆλθεν ἐκ γῆς Χαλδαίων, ἀλλ' ἠρεύνησε μαθεῖν ποθῶν καὶ τὸν τρόπον τῆς κληρονομίας, λέγων πρὸς τὸν Θεόν· «Δέσποτα Κύριε, κατὰ τί γνώσομαι ὅτι κληρονομήσω αὐτήν;». Καὶ Μωϋσῆς λαβὼν τῶν σημείων καὶ τῶν τεράτων τὴν δύναμιν, ἐζήτει καὶ τοὺς τρόπους διδαχθῆναι καὶ τοὺς λόγους, καθ' οὓς ἔδει τῶν δοθέντων σημείων ἀποδειχθῆναι τὴν πίστωσιν. «Καὶ ἔθετο ἐν αὐτοῖς», φησὶν ὁ μέγας Δαβίδ, «τοὺς λόγους τῶν σημείων αὐτοῦ καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ». Καὶ πάλιν αὐτὸς περὶ ἑαυτοῦ φησι πρὸς τὸν Θεὸν βοῶν ὁ μέγας Δαβίδ· «ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου»· καί, «λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου». Καὶ Δανιὴλ ὁ μέγας ἀνὴρ τῶν ἐπιθυμιῶν, τῶν θείων ὁράσεων, ὑπὲρ ὧν τρεῖς ἑβδομάδας ἡμερῶν ἐτέλεσεν ἄσιτος, τοὺς λόγους ἐκζητῶν, ἀκούει ἀγγέλου πρὸς ἄγγελον λέγοντος, «συνέτισον ἐκεῖνον τὴν ὅρασιν». Καὶ Ζαχαρίας ὁ μέγας Προφήτης, δι' ὅλης τῆς αὐτοῦ προφητείας, καθ' ἑκάστην ὅρασιν τὸν ἐν αὐτῷ λαλοῦντα ἄγγελον εἰσάγει,

ερὴ καὶ λογικὴ πληροφορία γιὰ τὰ μελλοντικὰ καὶ ἄδηλα σὲ ὅλους, οὔτε κάποιο ἄλλο ἀπὸ τὰ λοιπὰ χαρίσματα χωρὶς τὴ δεκτικὴ ἕξη καὶ δύναμη καθενός, οὔτε πάλι θ' ἀποκτήσει ὁ ἄνθρωπος ἀπὸ φυσικὴ ἱκανότητα ἕνα ἀπὸ ὅσα ἀριθμήσαμε χωρὶς τὴ θεία δύναμη ποὺ τὰ χορηγεῖ.

Καὶ αὐτὸ τὸ δηλώνουν μὲ σαφήνεια ὅλοι οἱ ἅγιοι, ποὺ ζητοῦν ἔπειτα ἀπὸ τὶς ἀποκαλύψεις τῶν θείων τοὺς λόγους ὅσων ἀποκαλύφθηκαν[7]. Ὁ Ἀβραὰμ γιὰ παράδειγμα λαμβάνοντας τὴν ὑπόσχεση γιὰ τὴν κληρονομία τῆς γῆς ποὺ τοῦ ἐδείχθη ἀπὸ τὸ Θεό, ὅταν τοῦ ἔλεγε ὁ Θεός, «ἐγὼ εἶμαι ὁ Θεὸς ποὺ σ' ἔβγαλα ἀπὸ τὴ χώρα τῶν Χαλδαίων, γιὰ νὰ σοῦ δώσω νὰ κληρονομήσεις αὐτὴ τὴ γῆ»[8], δὲν ἀρκέσθηκε στὸ ὅτι ἔπαιρνε ὅ,τι ζητοῦσε ὅταν ἔβγαινε ἀπὸ τὴ γῆ τῶν Χαλδαίων, ἀλλ' ἐρεύνησε, ποθώντας νὰ μάθει καὶ τὸν τρόπο τῆς κληρονομίας, λέγοντας στὸ Θεό· «Δέσποτα Κύριε, ἀπὸ τί θὰ καταλάβω ὅτι θὰ τὴν κληρονομήσω;»[9]. Ἐπίσης ὁ Μωυσῆς ὅταν ἔλαβε τὴ δύναμη γιὰ τὰ σημεῖα καὶ τέρατα ποὺ ἔκανε, ζητοῦσε νὰ μάθει καὶ τοὺς τρόπους καὶ τοὺς λόγους γιὰ τοὺς ὁποίους ἔπρεπε νὰ κατοχυρωθεῖ ἡ βεβαίωση τῶν σημείων ποὺ εἶχαν δοθεῖ. «Κι ἔβαλε στὴν ψυχή τους», λέει ὁ μέγας Δαβίδ, «τοὺς λόγους τῶν σημείων καὶ τῶν τεράτων ποὺ θὰ ἔκανε στὴ γῆ τοῦ Χάμ»[10]. Καὶ πάλι ὁ ἴδιος μιλώντας γιὰ τὸν ἑαυτό του λέει στὸ Θεὸ ὁ μέγας Δαβίδ· «ξεσκέπασε τὰ μάτια μου καὶ θὰ κατανοήσω τὰ θαυμάσια τοῦ νόμου σου»[11]. Καὶ «λυχνάρι γιὰ τὰ βήματά μου εἶναι ὁ νόμος σου καὶ φῶς γιὰ τὸ δρόμο μου»[12]. Καὶ ὁ Δανιήλ, ὁ μέγας ἄνδρας τῶν ἐπιθυμιῶν, τῶν θείων ὁραμάτων, ποὺ γιὰ χάρη τους ἔμεινε χωρὶς τροφὴ τρεῖς ὁλόκληρες ἑβδομάδες, ζητώντας νὰ μάθει τοὺς λόγους, ἀκούει τὸ λόγο ἑνὸς ἀγγέλου σὲ ἄλλον ἄγγελο· «δίδαξε ἐκεῖνον νὰ καταλάβει τὸ ὅραμα»[13]. Καὶ ὁ Ζαχαρίας ἐπίσης, ὁ μέγας προφήτης, σ' ὅλη τὴ διάρκεια τῆς προφητείας του,

7. Δαν. 12,8· Ζαχ. 4,5. 8. Γεν. 15,7. 9. Ἐξ. 4,1.
10. Ψαλμ. 104,27. 11. Ψαλμ. 118,18.
12. Ψαλμ. 118,105. 13. Δαν. 10,11· 8,16.

δεικνύοντά τε τὰς ὁράσεις, καὶ διδάσκοντα τοὺς τῶν ὁράσεων λόγους, φάσκων· «καὶ ἔδειξέ μοι ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· καὶ εἶπα τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοί· Κύριε, τί ἐστι ταῦτα;».

Καὶ δῆλον ἐντεῦθεν, ὅτι πάντες οἱ ἅγιοι καὶ ἐδέχοντο ὑπὸ τοῦ Πνεύματος ἀποκαλύψεις καὶ ἐζήτουν ἀποκαλυφθῆναι τῶν ἀποκαλυφθέντων τοὺς λόγους, καὶ ὅτι τοῦ Πνεύματος ἡ χάρις οὐδαμῶς τῆς φύσεως καταργεῖ τὴν δύναμιν, ἀλλὰ μᾶλλον, καταργηθεῖσαν τῇ χρήσει τῶν παρὰ φύσιν τρόπων, ἐνεργὸν ἐποίει πάλιν τῇ χρήσει τῶν κατὰ φύσιν, πρὸς τὴν τῶν θείων κατανόησιν εἰσάγουσα.

Ζητεῖ γὰρ ἐν ἡμῖν τὴν τῶν ὄντων γνῶσιν τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐρευνᾷ, ἀλλ' οὐχ ἑαυτῷ ζητεῖ τὸ ζητούμενον, ὅτι Θεὸς καὶ πάσης ἐπέκεινα γνώσεως, ἀλλ' ἡμῖν τοῖς δεομένοις τῆς γνώσεως. Ὥσπερ ἀμέλει καὶ ὁ Λόγος γίνεται σάρξ, οὐχ ἑαυτῷ, ἀλλ' ἡμῖν τὸ διὰ τῆς σαρκώσεως ἐξανύων μυστήριον. Ὡς γὰρ χωρὶς σαρκὸς νοερῶς ἐμψυχωμένης οὐκ ἐνήργει θεοπρεπῶς τὰ κατὰ φύσιν τῆς σαρκὸς ὁ Λόγος, οὕτως οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐν τοῖς ἁγίοις ἐνεργεῖ τὰς γνώσεις τῶν μυστηρίων χωρὶς τῆς κατὰ φύσιν ζητούσης τε καὶ ἐρευνώσης τὴν γνῶσιν δυνάμεως. Εἴτε οὖν ἐζήτουν ἢ ἐξεζήτουν, εἴτε ἠρεύνων ἢ ἐξηγρεύνων οἱ ἅγιοι, τὴν χάριν εἶχον τοῦ Πνεύματος, κινοῦσαν αὐτῶν τὴν νοερὰν καὶ λογικὴν δύναμιν πρὸς ζήτησιν καὶ ἔρευναν τῆς τῶν ψυχῶν σωτηρίας, καὶ χωρὶς τοῦ Πνεύματος οὐδὲν παντελῶς ἐθεώρουν πνευματικόν· ὅτι μηδὲ πέφυκεν ὁ ἀνθρώπινος νοῦς ἄνευ θείου φωτὸς τῶν θείων καὶ νοητῶν ἀντιλαμβάνεσθαι.

Ὡς γὰρ οὐκ ἔστι χωρὶς ἡλιακοῦ φωτὸς ὀφθαλμὸν ἀντιλαμβάνεσθαι τῶν αἰσθητῶν, οὕτω δίχα πνευματικοῦ φωτὸς νοῦς

σὲ κάθε ὅραμά του κάνει τὸν ἄγγελο ποὺ βλέπει νὰ τοῦ μιλάει καὶ νὰ τοῦ δείχνει τὰ ὁράματα καὶ νὰ ἐξηγεῖ τοὺς λόγους τους λέγοντας· «καὶ μοῦ ἔδειξε ὁ ἄγγελος ποὺ μοῦ μιλοῦσε· καὶ εἶπα στὸν ἄγγελο ποὺ μοῦ μιλοῦσε· Κύριε, τί σημαίνουν αὐτά;»[14].

Καὶ εἶναι φανερὸ ἀπὸ ἐδῶ ὅτι ὅλοι οἱ ἅγιοι καὶ δέχονταν ἀποκαλύψεις ἀπὸ τὸ ἅγιο Πνεῦμα καὶ ζητοῦσαν ν' ἀποκαλυφθοῦν οἱ λόγοι τῶν ἀποκαλύψεων, καὶ ὅτι ἡ χάρη τοῦ Πνεύματος δὲν καταργεῖ καθόλου τὴ δύναμη τῆς φύσης, ἀλλὰ μᾶλλον ἐνῶ εἶχε καταργηθεῖ ἀπὸ τὴ χρήση τῶν παραφύση τρόπων, τὴν ἐνεργοποιοῦσε πάλι μὲ τὴ χρήση τῶν φυσικῶν τρόπων καὶ τὴν ὁδηγοῦσε στὴν κατανόηση τῶν θείων.

Ζητᾶ δηλαδὴ μέσα μας τὸ ἅγιο Πνεῦμα τὴ γνώση τῶν ὄντων καὶ ἐρευνᾶ γι' αὐτό. Δὲν κάνει ὅμως αὐτὴ τὴν ἀναζήτηση γιὰ τὸν ἑαυτό του, γιατὶ εἶναι Θεὸς καὶ πέρα ἀπὸ κάθε γνώση ἀλλὰ γιὰ μᾶς ποὺ ἔχομε ἀνάγκη ἀπὸ τὴ γνώση. Ὅπως ἀκριβῶς βέβαια καὶ ὁ Λόγος γίνεται σάρκα ὄχι γιὰ τὸν ἑαυτό του, ἀλλὰ γιὰ μᾶς ὁλοκληρώνοντας τὸ μυστήριο τῆς σάρκωσης. Ὅπως δηλαδὴ χωρὶς σάρκα ἐμψυχωμένη μὲ τὸ νοῦ ὁ Λόγος δὲν ἐνεργοῦσε θεοπρεπῶς τὶς φυσικὲς λειτουργίες τῆς σάρκας, ἔτσι οὔτε τὸ Πνεῦμα τὸ ἅγιο ἐνεργεῖ μέσα στοὺς ἁγίους τὶς γνώσεις τῶν μυστηρίων χωρὶς τὴ δύναμη ποὺ σύμφωνα μὲ τὴ φύση της ζητὰ καὶ ἐρευνᾶ τὴ γνώση. Εἴτε λοιπὸν ζητοῦσαν ἢ ἐκζητοῦσαν εἴτε ἐρευνοῦσαν ἢ ἐξερευνοῦσαν οἱ ἅγιοι, εἶχαν τὴ χάρη τοῦ Πνεύματος ποὺ κινοῦσε τὴ νοερὴ καὶ λογικὴ δύναμή τους στὴν ἀναζήτηση καὶ τὴν ἔρευνα τῆς σωτηρίας τῶν ψυχῶν, καὶ χωρὶς τὸ Πνεῦμα κανένα ἀπολύτως δὲ θεωροῦσαν πνευματικό. Γιατὶ ὁ ἀνθρώπινος νοῦς δὲν εἶναι καμωμένος ἔτσι ἀπὸ τὴ φύση του ὥστε ν' ἀντιλαμβάνεται τὰ θεῖα καὶ νοητὰ χωρὶς τὸ θεῖο φῶς.

Ὅπως δηλαδὴ δὲν εἶναι δυνατὸ ὁ ὀφθαλμὸς ν' ἀντιλαμβάνεται τὰ αἰσθητὰ χωρὶς τὸ ἡλιακὸ φῶς, ἔτσι καὶ δίχως τὸ πνευ-

14. Ζαχ. 1,9.

ἀνθρώπινος οὔποτ' ἂν δέξαιτο θεωρίαν πνευματικήν. Τὸ μὲν γὰρ φωτίζει κατὰ φύσιν τὴν αἴσθησιν πρὸς τὴν τῶν σωμάτων ἀντίληψιν[4]*, τὸ δὲ τὴν πρὸς θεωρίαν τὸν νοῦν καταυγάζει πρὸς κατανόησιν τῶν ὑπὲρ αἴσθησιν*[5]*. Σωτηρία δὲ τῶν ψυχῶν κυρίως ἐστὶ τὸ τέλος τῆς πίστεως. Τέλος δὲ πίστεώς ἐστιν ἡ τοῦ πιστευθέντος ἀληθὴς ἀποκάλυψις. Ἀληθὴς δὲ τοῦ πιστευθέντος ἀληθὴς ἀποκάλυψις ἡ κατὰ ἀναλογίαν τῆς ἐν ἑκάστῳ πίστεως ἄρρητος τοῦ πεπιστευμένου περιχώρησις. Περιχώρησις δὲ τοῦ πεπιστευμένου καθέστηκεν ἡ πρὸς τὴν οἰκείαν ἀρχὴν κατὰ τὸ τέλος τῶν πεπιστευκότων ἐπάνοδος. Ἡ δὲ πρὸς τὴν οἰκείαν ἀρχὴν κατὰ τὸ τέλος τῶν πεπιστευκότων ἐπάνοδός ἐστιν ἡ τῆς ἐφέσεως πλήρωσις*[6]*. Ἐφέσεως δὲ πλήρωσίς ἐστι ἡ περὶ τὸ ἐφετὸν τῶν ἐφιεμένων ἀεικίνητος στάσις. Ἀεικίνητος δὲ στάσις περὶ τὸ ἐφετὸν τῶν ἐφιεμένων ἐστὶν ἡ τοῦ ἐφετοῦ διηνεκής τε καὶ ἀδιάστατος ἀπόλαυσις. Ἀπόλαυσις δὲ διηνεκὴς καὶ ἀδιάστατος τοῦ ἐφετοῦ ἡ τῶν ὑπὲρ φύσιν θείων καθέστηκε μέθεξις. Μέθεξις δὲ τῶν ὑπὲρ φύσιν θείων ἐστὶν ἡ πρὸς τὸ μετεχόμενον τῶν μετεχόντων ὁμοίωσις. Ἡ δὲ πρὸς τὸ μετεχόμενον τῶν μετεχόντων ὁμοίωσίς ἐστιν ἡ κατ' ἐνέργειαν πρὸς αὐτὸ τὸ μετεχόμενον τῶν μετεχόντων δι' ὁμοιότητος ἐνδεχομένη ταυτότης. Ἡ δὲ τῶν μετεχόντων ἐνδεχομένη κατ' ἐνέργειαν δι' ὁμοιότητος πρὸς τὸ μετεχόμενον ταυτότης ἐστὶν ἡ θέωσις τῶν ἀξιουμένων θεώσεως. Ἡ δὲ θέωσίς ἐστι, καθ' ὑπογραφῆς λόγον, πάντων τῶν χρόνων καὶ τῶν αἰώνων καὶ τῶν ἐν χρόνῳ καὶ αἰῶνι περιοχὴ καὶ πέρας. Περιοχὴ δὲ καὶ πέρας τῶν χρόνων καὶ τῶν αἰώνων ἐστὶ καὶ πάντων τῶν ἐν αὐτοῖς, ἡ τῆς ἀκραιφνοῦς καὶ κυρίως ἀρχῆς*[7]*, πρὸς τὸ κυρίως τέλος καὶ ἀκραιφνὲς ἐν τοῖς σωζομένοις ἀδιάστατος ἑνότης. Ἀδιάστατος δὲ τῆς ἀκραιφνοῦς τε ἀρχῆς καὶ τέλους ἑνότης ἐν τοῖς σωζομένοις ἐστίν, ἡ κρείττων τῶν οὐσιωδῶς ἀρχῇ τε καὶ τέλει μεμετρημένων τῶν κατὰ*

ματικὸ φῶς ποτὲ ὁ ἀνθρώπινος νοῦς δὲ θὰ μποροῦσε νὰ δεχθεῖ κάποια πνευματικὴ θεωρία. Τὸ ἡλιακὸ φῶς δηλαδὴ φωτίζει φυσικὰ τὸ αἰσθητήριο γιὰ τὴν ἀντίληψη τῶν σωμάτων, ἐνῷ τὸ πνευματικὸ φῶς καταυγάζει κατὰ τὴ θεωρία τὸ νοῦ πρὸς κατανόηση ἐκείνων ποὺ ὑπερβαίνουν τὴν αἴσθηση. Ὁ σκοπὸς τῆς πίστης εἶναι κυρίως ἡ σωτηρία τῶν ψυχῶν. Καὶ τέλος τῆς πίστης εἶναι ἡ ἀληθὴς ἀποκάλυψη ἐκείνων ποὺ πιστεύθηκαν. Ἀληθὴς ἀποκάλυψη πάλι ἐκείνων ποὺ πιστεύθηκαν εἶναι ἡ κατ' ἀναλογίαν τῆς πίστης τοῦ καθενὸς ἄρρητη περιχώρηση ἐκείνου ποὺ ἔχει πιστευθεῖ. Καὶ περιχώρηση ὅποιου ἔχει πιστευθεῖ εἶναι ἡ ἐπάνοδος κατὰ τὸ τέλος στὴν ἀρχή τους ἐκείνων ποὺ ἔχουν πιστέψει. Ἡ ἐπάνοδος τώρα πρὸς τὸ τέλος στὴν ἀρχή τους ἐκείνων ποὺ ἔχουν πιστέψει εἶναι ἡ ἐκπλήρωση τῆς ἐπιθυμίας. Ἐκπλήρωση τῆς ἐπιθυμίας εἶναι ἡ ἀεικίνητη στάση ἐκείνων ποὺ ἐπιθυμοῦν γύρω στὸ ἐπιθυμητό. Ἀεικίνητη στάση ἐκείνων ποὺ ἐπιθυμοῦν γύρω στὸ ἐπιθυμητὸ εἶναι ἡ ἀτελεύτητη καὶ ἀδιάλειπτη ἀπόλαυση τοῦ ἐπιθυμητοῦ, κι ἀπόλαυση ἀτελείωτη καὶ ἀδιάλειπτη τοῦ ἐπιθυμητοῦ εἶναι ἡ μέθεξη τῶν ὑπὲρ φύση θείων. Μέθεξη πάλι τῶν πάνω ἀπὸ τὴ φύση θείων εἶναι ἡ ὁμοίωση πρὸς τὸ μετεχόμενο ἐκείνων ποὺ τὸ μετέχουν. Ἡ ὁμοίωση πρὸς τὸ μετεχόμενο ἐκείνων ποὺ τὸ μετέχουν εἶναι ἡ δυνατὴ στὴν πράξη μὲ τὴν ὁμοιότητα ταυτότητα πρὸς τὸ μετεχόμενο ἐκείνων ποὺ μετέχουν. Ἡ δυνατὴ στὴν πράξη μὲ τὴν ὁμοιότητα ταυτότητα πρὸς τὸ μετεχόμενο ἐκείνων ποὺ μετέχουν εἶναι ἡ θέωση ὅποιων εἶναι ἄξιοι γιὰ θέωση. Ἡ θέωση εἶναι, καὶ ὑπογραμμίζω τὰ λόγια μου, ἡ περιοχὴ καὶ τὸ πέρας ὅλων τῶν χρόνων καὶ τῶν αἰώνων καὶ ὅσων αὐτὰ περιέχουν. Περιοχὴ τώρα καὶ πέρας ὅλων τῶν χρόνων καὶ τῶν αἰώνων καὶ ὅσων αὐτὰ περιέχουν εἶναι ἡ ἀδιάλειπτη ἑνότητα τῆς ἀληθινῆς καὶ οὐσιαστικῆς ἀρχῆς ἐκείνων ποὺ σώζονται μὲ τὸ ἀληθινὸ καὶ κύριο τέλος. Ἀδιάλειπτη ἑνότητα τῶν σωζομένων μέσα στὴν ἀληθινὴ ἀρχὴ καὶ τέλος εἶναι ἡ καλύτερη ἔκβαση τῶν κατὰ φύση ποὺ εἶναι μετρημένα κατὰ τὴν οὐσία μὲ τὴν ἀρχὴ

φύσιν ἔκβασις. Ἔκβασις δὲ τῶν κατὰ φύσιν τῶν κατ' ἀρχήν τε καὶ τέλος περιγεγραμμένων ἐστίν[8] *ἡ ἄμεσος καὶ ἄπειρος καὶ ἐπ' ἄπειρον ἐν τοῖς ἀξιωθεῖσι τῆς κατὰ τὸ κρεῖττον νοουμένης τῶν κατὰ φύσιν ἐκβάσεως ἐνέργεια τοῦ Θεοῦ πανσθενὴς καὶ ὑπερδύναμος. Ἄμεσος δὲ καὶ ἄπειρος καὶ ἐπ' ἄπειρον ἐνέργεια τοῦ Θεοῦ πανσθενής ἐστι καὶ ὑπερδύναμος ἡ κατὰ τὴν ἄφθεγκτον καὶ ὑπὲρ νόησιν ἕνωσιν ἄρρητός τε καὶ ὑπεράρρητος ἡδονὴ καὶ χαρὰ τῶν ἐνεργουμένων, ἧς οὐκ ἔστι νοῦν ἢ λόγον παντάπασιν ἢ νόησιν ἢ ῥῆσιν ἐν τῇ φύσει τῶν ὄντων εὑρεῖν.*

Οὐκ ἔχει γὰρ ἡ φύσις τῶν ὑπὲρ φύσιν τοὺς λόγους, ὥσπερ οὐδὲ τῶν παρὰ φύσιν τοὺς νόμους. Ὑπὲρ φύσιν δὲ λέγω, τὴν θείαν καὶ ἀνεννόητον ἡδονήν, ἣν ποιεῖν πέφυκεν ὁ Θεὸς φύσει, κατὰ τὴν χάριν τοῖς ἀξίοις ἑνούμενος· παρὰ φύσιν δὲ τὴν κατὰ στέρησιν ταύτης συνισταμένην ἀνεκλάλητον ὀδύνην, ἣν ποιεῖν εἴωθεν ὁ Θεὸς φύσει, παρὰ τὴν χάριν τοῖς ἀναξίοις ἑνούμενος· κατὰ γὰρ τὴν ὑποκειμένην ἑκάστῳ ποιότητα τῆς διαθέσεως ὁ Θεὸς τοῖς πᾶσιν ἑνούμενος[9]*, ὡς οἶδεν αὐτός, τὴν αἴσθησιν ἑκάστῳ παρέχεται, καθὼς ἐστιν ἕκαστος ὑφ' ἑαυτοῦ διαπεπλασμένος πρὸς ὑποδοχὴν τοῦ πάντως πᾶσιν ἑνωθησομένου κατὰ τὸ πέρας τῶν αἰώνων.*

Σωτηρίαν δὲ ψυχῶν, ὡς οἶμαι, τυχὸν ὁ τῶν ἀποστόλων ἀκρότατος ἔφη Πέτρος, ὡς πίστεως τέλος, τῶν ὑπὲρ φύσιν τὴν μέθεξιν, «περὶ ἧς σωτηρίας», διὰ Πνεύματος ἁγίου δηλαδὴ σαφῶς, «ἐξεζήτησαν προφῆται καὶ ἐξηρεύνησαν, εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ, προμαρτυρούμενον τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας». Οὐκοῦν τοὺς ἐκζητοῦντας ἐν Πνεύματι τὴν τῶν ψυχῶν σωτηρίαν καὶ ἐξερευνῶντας τοὺς ταύτης πνευματικοὺς τῆς σωτηρίας λό-

καὶ τὸ τέλος. Ἔκβαση τῶν κατὰ φύση ποὺ καθορίζονται ἀπὸ τὴν ἀρχὴ καὶ τὸ τέλος εἶναι ἡ ἄμεση καὶ ἀπέραντη ἐνέργεια τοῦ Θεοῦ, ἡ παντοδύναμη καὶ ὑπερδύναμη καὶ ποὺ μένει ἐπ' ἄπειρο σ' αὐτοὺς ποὺ ἀξιώθηκαν τὴν ἔκβαση τῶν κατὰ φύση μὲ τὸ καλύτερο νόημα. Ἄμεση κι ἀπέραντη καὶ ποὺ διαρκεῖ ἐπ' ἄπειρο ἐνέργεια τοῦ Θεοῦ, παντοδύναμη καὶ ὑπερδύναμη, εἶναι κατὰ τὴν ἀνεκλάλητη καὶ ὑπέρνοη ἕνωση, ἄρρητη καὶ ὑπεράρρητη ἡδονὴ καὶ χαρὰ ἀπὸ ὅσα γίνονται, τῆς ὁποίας εἶναι τελείως ἀδύνατο νὰ βρεθεῖ τὸ νόημα καὶ ὁ λόγος ἢ ἡ σκέψη ἢ ἡ ἔκφραση μέσα στὴ φύση τῶν ὄντων.

Γιατὶ ἡ φύση δὲν ἔχει τοὺς λόγους τῶν πάνω ἀπὸ τὴ φύση, καθὼς καὶ τοὺς νόμους τῶν παρὰ φύση. Πάνω ἀπὸ τὴ φύση λέγω τὴ θεία καὶ ἀκατάληπτη ἡδονή, ποὺ ἀπὸ τὴ φύση του ὁ Θεὸς παρέχει πάντοτε ὅταν ἑνώνεται κατὰ χάρη μὲ τοὺς ἄξιους. Παρὰ φύση πάλι λέω τὴν κατὰ στέρηση τῆς χάριτος προκαλούμενη ἀνεκλάλητη ὀδύνη, ποὺ συνήθως παρέχει ἀπὸ τὴ φύση του ὁ Θεὸς ὅταν ἑνώνεται μὲ τοὺς ἀνάξιους παρὰ τὴ χάρη. Μὲ τὸ νὰ ἑνώνεται ὁ Θεὸς μὲ ὅλους σύμφωνα μὲ τὴν ποιότητα τῆς διάθεσης τοῦ καθενὸς ὅπως αὐτὸς γνωρίζει, παρέχει τὴν αἴσθηση στὸν καθένα, καθὼς εἶναι καθένας διαμορφωμένος ἀπὸ τὸν ἑαυτό του γιὰ νὰ ὑποδεχτεῖ αὐτὸν ποὺ θὰ ἑνωθεῖ ὁπωσδήποτε μὲ ὅλους κατὰ τὸ πέρας τῶν αἰώνων.

Σωτηρία τῶν ψυχῶν, ὅπως νομίζω, ἴσως εἶπε ὁ κορυφαῖος Πέτρος ὅτι εἶναι, ὡς κατάληξη τῆς πίστης, ἡ μέθεξη τῶν πάνω ἀπὸ τὴ φύση ἀγαθῶν. «Γι' αὐτὴ τὴ σωτηρία», μὲ τὸ ἅγιο Πνεῦμα σαφῶς, ζήτησαν κι ἐρεύνησαν μ' ἐπιμονὴ οἱ προφῆτες ποιό καὶ τί λογῆς καιρὸ τοὺς δήλωνε τὸ ἅγιο Πνεῦμα, προβεβαιώνοντας τὰ παθήματά τους γιὰ χάρη τοῦ Χριστοῦ καὶ τὴ δόξα ποὺ θ' ἀκολουθοῦσε»[15]. Αὐτοὺς λοιπὸν ποὺ ζητοῦν μ' ἐπιμονὴ ἐμφορημένοι ἀπὸ τὸ ἅγιο Πνεῦμα τὴ σωτηρία τῶν ψυχῶν καὶ ἐξερευνοῦν τοὺς πνευματικοὺς λόγους καὶ τρόπους τῆς σωτηρίας

15. Ὁ συγγραφέας ἐξηγεῖ πιὸ κάτω μὲ ποιά ἑνότητα χρησιμοποιεῖ τὶς λέξεις· γι' αὐτὸ ἀφήνονται ἀμετάφραστες. Βλ.σελ. 181 ἀρχή.

γους τε καὶ τρόπους, ὁδηγεῖ πρὸς κατανόησιν τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἐῶν ἀκίνητον ἐν αὐτοῖς μένειν καὶ ἀνενέργητον τὴν δι' ἧς ἐκζητεῖν τὰ θεῖα πεφύκασι δύναμιν.

Πρῶτον μὲν αὐτοὺς διδάσκον ζητῆσαι τὴν κατὰ τὴν ἁμαρτίαν τῆς προαιρέσεως[10] ἢ τὴν κατὰ τὴν προαίρεσιν τῆς ἁμαρτίας νέκρωσιν, καὶ τὴν κατὰ τὴν ἀρετὴν τῆς προαιρέσεως ἢ τὴν κατὰ τὴν προαίρεσιν τῆς ἀρετῆς ἀναβίωσιν, ἐρευνῆσαι δὲ τῆς κατὰ τὴν ἁμαρτίαν τῆς προαιρέσεως ἢ τῆς κατὰ τὴν προαίρεσιν τῆς ἁμαρτίας νεκρώσεως τοὺς τρόπους· ὡσαύτως δὲ καὶ τῆς κατὰ τὴν ἀρετὴν τῆς προαιρέσεως ἢ τῆς ἀρετῆς κατὰ τὴν προαίρεσιν ἀναστάσεως τοὺς λόγους, δι' ὧν τρόπων τέ φημι καὶ λόγων ἡ κατὰ τὴν προαίρεσιν τῆς ἁμαρτίας ἢ ἡ κατὰ τὴν ἁμαρτίαν τῆς προαιρέσεως νέκρωσις· καὶ ἡ κατὰ τὴν προαίρεσιν τῆς ἀρετῆς ἢ τῆς προαιρέσεως κατὰ τὴν ἀρετὴν ἀνάστασις πέφυκε γίνεσθαι, ἔχουσα προδήλως κατὰ τὸν αἰῶνα τοῦτον (ὃν καιρὸν προσηγόρευσεν ὁ λόγος) τὰ εἰς Χριστόν, ἤτοι ὑπὲρ Χριστοῦ περὶ φύσιν παθήματα, ἅπερ αὐτοῖς προεμαρτύρετο τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα γένωνται σύμφυτοι τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Χριστοῦ κατὰ τὴν νέκρωσιν τῆς ἁμαρτίας[11] καὶ τῆς ἀναστάσεως κατὰ τὴν ἐνέργειαν τῆς ἀρετῆς.

Δεῖ γάρ, ὡς ἀληθῶς, τὸν σωθησόμενον μὴ μόνον τῇ προαιρέσει νεκρῶσαι τὴν ἁμαρτίαν, ἀλλὰ καὶ αὐτὴν τὴν προαίρεσιν τῇ ἁμαρτίᾳ· καὶ μὴ μόνον ἀναστῆσαι τῇ ἀρετῇ τὴν προαίρεσιν, ἀλλὰ καὶ αὐτὴν τῇ προαιρέσει τὴν ἀρετήν, ἵνα, νεκρὰ νεκρᾶς ὅλη ὅλης διαιρεθεῖσα τῆς ἁμαρτίας, μὴ αἰσθάνηται, καὶ ζῶσα ζώσης ὅλη ὅλης τῆς ἀρετῆς ἐπαισθάνηται, καθ' ἕνωσιν ἀδιάσπαστον, ἡ προαίρεσις[12].

Ταῦτα μὲν τυχὸν πρῶτον ζητήσαντες καὶ ἐρευνήσαντες οἱ ἅγιοι διὰ τοῦ Πνεύματος ἁγίου, τὴν πρακτικὴν κατώρθωσαν φιλοσοφίαν, μεθ' ἣν οἷα δὴ καθαροὶ γεγονότες καὶ παντὸς ἐλεύθεροι μολυσμοῦ, πρὸς τὸ τέλος τῶν ὄντων ὑπὸ τοῦ αὐτοῦ Πνεύματος τὸ νοερὸν ἐκίνησαν ὄμμα τῆς ψυχῆς, ἐκζητοῦντες

τοὺς ὁδηγεῖ νὰ τοὺς κατανοήσουν τὸ ἅγιο Πνεῦμα, χωρὶς ν' ἀφήνει νὰ μείνει ἀκίνητη μέσα τους κι ἀνενέργητη ἡ δύναμη ποὺ ὑπάρχει στὴ φύση τους γιὰ τὴν ἀναζήτηση τῶν θείων.

Τοὺς διδάσκει νὰ ζητήσουν πρῶτα τὴ νέκρωση τῆς προαίρεσης πρὸς ἁμαρτία ἢ τῆς ἁμαρτίας ἀπὸ προαίρεση καὶ τὴν ἀναβίωση τῆς προαίρεσης πρὸς τὴν ἀρετὴ ἢ τῆς ἀρετῆς κατὰ τὴν προαίρεση. Νὰ ἐρευνήσουν ἐπίσης γιὰ τοὺς τρόπους νέκρωσης τῆς θέλησης πρὸς ἁμαρτία ἢ τῆς ἁμαρτίας ἀπὸ προαίρεση, καὶ ἀκόμα νὰ ἐρευνήσουν γιὰ τοὺς λόγους τῆς ἀναστάσεως καὶ τῆς προαιρέσεως γι' ἀρετὴ ἢ τῆς ἀρετῆς κατὰ τὴν προαίρεση. Μὲ τοὺς τρόπους αὐτοὺς καὶ τοὺς λόγους γίνεται, λέγω, ἡ νέκρωση τῆς ἁμαρτίας μέσα στὴν προαίρεση ἢ τῆς προαίρεσης γιὰ τὴν ἁμαρτία. Ἀκόμα εἶναι φυσικὸ νὰ γίνεται ἡ ἀνάσταση τῆς ἀρετῆς στὴν προαίρεση ἢ τῆς προαίρεσης κατὰ τὴν ἀρετή, καὶ ἔχοντας πρόδηλα κατὰ τὸν αἰώνα τοῦτο (ποὺ ἡ Γραφὴ τὸν εἶπε καιρὸ) τὰ παθήματα στὸ ὄνομα τοῦ Χριστοῦ, ἤτοι γιὰ χάρη τοῦ Χριστοῦ, ποὺ τοὺς προανήγγειλε τὸ ἅγιο Πνεῦμα, γιὰ νὰ γίνουν σύμφυτοι μὲ τὸ Χριστὸ στὸ ὁμοίωμα τοῦ θανάτου κατὰ τὴ νέκρωση τῆς ἁμαρτίας καὶ στὴν ἀνάστασή του κατὰ τὴν ἐνέργεια τῆς ἀρετῆς.

Πρέπει δηλαδὴ στ' ἀλήθεια αὐτὸς ποὺ θὰ σωθεῖ νὰ μὴ νεκρώσει μόνο μὲ τὴν προαίρεσή του τὴν ἁμαρτία, ἀλλὰ καὶ τὴν ἴδια τὴν προαίρεσή του γιὰ τὴν ἁμαρτία, καὶ ἐπίσης νὰ μὴν ἀναστήσει μόνο τὴν προαίρεση γιὰ τὴν ἀρετή, ἀλλὰ καὶ τὴν ἴδια τὴν ἀρετὴ μὲ τὴν προαίρεση, ὥστε νεκρὴ αὐτὴ καὶ χωρισμένη ἀπὸ τὴ νεκρὴ ἁμαρτία νὰ μὴν αἰσθάνεται πιά, καὶ ζωντανὴ ὁλόκληρη ἡ προαίρεση νὰ νιώθει ζωντανὴ ὅλη τὴν ἀρετὴ σ' ἕνωση ἀδιάσπαστη μαζί της.

Αὐτὰ ἴσως πρῶτα ζήτησαν κι ἐρεύνησαν μὲ τὴ δύναμη τοῦ ἁγίου Πνεύματος οἱ ἅγιοι καὶ κατόρθωσαν τὴν πρακτικὴ φιλοσοφία. Κι ἔπειτα ἀπὸ αὐτή, ἀφοῦ πιὰ ἔγιναν καθαροὶ κι ἐλεύθεροι ἀπὸ κάθε μολυσμό, ἔστρεψαν τὸ νοερὸ βλέμμα τῆς ψυχῆς μὲ τὴ δύναμη τοῦ ἴδιου τοῦ Πνεύματος πρὸς τὸ τέλος τῶν

μετὰ τὴν προαιρετικὴν ἀνάστασιν καὶ τὴν τῆς φύσεως ἀφθαρσίαν καὶ ἐξερευνῶντες τούς τε τρόπους καὶ τοὺς λόγους τῆς κατ' αὐτὴν θεοπρεποῦς ἀθανασίας. Οὐ γὰρ ἐζήτουν ἔτι τὴν ἀνάστασιν τῆς προαιρέσεως, ἣν ἤδη κατὰ τὴν πρακτικὴν λαβόντες εἶχον παρὰ τοῦ Πνεύματος, οὐδὲ τοὺς κατ' αὐτὴν ἠρεύνων τρόπους, ἀλλ' ἣν οὐκ εἶχον τῆς φύσεως ἐξεζήτουν ἀφθαρσίαν καὶ τοὺς τρόπους καὶ τοὺς λόγους τῆς κατ' αὐτὴν ἐξηρεύνων θεώσεως, πρὸς ἣν ἠπείγοντο, τῆς κατ' αὐτὴν ἐν Χριστῷ δόξης ἐπιθυμοῦντες, ἵνα, ὥσπερ συνέπαθον αὐτῷ κατὰ τὸν αἰῶνα τοῦτον (ὄν, ὡς ἔφην, καιρὸν ὠνόμασεν ὁ Λόγος), οὕτω καὶ συνδοξασθῶσι κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, κληρονόμοι μὲν ὑπὲρ φύσιν Θεοῦ κατὰ τὴν χάριν, συγκληρονόμοι δὲ Χριστοῦ κατ' οἰκονομίαν, τῇ δυνάμει τῆς ἐνανθρωπήσεως, τὴν ὅλην οἰκειουμένου φύσιν, γινόμενοι.

Θεὸς γὰρ ὑπάρχων φύσει καὶ ἄνθρωπος ὁ Χριστός, ὑφ' ἡμῶν ὡς Θεὸς ὑπὲρ φύσιν χάριτι κληρονομεῖται, κατὰ τὴν ἄρρητον μέθεξιν, καὶ δι' ἡμᾶς ἐν εἴδει τῷ καθ' ἡμᾶς ὡς ἄνθρωπος ἡμᾶς οἰκειούμενος, ἑαυτὸν κληρονομεῖ σὺν ἡμῖν, κατὰ τὴν ἀνεννόητον συγκατάβασιν, ὃν τῷ Πνεύματι μυστικῶς οἱ ἅγιοι προθεωρήσαντες, ἐδιδάχθησαν ὡς χρὴ τῆς κατὰ τὸ μέλλον φανησομένης διὰ τὴν ἀρετὴν ἐν Χριστῷ δόξης, τὰ εἰς αὐτὸν ὑπὲρ ἀρετῆς κατὰ τὸ παρὸν προκαθηγεῖσθαι παθήματα. «Ἐρευνῶντες», γάρ φησιν, «εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ, προμαρτυρούμενον τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας».

Οὐκοῦν καὶ ἐξεζήτουν καὶ ἐξηρεύνων, οὐ μόνον τὴν ἀφθαρσίαν τῆς φύσεως καὶ τοὺς λόγους τῆς κατ' αὐτὴν ἐκθεώσεως, ἀλλὰ δὴ καὶ τὸν καιρόν, καθ' ὃν ἡ διὰ παθημάτων ὑπὲρ

ὄντων ἐπιδιώκοντας μετὰ τὴν ἀνάσταση τῆς προαίρεσής τους καὶ τὴν ἀφθαρσία τῆς φύσης, καὶ ἐξερευνώντας τόσο τοὺς τρόπους ὅσο καὶ τοὺς λόγους τῆς ἴδιας τῆς ἀθανασίας. Γιατὶ δὲ ζητοῦσαν πιὰ τὴν ἀνάσταση τῆς προαίρεσης, ποὺ ἤδη τὴν εἶχαν λάβει κατὰ τὸ πρακτικὸ στάδιο ἀπὸ τὸ Πνεῦμα, οὔτε ἐρευνοῦσαν τοὺς κατάλληλους γι' αὐτὴν τρόπους, παρὰ ἀναζητοῦσαν τὴν ἀφθαρσία ποὺ δὲν εἶχαν τῆς φύσης κι ἐξερευνοῦσαν τοὺς τρόπους καὶ τοὺς λόγους ποὺ ἀπαιτοῦνταν γιὰ τὴν ἴδια τὴ θέωσή τους. Καὶ βιάζονταν πρὸς τὴ θέωση ἐπιθυμώντας τὴν ἴδια τὴ δόξα τοῦ Χριστοῦ, ὥστε, ὅπως συνέπαθαν μὲ τὸ Χριστὸ σὲ τοῦτον τὸν αἰώνα (πού, ὅπως εἶπα, ἡ Γραφὴ τὸν ὀνόμασε καιρό), νὰ συνδοξαστοῦν κατὰ τὸν μελλοντικὸ αἰώνα καὶ νὰ γίνουν κατὰ χάρη κληρονόμοι τοῦ Θεοῦ πάνω ἀπὸ τὴ φύση τους καὶ κατ' οἰκονομία συγκληρονόμοι τοῦ Χριστοῦ, ποὺ μὲ τὴ δύναμη τῆς ἐνανθρώπησής του οἰκειώνεται ὅλη τὴ φύση.

Ἐπειδὴ δηλαδὴ εἶναι κατὰ τὴ φύση Θεὸς καὶ ἄνθρωπος ὁ Χριστός, τὸν κληρονομοῦμε ἐμεῖς ὡς Θεὸ πάνω ἀπὸ τὴ φύση μας, κατὰ τὴν ἀνέκφραστη μέθεξή του, καὶ γιὰ χάρη μας μὲ τὴ δική μας μορφή, ὡς ἄνθρωπος κάνοντας δική του τὴ φύση μας, κληρονομεῖ μαζί μας τὸν ἑαυτό του σύμφωνα μὲ τὴν ἀκατανόητη συγκατάβασή του. Προθεωρώντας τον οἱ ἅγιοι μυστικὰ μὲ τὴ χάρη τοῦ Πνεύματος, διδάχτηκαν ὅτι πρέπει νὰ προηγηθοῦν κατὰ τὸ παρὸν τὰ παθήματα γιὰ χάρη τῆς ἀρετῆς στὸ ὄνομά του ἀπὸ τὴ δόξα μέσα στὸ Χριστὸ ποὺ χάρη στὴν ἀρετὴ θὰ φανερωθεῖ στὸ μέλλον. Γιατὶ λέει, «ἐρευνώντας ποιό καὶ τί λογῆς καιρὸ δήλωνε τὸ Πνεῦμα τοῦ Χριστοῦ ποὺ μιλοῦσε μέσα τους, προβεβαιώνοντας τὰ παθήματα γιὰ χάρη τοῦ Χριστοῦ καὶ τὶς δόξες ποὺ ἀκολουθοῦν»[16].

Ἐκζητοῦσαν καὶ ἐξερευνοῦσαν λοιπὸν ὄχι μονάχα τὴν ἀφθαρσία τῆς φύσης καὶ τοὺς λόγους τῆς κατ' αὐτὴν ἐκθέωσης, ἀλλὰ βέβαια καὶ τὸν καιρὸ κατὰ τὸν ὁποῖο θὰ γίνει ἡ δοκιμασία

16. Α' Πέτρ. 1,11.

αὐτῆς δοκιμασία γενήσεται, φανερὰν ποιουμένη τῶν τε κατὰ ἀλήθειαν αὐτῆς ἐφιεμένων τὴν διάθεσιν καὶ τῶν καθ' ὑπόκρισιν αὐτῆς ἐφιεμένων τὴν πρόθεσιν, καὶ τὸν ἄλλον καιρόν, ἤγουν αἰῶνα, καθ' ὃν παροῦσα φανήσεται κατ' ἐνέργειαν. Πάντας ἀναλόγως, καθ' ὃ ἕκαστός ἐστιν αὐτῆς δεκτικός, μεταποιοῦσα πρὸς τὴν θείαν ὁμοίωσιν, ἣν δόξαν τυχὸν τοῖς ὑπὲρ ἀρετῆς μεθεπομένην πόνοις προσεῖπεν ὁ λόγος.

Ταῦτα μὲν ἐρεῖ τις ἀπολογούμενος πρὸς τὸν λέγοντα, 'Τί δή ποτε μὴ ζήτησιν καὶ ἐρεύνησιν, ἀλλ' ἐκζήτησιν ἐνταῦθα καὶ ἐξερεύνησιν εἶπεν ἡ Γραφή', κατὰ τὸν πρόχειρον νοῦν ἐμφαντικῶς προδεικνύμενος. Ἐγὼ δὲ καὶ ἄλλον οἶδα παρά τινος σοφοῦ λόγον ἀκούσας· ἔλεγε γὰρ ἐκεῖνος, μυστικώτερον τὸν περὶ τῆς ἀρχῆς καὶ τοῦ τέλους τῆς τε ζητήσεως καὶ ἐκζητήσεως λόγον ποιούμενος, πρὸς μὲν τὴν ἀρχὴν τετάχθαι φυσικῶς τὴν ζήτησιν, πρὸς δὲ τὸ τέλος τὴν ἐκζήτησιν. Οὐ γάρ τις φυσικῶς ἐκζητεῖ τὴν ἀρχήν, ὥσπερ οὐδὲ ζητεῖ φυσικῶς τὸ τέλος, ἀλλὰ τὴν μὲν ἀρχὴν ζητεῖ, τὸ δε τέλος ἐκζητεῖ. Ἀφ' οὗ γάρ, ἔφασκεν, ἅμα τῷ εἶναι διὰ τῆς παρακοῆς τὴν οἰκείαν ἀρχὴν ὀπίσω ποιήσας ὁ ἄνθρωπος, ζητεῖν οὐκ ἠδύνατο τὸ κατόπιν αὐτοῦ γεγενημένον· καὶ ἐπειδὴ φυσικῶς ἡ ἀρχὴ περιγράφει τῶν ὑπ' αὐτῆς γεγενημένων τὴν κίνησιν, εἰκότως προσηγορεύθη καὶ τέλος, εἰς ὅπερ ὡς αἰτίαν τῆς τῶν κινουμένων κινήσεως δέχεται πέρας ὁ δρόμος.

Ἐκζητῶν οὖν τὸ ἑαυτοῦ τέλος ὁ ἄνθρωπος, εἰς τὴν ἀρχὴν καταντᾷ, φυσικῶς ἐν τῷ τέλει τυγχάνουσαν, ἧς ἀπολιπὼν τὴν ζήτησιν, τὴν αὐτῆς ὡς τέλους φύσει μετῆλθεν ἐκζήτησιν. Οὐ γὰρ ἦν αὐτῆς διαφυγεῖν τὴν περιγραφήν, πανταχόθεν αὐτὸν περιϊσταμένην καὶ τὴν αὐτοῦ περιορίζουσαν κίνησιν. Οὐκ ἦν οὖν ζητῆσαι τὴν ἀρχήν, ὡς ἔφην, ὀπίσω γεγενημένην, ἀλλ' ἐκζητῆσαι τὸ τέλος ἔμπροσθεν ὑπάρχον, ἵνα γνῷ διὰ τοῦ τέλους τὴν ἀπολειφθεῖσαν ἀρχήν, ἐπειδὴ μὴ ἔγνω τὸ τέλος ἐκ τῆς ἀρχῆς.

τῶν παθημάτων γιὰ χάρη μας, ποὺ φανερώνει τὴ διάθεση αὐτῶν ποὺ τὴν ποθοῦν ἀληθινὰ καὶ τὴν πρόθεση ἐκείνων ποὺ τὴν ἐπιθυμοῦν ὑποκριτικά. Καὶ τὸν ἄλλο καιρό, δηλαδὴ τὸν αἰώνα, ὁπότε θὰ φανερωθεῖ παρούσα καὶ ἐνεργός, ἡ θέωση δηλαδὴ ἡ κατὰ χάρη. Τοὺς μεταποιεῖ ὅλους στὴν θεία ὁμοίωση ἀνάλογα μὲ τὸ πόσο μπορεῖ νὰ τὴ δεχτεῖ ὁ καθένας, τὴν ὁποία ἴσως εἶπε ἡ Γραφὴ δόξα ποὺ ἀκολουθεῖ τοὺς κόπους γιὰ χάρη τῆς ἀρετῆς.

Αὐτὰ θὰ πεῖ κανένας σὲ ἀπολογία του πρὸς αὐτὸν ποὺ ρωτάει, γιατί ἐδῶ ἡ Γραφὴ δὲν εἶπε ζήτηση καὶ ἐρεύνηση, ἀλλὰ «ἐκζήτηση» καὶ «ἐξερεύνηση», μιλώντας χαρακτηριστικὰ κατὰ ἕνα πρόχειρο νόημα. Ἐγὼ ὅμως ἄκουσα ἀπὸ κάποιον σοφὸ καὶ ξέρω καὶ μιὰ ἄλλη ἐκδοχή. Ἐκεῖνος δηλαδὴ μιλώντας δυατύπωσε μυστικότερο τὸ λόγο γιὰ τὴν ἀρχὴ καὶ τὸ τέλος καὶ γιὰ τὴ ζήτηση καὶ τὴν ἐκζήτηση· ὅτι ἡ ζήτηση ἔχει φυσικὴ θέση στὴν ἀρχή, ἐνῶ ἡ ἐκζήτηση στὸ τέλος. Γιατὶ δὲν ἐκζητεῖ κανένας φυσικὰ τὴν ἀρχή, ὅπως οὔτε ζητεῖ φυσικῶς τὸ τέλος, ἀλλὰ ζητεῖ τὴν ἀρχὴ καὶ ἐκζητεῖ τὸ τέλος. Ἀφοῦ δηλαδή, ἔλεγε, ἀμέσως μὲ τὴν ὕπαρξή του ὁ ἄνθρωπος μὲ τὴν παρακοὴ ἔβαλε πίσω τὴν ἀρχή του, δὲν μποροῦσε νὰ ζητήσει αὐτὸ ποὺ εἶχε πάει πίσω του. Καὶ ἐπειδὴ ἡ ἀρχὴ φυσικῶς περιγράφει τὴν κίνηση ὅσων αὐτὴ ἔχει κάνει, ὀνομάστηκε εὔλογα καὶ τέλος, στὸ ὁποῖο ὡς αἰτία τῆς κίνησης ὅσων κινοῦνται δέχεται ὁ δρόμος τὸ τέλος του.

Ἐκζητώντας λοιπὸν ὁ ἄνθρωπος τὸ τέλος του καταλήγει στὴν ἀρχή, ποὺ βρίσκεται κατὰ φυσικὸ λόγο στὸ τέλος, καὶ ἂν παραιτηθεῖ ἀπὸ τὴ ζήτησή της, ἐπιχειρεῖ φυσικῶς τὴν ἐκζήτησή της ὡς τέλος. Γιατὶ δὲν ἦταν δυνατὸ νὰ διαφύγει τὴν περιγραφή της, ἔχοντάς τον τριγυρισμένο ἀπὸ παντοῦ καὶ περιορίζοντας τὴν κίνησή του. Ἐπομένως δὲν ἦταν δυνατὸ νὰ ζητήσει, ὅπως εἶπα, τὴν ἀρχὴ ποὺ εἶχε βρεθεῖ πίσω, ἀλλὰ νὰ ἐκζητήσει τὸ τέλος ποὺ βρίσκεται ἐμπρός, γιὰ νὰ ἀντιληφθεῖ μέσω τοῦ τέλους τὴν ἀρχὴ ποὺ ἔμεινε πίσω, ἀφοῦ δὲν κατάλαβε τὸ τέλος ἀπὸ τὴν ἀρχή.

Καὶ τοῦτο τυχὸν ὁ σοφὸς μυσταγωγῶν Σολομῶν, φησί· «τί τὸ γεγενημένον; Αὐτὸ τὸ γενησόμενον». Καί, «τί τὸ πεποιημένον; Αὐτὸ τὸ ποιηθησόμενον», ὡσανεὶ σοφῶς τὴν ἀρχὴν ἐκ τοῦ τέλους δεικνύς. Οὐκ ἔτι γὰρ μετὰ τὴν παράβασιν δείκνυται τὸ τέλος ἐκ τῆς ἀρχῆς, ἀλλ' ἡ ἀρχὴ ἐκ τοῦ τέλους· οὐδὲ ζητεῖ τις τοὺς τῆς ἀρχῆς λόγους, ἀλλ' ἐκζητεῖ τοὺς πρὸς τὸ τέλος τοὺς κινουμένους ἀπάγοντας.

Εἰ δέ τις ὅτι Πολλαχοῦ τῆς Γραφῆς ἡ ζήτησις εἴρηται, ὡς τό, «ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν», καὶ «ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ», βεβαίαν οὐχ ἡγεῖται ταύτην τὴν ἔννοιαν, αὐτόθεν ἔχει νουνεχῶς ἐπισκήπτων τῶν λεχθέντων τὴν πίστωσιν· εἰπὼν γὰρ ὁ Λόγος, «ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν», ἐν τῷ τέλει τὴν ἀρχὴν διῶξαι παρηγγύησε. Καὶ τὴν βασιλείαν ἀρχὴν οὖσαν, διὰ τῆς δικαιοσύνης ὡς τέλους τῆς βασιλείας ἐκζητῆσαι παρεκελεύσατο. Βασιλεία γὰρ Θεοῦ, πρὸ πάσης ἐστὶ δικαιοσύνης, μᾶλλον δὲ κυριώτερον εἰπεῖν, αὐτοδικαιοσύνη, πρὸς ἣν ὡς τέλος ἐπείγεται πᾶσα σπουδαίου κίνησις. Ἡ γὰρ δικαιοσύνη ἐστὶν ἡ τοῦ ἴσου κατ' ἀξίαν ἑκάστῳ διανέμησις, βασιλεία δὲ ἔννομός ἐστιν ἐπιστασία. Ἄρα ταυτὸν τῇ βασιλείᾳ ἡ δικαιοσύνη, δι' ἧς ὡς τέλους ὁδεύειν τοῖς βουλομένοις ἐστὶν εὐμαρές, ὡς πρὸς ἀρχὴν τὴν βασιλείαν. Δικαιοσύνη γάρ ἐστι βασιλεία ἐνεργουμένη, καὶ βασιλεία δικαιοσύνη ἐστὶ δι' ἔργων κεκυρωμένη· τὸ γὰρ ἐννόμως ἐπιστατεῖν τοῖς οὖσι, διανέμειν ἐστὶν ἑκάστῳ τὰ πρὸς ἀξίαν· καὶ τὸ διανέμειν ἑκάστῳ τὰ πρὸς ἀξίαν, ἔννομός ἐστι τῶν ὄντων ἐπιστασία. Οὐκοῦν, οὐδὲν τῆς κατὰ νοῦν τῆς ἁγίας Γραφῆς ὁμαλότητος ἡ κατὰ τὴν λέξιν διαφορὰ παρεσάλευσε, παρὰ τοῖς σοφοῖς δηλαδὴ τῶν θείων νοήμοσιν.

Καὶ ἴσως αὐτὸ μᾶς διδάσκει ὁ σοφὸς Σολομὼν λέγοντας «ποιό εἶναι αὐτὸ ποὺ ἔγινε; Εἶναι αὐτὸ ποὺ θὰ γίνει»[17]. Καὶ «ποιό εἶναι αὐτὸ ποὺ ἔχομε κάνει; Αὐτὸ τὸ ἴδιο ποὺ θὰ κάνομε»[17], δείχνοντας, σὰν σοφὸς ποὺ ἦταν, τὴν ἀρχὴ ἀπὸ τὸ τέλος. Γιατὶ μετὰ τὴν παράβαση δὲν φανερώνεται πιὰ τὸ τέλος ἀπὸ τὴν ἀρχή, ἀλλὰ ἡ ἀρχὴ ἀπὸ τὸ τέλος. Οὔτε ζητεῖ κανένας τοὺς λόγους τῆς ἀρχῆς, ἀλλὰ ἐκζητεῖ τοὺς λόγους ποὺ ὁδηγοῦν ὅσους κινοῦνται πρὸς τὸ τέλος.

Κι ἂν κανένας δὲ θεωρεῖ βέβαιη τὴν ἔννοια ζήτηση, ἐπειδὴ ἀναφέρεται σὲ πολλὰ σημεῖα τῆς Γραφῆς ὅπως «ζήτησε εἰρήνη κι ἐπιδίωξέ την»[18], καὶ «ζητεῖτε πρῶτα τὴ βασιλεία τοῦ Θεοῦ καὶ τὴ δικαιοσύνη του»[19], ἔχει τὴ βεβαίωση ὅσων εἰπώθηκαν ἂν ἐξετάσει προσεκτικὰ αὐτὰ τὰ ἴδια τὰ λόγια. Γιατὶ λέγοντας ὁ Λόγος, «ζήτησε τὴν εἰρήνη καὶ ἐπιδίωξέ την», συμβούλεψε νὰ ἐπιδιώξομε τὴν ἀρχὴ μέσα στὸ τέλος. Καὶ τὴ βασιλεία, ποὺ εἶναι ἀρχή, πρόσταξε νὰ τὴν ἐκζητήσομε μὲ τὴ δικαιοσύνη ὡς τέλος τῆς βασιλείας. Ἡ βασιλεία δηλαδὴ τοῦ Θεοῦ βρίσκεται πρὶν ἀπὸ κάθε δικαιοσύνη, καί, γιὰ νὰ κυριολεκτήσω, εἶναι μᾶλλον αὐτοδικαιοσύνη καὶ σ' αὐτὴν ὡς τέλος κατευθύνεται ἡ κίνηση τοῦ κάθε σπουδαίου. Γιατὶ ἡ δικαιοσύνη εἶναι ἡ ἀπονομὴ στὸν καθένα τοῦ ἀνάλογου μὲ τὴν ἀξία του, ἐνῶ ἡ βασιλεία εἶναι ἡ ἔννομη διακυβέρνηση. Ἄρα ἡ δικαιοσύνη εἶναι τὸ ἴδιο μὲ τὴ βασιλεία καὶ μὲ αὐτὴν ὡς τέλος ποὺ εἶναι, γίνεται εὔκολο νὰ βαδίζουν ὅσοι θέλουν πρὸς τὴ βασιλεία ὡς ἀρχή. Δικαιοσύνη δηλαδὴ εἶναι βασιλεία ἐν ἐνεργείᾳ καὶ βασιλεία εἶναι δικαιοσύνη βεβαιωμένη μὲ ἔργα. Γιατὶ τὸ νὰ κυβερνᾶ κανεὶς μὲ τὸ νόμο τοὺς ἀνθρώπους σημαίνει ν' ἀπονέμει στὸν καθένα ὅ,τι τοῦ ἀξίζει, καὶ ἡ ἀπονομὴ στὸν καθένα ὅ,τι τοῦ ἀξίζει εἶναι ἔννομη διακυβέρνηση. Ἑπομένως ἡ λεκτικὴ διαφορὰ δὲν κλόνισε καθόλου τὴ νοηματικὴ ὁμαλότητα τῆς ἁγίας Γραφῆς στοὺς σοφοὺς βέβαια γνῶστες τῶν θείων.

---

17. Ἐκκλ. 1,11,9. 18. Ψαλμ. 33,15. 19. Ματθ. 6,3.

Εἰ δὲ καθ' ἕτερον βούλοιτό τις ἐκδέχεσθαι τρόπον τήν τε ζήτησιν καὶ ἐρεύνησιν[13], καὶ τὴν ἐκζήτησιν καὶ τὴν ἐξερεύνησιν, εὑρήσει τὴν μὲν ζήτησιν καὶ τὴν ἐκζήτησιν περὶ τὸν νοῦν κινουμένας, τὴν δὲ ἐρεύνησιν καὶ τὴν ἐξερεύνησιν περὶ τὸν λόγον. Ζητεῖ γὰρ φυσικῶς ὁ νοῦς[14], ἐρευνᾷ δὲ κατὰ φύσιν ὁ λόγος. Ζήτησις γάρ ἐστιν, ἵν' ὡς ἐν ὅρῳ περιλαβὼν εἴπω, ἁπλῆ τοῦ νοὸς πρός τι γνωστὸν μετ' ἐφέσεως κίνησις· ἐρεύνησις δέ ἐστιν ἁπλῆ τοῦ λόγου περί τι γνωστὸν μετά τινος ἐννοίας διάκρισις. Ἐκζήτησις δέ ἐστιν ἡ κατ' ἐπιστήμην τοῦ νοὸς γνωστικὴ πρός τι γνωστὸν μετὰ ποιᾶς, ἤγουν τοιᾶσδε ἐφέσεως κίνησις· ἐξερεύνησις δέ ἐστιν ἡ τοῦ λόγου κατ' ἐνέργειαν περί τι γνωστὸν μετὰ ποιᾶς, ἤγουν τοιᾶσδε ἐννοίας διάκρισις, οὕς τινας ὅρους ἐπὶ τὰ θεῖα μεταφέροντες, φαμέν, ὅτι ζήτησίς ἐστιν ἡ τοῦ νοῦ πρώτη τε καὶ ἁπλῆ πρὸς τὴν ἰδίαν αἰτίαν μετ' ἐφέσεως κίνησις, ἐρεύνησις δέ ἐστιν ἡ πρώτη καὶ ἁπλῆ τοῦ λόγου περὶ τὴν ἰδίαν αἰτίαν μετά τινος ἐννοίας διάκρισις. Ἐκζήτησις δὲ πάλιν ἐστὶν ἡ τοῦ νοῦ κατ' ἐπιστήμην γνωστικὴ πρὸς τὴν ἰδίαν αἰτίαν μετά τινος ζεούσης ἐφέσεως κίνησις, ἐξερεύνησις δέ ἐστιν ἡ τοῦ λόγου κατ' ἐνέργειαν τῶν ἀρετῶν περὶ τὴν ἰδίαν αἰτίαν μετά τινος ἔμφρονος καὶ σοφῆς ἐννοίας γινομένη διάκρισις.

Οὐκοῦν καὶ οἱ ἅγιοι προφῆται περὶ τῆς σωτηρίας τῶν ψυχῶν ἐζητήσαντές τε καὶ ἐξερευνήσαντες, διάπυρον εἶχον καὶ ζέουσαν μετ' ἐπιστήμης καὶ γνώσεως πρὸς τὸν Θεὸν τὴν τοῦ νοῦ κατ' ἔφεσιν κίνησιν, καὶ ἔμφρονα καὶ σοφὴν τὴν τοῦ λόγου κατὰ τὴν ἐνέργειαν τῶν θείων διάκρισιν, οὕς οἱ μιμούμενοι μετὰ γνώσεως καὶ ἐπιστήμης τὴν τῶν ψυχῶν ἐκζητοῦσι σωτηρίαν, καὶ μετὰ φρονήσεως καὶ σοφίας ἐξερευνῶντες, μετέρχονται τὴν ἐν τοῖς θείοις ἔργοις διάκρισιν.

ΣΧΟΛΙΑ

11 Οὔτε ἡ θεία χάρις, φησίν, ἐνεργεῖ φωτισμοὺς γνώσεως, οὐκ ὄντος τοῦ κατὰ δύναμιν φυσικὴν δεχομένου τὸν φωτι-

Ἂν ὅμως κάποιος θέλει νὰ δεχτεῖ μὲ ἄλλο νόημα τὶς ἔννοιες ζήτηση κι ἐρεύνηση, ἐκζήτηση κι ἐξερεύνηση, θὰ βρεῖ τὴ ζήτηση καὶ τὴν ἐκζήτηση ν' ἀναφέρονται στὸ νοῦ, καὶ τὴν ἐρεύνηση κι ἐξερεύνηση στὸ λόγο. Γιατὶ ζητεῖ ὁ νοῦς φυσικῶς καὶ πάλι φυσικῶς ἐρευνᾶ ὁ λόγος. Ζήτηση δηλαδὴ εἶναι, γιὰ νὰ κλείσω τὴ σκέψη μου σ' ἕνα ὁρισμό, μία ἁπλὴ κίνηση τοῦ νοῦ πρὸς κάτι ποὺ μπορεῖ νὰ γνωστεῖ, συνοδευόμενη ἀπὸ ἐπιθυμία, ἐνῶ ἐρεύνηση εἶναι ἁπλὴ ἐννοιολογικὴ διάκριση τοῦ λόγου γιὰ κάτι ποὺ μπορεῖ νὰ γνωστεῖ. Ἐκζήτηση πάλι εἶναι ἡ μὲ ἐπιστήμη γνωστικὴ κίνηση τοῦ νοῦ πρὸς κάτι ποὺ μπορεῖ νὰ γνωστεῖ μὲ κάποια, δηλαδὴ τέτοιου εἴδους ἐπιθυμία, ἐνῶ ἐξερεύνηση εἶναι ἡ ἐνεργὸς διάκριση τοῦ λόγου σχετικὰ μὲ κάτι ποὺ μπορεῖ νὰ γνωστεῖ μὲ κάποια, δηλαδὴ μ' ἑνὸς εἴδους ἔννοια. Μεταφέροντας τοὺς ὁρισμοὺς αὐτοὺς στὰ θεῖα λέμε ὅτι ζήτηση εἶναι ἡ πρώτη κι ἁπλὴ κίνηση τοῦ νοῦ πρὸς τὴν ἴδια του αἰτία συνοδευόμενη μ' ἐπιθυμία, ἐνῶ ἐρεύνηση εἶναι ἡ πρώτη κι ἁπλὴ τοῦ λόγου διάκριση μὲ κάποια ἔννοια γιὰ τὴν ἴδια του αἰτία. Ἐκζήτηση πάλι εἶναι ἡ μ' ἐπιστήμη γνωστικὴ κίνηση τοῦ νοῦ πρὸς τὴν ἴδια του αἰτία μὲ κάποια ὁλόθερμη ἐπιθυμία, ἐνῶ ἐξερεύνηση εἶναι ἡ ἐνεργὸς διάκριση τῶν ἀρετῶν ποὺ κάνει ὁ λόγος σχετικὰ μὲ τὴν ἴδια του αἰτία, συνοδευόμενη ἀπὸ κάποια λογικὴ καὶ σαφὴ ἔννοια.

Καὶ οἱ ἅγιοι λοιπόν, ἀφοῦ ἐκζήτησαν κι ἐξερεύνησαν γιὰ τὴ σωτηρία τῶν ψυχῶν, εἶχαν διάπυρη καὶ φλογερὴ πρὸς τὸ Θεὸ τὴν ἑκούσια κίνηση τοῦ νοῦ μ' ἐπιστήμη καὶ γνώση καὶ λογικὴ ἐπίσης καὶ σοφὴ τὴ διάκριση τοῦ λόγου καὶ τὴν ἐνέργεια τῶν θείων. Αὐτοὺς ὅποιοι τοὺς μιμοῦνται μὲ γνώση κι ἐπιστήμη ἐκζητοῦν τὴ σωτηρία τῶν ψυχῶν κι ἐξερευνώντας μὲ φρόνηση καὶ σοφία ἀσκοῦν τὴ διάκριση στὰ θεῖα ἔργα.

ΣΧΟΛΙΑ

1. Οὔτε ἡ θεία χάρη, λέει, ἐνεργεῖ φωτισμοὺς γνώσης, ἂν δὲν ὑπάρχει ἐκεῖνο ποὺ ἀπὸ φυσικὴ ἱκανότητά του δέχεται τὸ

σμόν, οὔτε μὴν τὸ δεκτικὸν δίχα τῆς χορηγούσης χάριτος τὸν φωτισμὸν ἐνεργεῖ γνώσεως.

2 *Ὁ δίχα πάθους αἰτῶν, λαμβάνει τὴν τοῦ ἐνεργεῖν δύνασθαι χάριν κατὰ τὴν πρᾶξιν τὰς ἀρετάς, καὶ ὁ ζητῶν ἀπαθῶς εὑρίσκει κατὰ τὴν φυσικὴν θεωρίαν τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν, καὶ ὁ κρούων ἀπαθῶς τὴν θύραν τῆς γνώσεως, ἀκωλύτως εἰς τὴν ἀπόκρυφον τῆς μυστικῆς θεολογίας εἰσελεύσεται χάριν.*

3 *Ὁ νοῦς σοφίας ὄργανον, φησίν, ὁ λόγος γνώσεως, ἡ κατ' ἄμφω πληροφορία, τῆς κατ' ἄμφω συνισταμένης πίστεως, τοῦ δὲ τῶν ἰαμάτων χαρίσματος, ἡ φυσικὴ φιλανθρωπία. Πᾶν γὰρ χάρισμα θεῖον ἐπιτήδειον ἐν ἡμῖν ἔχει καὶ προσφυὲς ὥσπερ δύναμιν ἢ διάθεσιν ὄργανον δεκτικόν. Οἷον ὁ τὸν νοῦν πάσης αἰσθητῆς φαντασίας ποιήσας καθαρόν, δέχεται σοφίαν· ὁ δὲ τὸν λόγον τῶν ἐμφύτων παθῶν, θυμοῦ λέγω καὶ ἐπιθυμίας, καταστάσας Δεσπότην, δέχεται γνῶσιν· ὁ δὲ τὴν κατὰ νοῦν καὶ λόγον περὶ τὸ Θεῖον ἀσάλευτον πληροφορίαν ἔχων, τὴν πάντα δυναμένην δέχεται πίστιν· ὁ δὲ τὴν φυσικὴν κατορθώσας φιλανθρωπίαν, μετὰ τὴν τελείαν τῆς φιλαυτίας ἀναίρεσιν, ἰαμάτων δέχεται χαρίσματα.*

4 *Τὸ αἰσθητὸν φῶς δῆλον ὅτι.*

5 *Τὸ πνευματικὸν φῶς δῆλον ὅτι.*

6 *Τῶν πρὸς Θεὸν δηλονότι κινουμένων.*

7 *Ὁ τοῦ εἶναι λόγος τὸν Θεὸν ὡς ἀρχὴν φυσικὴν ἐπιφέρεται, φησίν, καὶ ὁ τοῦ εὖ εἶναι λόγος, τὸν Θεὸν ὡς τέλος, πρὸς ὃν ἐπείγεται γνωμικῶς πᾶς ὁ τὴν ἔφεσιν εἰς Θεὸν ἀναπλάσαι γλιχόμενος, ὧν ἑνότης ἐστίν, ὁ τοῦ εὖ εἶναι λόγος κατὰ χάριν παραγινόμενος καὶ τὸν Θεὸν ἐπιφερόμενος, τὸν πάσης ἀρχῆς καὶ τέλους κατὰ φύσιν ἀνώτερον, ποιοῦντα τοὺς ἀρχὴν ἔχοντας κατὰ φύσιν καὶ τέλος ἀνάρχους κατὰ χάριν καὶ ἀτελευτήτους.*

φωτισμό. Οὔτε ὅμως ἡ δεκτικότητα ἐνεργεῖ τὸ φωτισμὸ τῆς γνώσης χωρὶς τὴ χάρη ποὺ τὸν χορηγεῖ.

2. Ὅποιος ζητεῖ χωρὶς κανένα πάθος δέχεται τὴ χάρη νὰ μπορεῖ νὰ ἐνεργεῖ στὴν πράξη τὶς ἀρετές. Ὅποιος ἐπίσης ζητεῖ μὲ ἀπάθεια βρίσκει κατὰ τὴ φυσικὴ θεώρηση τὴν ἀλήθεια τῶν ὄντων. Κι ὅποιος κρούσει μὲ ἀπάθεια τὴ θύρα τῆς γνώσης, θὰ εἰσέλθει ἀκώλυτα στὴν ἀπόκρυφη χάρη τῆς μυστικῆς θεολογίας.

3. Ὁ νοῦς εἶναι ὄργανο τῆς σοφίας, ὁ λόγος ὄργανο γνώσης, ἡ πληροφορία καὶ στὰ δύο εἶναι ἡ πίστη ποὺ συνίσταται κι ἀπὸ τὰ δύο, καὶ τὸ ὄργανο τοῦ χαρίσματος τῶν ἰαμάτων εἶναι ἡ φυσικὴ φιλανθρωπία. Γιατὶ γιὰ κάθε χάρισμα θεῖο ὑπάρχει μέσα μας τὸ κατάλληλο καὶ πρόσφορο ὄργανο σὰν δύναμη ἢ διάθεση. Γιὰ παράδειγμα· ὅποιος καθάρισε τὸ νοῦ του ἀπὸ κάθε αἰσθητὴ φαντασία δέχεται τὴ σοφία· ὅποιος ἔκανε τὸ λόγο κύριο τῶν ἔμφυτων παθῶν, ἐννοῶ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας, δέχεται τὴ γνώση. Ὅποιος ἔχει τὴν ἀσάλευτη πληροφορία καὶ στὸ νοῦ καὶ στὸ λόγο γύρω ἀπὸ τὴ θεότητα, δέχεται τὴν πίστη ποὺ τὰ πάντα μπορεῖ· κι ὅποιος κατόρθωσε τὴ φυσικὴ φιλανθρωπία, ἔπειτα ἀπὸ τὴν τέλεια ἐξόντωση τῆς φιλαυτίας, δέχεται τὰ χαρίσματα τῶν ἰάσεων.

4. Εἶναι φανερὸ ὅτι μιλᾶ γιὰ τὸ αἰσθητὸ φῶς.

5. Καὶ πάλι εἶναι φανερὸ ὅτι μιλάει γιὰ τὸ πνευματικὸ φῶς.

6. Ὅσων δηλαδὴ κινοῦνται πρὸς τὸ Θεό.

7. Ὁ λόγος τοῦ εἶναι δέχεται, λέει, τὸ Θεὸ ὡς φυσικὴ ἀρχὴ καὶ ὁ λόγος τῆς μακαριότητας δέχεται τὸ θεῖο ὡς τέλος καὶ σ' αὐτὸν σπεύδει μὲ τὴ θέλησή του ὅποιος λαχταρᾶ νὰ ἀναπλάσει τὸν πόθο του μὲ τὴ χάρη τοῦ Θεοῦ. Καὶ οἱ δύο ἑνωμένοι ἀποτελοῦν τὸ λόγο τῆς μακαριότητας ποὺ ἔρχεται κατὰ χάρη καὶ φέρνει τὸ Θεὸ τὸν πάνω ἀπὸ κάθε ἀρχὴ καὶ τέλος κατὰ τὴ φύση ποὺ κάνει αὐτούς, ποὺ ἀπὸ τὴ φύση τους ἔχουν ἀρχὴ καὶ τέλος, ἄναρχους καὶ ἀτελεύτητους.

8 *Ἡ κατὰ χάριν ἐν τῷ ποιῷ πρὸς θέωσιν μεταποίησις ἔκβασις τῶν ἀρχῇ τε καὶ τέλει φυσικῶς περιγεγραμμένων ἐστί.*

9 *Ἔμφασις μυστικὰ τῆς ἐσομένης κρίσεως ἀποδεικτική.*

10 *Πρῶτόν τις ζητεῖ, φησί, τῇ προαιρέσει νεκρῶσαι τὴν ἁμαρτίαν καὶ τὴν προαίρεσιν τῇ ἁμαρτίᾳ, καὶ οὕτως ἐρευνᾷ πῶς δεῖ καὶ ποίῳ τρόπῳ νεκρῶσαι ταύτας ἀλλήλαις. Καὶ πάλιν μετὰ τὴν τούτων ἀλλήλαις τελείαν νέκρωσιν, ζητεῖ τὴν κατ' ἀρετὴν τῆς προαιρέσεως καὶ τῆς ἀρετῆς τὴν κατὰ προαίρεσιν ζωήν. Καὶ οὕτως ἐρευνᾷ, πῶς δεῖ καὶ ποίῳ τρόπῳ τὴν ἐν ἀλλήλαις τούτων δημιουργῆσαι ζωήν. Ἔστιν οὖν, ὡς ἐν ὁρισμῷ λαβεῖν, ἡ μὲν ζήτησις ὄρεξις καταθυμίου τινός, ἡ δὲ ἐρεύνησις τρόπος τῆς πρὸς τὸ καταθύμιον ὀρέξεως ἀνυστικός.*

11 *Ὁ νεκρώσας, φησί, τῇ ἁμαρτίᾳ τὴν προαίρεσιν, σύμφυτος γέγονε τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Χριστοῦ, καὶ ὁ ταύτην ἀναστήσας τῇ δικαιοσύνῃ, σύμφυτος γέγονε καὶ τῆς ἀναστάσεως αὐτοῦ.*

12 *Ἡ ἁμαρτία καὶ ἡ προαίρεσις, φησίν, ἀλλήλαις νεκρούμεναι, διπλῆν ἔχουσι πρὸς ἀλλήλας τὴν ἀναισθησίαν· καὶ ἡ δικαιοσύνη καὶ ἡ προαίρεσις ἐν ἀλλήλαις ἔχουσαι τὴν ζωήν, διπλῆν ἔχουσι τὴν αἴσθησιν.*

13 *Ἄλλη περὶ τῶν αὐτῶν θεωρία.*

14 *Ὁ μὲν νοῦς, φησί, κατὰ μόνην τὴν ἔφεσιν ἀγνώστως τῶν ὄντων αἰτίαν κινούμενος, ζητεῖ μόνον, ὁ δὲ λόγος τοὺς ἐν τοῖς οὖσιν ἀληθεῖς ποικίλως ἐφοδεύων ἐρευνᾷ λόγους.*

8. Ἡ κατὰ χάρη μεταποίηση τῆς ποιότητας γιὰ τὴ θέωσή μας εἶναι ἔξοδος ἀπὸ τὸν περιορισμὸ ἐκείνων ποὺ περιγράφονται φυσικῶς ἀπὸ τὴν ἀρχὴ καὶ τὸ τέλος.
9. Πρόκειται γιὰ μυστικὴ φανέρωση τῆς κρίσης ποὺ θὰ γίνει.
10. Τὸ πρῶτο ποὺ ζητεῖ κανένας εἶναι νὰ νεκρώσει τὴν ἁμαρτία μὲ τὴν προαίρεση καὶ τὴν προαίρεση πρὸς ἁμαρτία. Κι ἔτσι ἐρευνᾶ, πῶς πρέπει καὶ μὲ ποιό τρόπο νὰ νεκρώσει αὐτὲς τὴ μία μὲ τὴν ἄλλη. Καὶ πάλι ἔπειτα ἀπὸ τὴν τέλεια νέκρωσή τους τῆς μιᾶς μὲ τὴν ἄλλη, ζητεῖ τὴν ζωὴ τὴ σύμφωνη μὲ τὴν προαιρετικὴ ἀρετὴ καὶ τὴν ἐνάρετη προαίρεση. Καὶ μ' αὐτὸν τὸν τρόπο ἐρευνᾶ πῶς πρέπει καὶ μὲ ποιό τρόπο θὰ δημιουργήσει τὴ ζωὴ τῆς μιᾶς μέσα στὴν ἄλλη. Εἶναι λοιπόν, γιὰ νὰ τὸ ἐκφράσω μ' ἕνα ὁρισμό, ἡ ζήτηση ὄρεξη ἑνὸς ἐπιθυμητοῦ, ἐνῶ ἡ ἐρεύνηση τρόπος ποὺ διεκπεραιώνει τὴν ὄρεξη πρὸς κάτι τὸ ἐπιθυμητό. Ἡ ἐρεύνηση εἶναι ἕνας τρόπος ποὺ διεκτρανώνει τὴν ὄρεξη πρὸς ἕνα ἐπιθυμητό.
11. Ὅποιος νέκρωσε, λέει, τὴν προαίρεσή του γιὰ ἁμαρτία, ἔγινε σύμφυτος μὲ τὸ ὁμοίωμα τοῦ θανάτου τοῦ Χριστοῦ, κι ὅποιος ἀνέστησε τὴν προαίρεσή του γιὰ δικαιοσύνη, ἔγινε σύμφυτος μὲ τὸ ὁμοίωμα τῆς ἀνάστασής του.
12. Ἡ ἁμαρτία καὶ ἡ προαίρεση, λέει, μὲ τὴ νέκρωσή της ἡ μία γιὰ τὴν ἄλλη, ἔχουν διπλὴ τὴν ἀναισθησία μεταξύ τους. Καὶ ἡ δικαιοσύνη καὶ ἡ προαίρεση ὄντας ἡ μία ζωὴ τῆς ἄλλης, ἔχουν διπλὴ τὴν αἴσθηση.
13. Ἄλλη θεωρία γιὰ τὰ ἴδια.
14. Ὁ νοῦς, λέει, κινεῖται μὲ μόνη τὴν ἐπιθυμία χωρὶς νὰ γνωρίζει καὶ ζητεῖ μόνο τὴν αἰτία τῶν ὄντων, ἐνῶ ὁ λόγος μὲ τὴν πολυμήχανη ἔφοδό του ἐρευνᾶ τοὺς ἀληθινοὺς μέσα στὰ ὄντα λόγους.

ΕΡΩΤΗΣΙΣ Ξ'

«Ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ, προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτων τῶν χρόνων δι' ἡμᾶς». Ὑπὸ τίνος προεγνωσμένον;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ τοῦ Χριστοῦ μυστήριον, Χριστὸν ὁ τῆς Γραφῆς ὠνόμασε λόγος, καὶ μαρτυρεῖ σαφῶς οὑτωσὶ φάσκων ὁ μέγας Ἀπόστολος, «τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν γενεῶν, νῦν ἐφανερώθη», ταυτὸν λέγων δηλαδὴ τῷ Χριστῷ, τὸ κατὰ Χριστὸν μυστήριον· τοῦτο προδήλως ἐστὶν ἄρρητός τε καὶ ἀπερινόητος θεότητός τε καὶ ἀνθρωπότητος καθ' ὑπόστασιν ἕνωσις, εἰς ταυτὸν ἄγουσα τῇ θεότητι κατὰ πάντα τρόπον, τῷ τῆς ὑποστάσεως λόγῳ, τὴν ἀνθρωπότητα, καὶ μίαν ἀμφοτέρων ἀποτελοῦσα τὴν ὑπόστασιν σύνθετον, τῆς αὐτῶν κατὰ φύσιν οὐσιώδους διαφορᾶς μηδεμίαν καθοτιοῦν ἐπάγουσα μείωσιν, ὥστε καὶ μίαν αὐτῶν γενέσθαι, καθ' ὃ ἔφην, τὴν ὑπόστασιν, καὶ τὴν φυσικὴν διαφορὰν ἀπαθῆ διαμένειν, καθ' ἣν καὶ μετὰ τὴν ἕνωσιν ἀνελάττωτος αὐτῶν καὶ ἡνωμένων ἡ κατὰ φύσιν σώζεται ποσότης. Ὅπου γὰρ κατὰ τὴν ἕνωσιν οὐδὲν τὸ παράπαν τροπῆς ἢ ἀλλοιώσεως τοῖς ἑνωθεῖσι παρηκολούθησε πάθος, ἀκραιφνὴς ὁ κατὰ τὴν οὐσίαν ἑκατέρου τῶν ἡνωμένων διαμεμένηκε λόγος· ὧν δὲ ἀκραιφνὴς ὁ τῆς οὐσίας καὶ μετὰ τὴν ἕνωσιν διαμεμένηκε λόγος, τούτων ἀλώβητος κατὰ πάντα τρό-

---

1. Α' Πέτρ. 1,19,20.

ΕΡΩΤΗΣΗ 60

«Ἀλλὰ μὲ τὸ πολύτιμο αἷμα τοῦ Χριστοῦ, ποὺ θυσιάστηκε σὰν ἀμνὸς ἄμωμος καὶ ἄσπιλος, κι ἦταν βέβαια προορισμένος πρὶν ἀπὸ τὴ δημιουργία τοῦ κόσμου, ἀλλὰ φανερώθηκε γιὰ χάρη μας αὐτὰ τὰ τελευταῖα χρόνια»[1]. Προορισμένος ἀπὸ ποιόν;

ΑΠΟΚΡΙΣΗ

Τὸ μυστήριο τοῦ Χριστοῦ ὁ λόγος τῆς Γραφῆς τὸ ὀνόμασε Χριστὸ καὶ τὸ βεβαιώνει μὲ σαφήνεια ὁ μέγας Ἀπόστολος λέγοντας, «τὸ μυστικὸ σχέδιο, ποὺ ἦταν κρυμμένο ἀπὸ ὅλες τὶς γενεές, φανερώθηκε τώρα»[2], ἐννοώντας δηλαδὴ ὡς τὸν Χριστό, τὸ μυστικὸ σχέδιο μὲ τὸ Χριστό. Αὐτὸ εἶναι ὁλοφάνερα ἡ ἄρρητη καὶ ἀκατάληπτη ὑποστασιακὴ ἕνωση τῆς θεότητας καὶ τῆς ἀνθρωπότητας, ποὺ ὁδηγεῖ σὲ ταυτότητα πλήρη τὴν ἀνθρωπότητα μὲ τὴ θεότητα ἐξαιτίας τῆς ὑπόστασης καί, κάνοντας μία τὴν ὑπόσταση τὴ σύνθετη ἀπὸ τὰ δύο, χωρὶς ἡ φυσικὴ διαφορὰ τῆς οὐσίας τους νὰ προκαλέσει σ' αὐτὴν καμμιὰ μείωση σὲ ὁτιδήποτε. Ὥστε καὶ ἡ ὑπόστασή τους νὰ γίνει, ὅπως εἶπα, μία, καὶ ἡ φυσικὴ διαφορὰ νὰ μείνει ἀπαθής, στὴν ὁποία ὑπόσταση καὶ μετὰ τὴν ἕνωση ἡ κατὰ φύση ποιότητά τους διασώζεται ἀμείωτη καὶ ὅταν ἑνωθοῦν. Γιατί, ὅπου κατὰ τὴν ἕνωση δὲ συνοδεύει τὰ ἑνωμένα καμμιὰ ἀπολύτως τροπὴ καὶ καμμιὰ ἀλλοίωση, ὁ λόγος τῆς οὐσίας καθενὸς παραμένει γνήσιος κι ἀληθινός. Κι ὅποιων ὁ λόγος παραμένει γνήσιος κι ἀληθινὸς καὶ μετὰ τὴν ἕνωση, αὐτῶν οἱ φύσεις παραμένουν ἄθικτες μὲ

---

2. Κολ. 1,26.

που μεμενήκασιν αἱ φύσεις, μηδεμιᾶς τὸ σύνολον ἀρνησαμένης τὰ ἑαυτῆς διὰ τὴν ἕνωσιν.

Ἔπρεπε γὰρ τῷ ποιητῇ τῶν ὅλων καὶ γενομένῳ φύσει κατ' οἰκονομίαν ὅπερ οὐκ ἦν, καὶ ἑαυτὸν ὅπερ ἦν κατὰ φύσιν, καὶ ὅπερ γέγονε φύσει κατ' οἰκονομίαν, ἄτρεπτον διασώσασθαι. Θεῷ γὰρ οὐ πέφυκεν ἐνθεωρεῖσθαι τροπή, ᾧ μηδεμία καθάπαξ κίνησις ἐπινοεῖται, περὶ ἣν ὑπάρχει τοῖς κινουμένοις τὸ τρέπεσθαι. Τοῦτό ἐστι τὸ μέγα καὶ ἀπόκρυφον μυστήριον. Τοῦτό ἐστιν ὁ τῆς ἀρχῆς τῶν ὄντων προεπινοούμενος θεῖος σκοπός, ὃν ὁρίζοντες εἶναί φαμεν, «προεπινοούμενον τέλος, οὗ ἕνεκα μὲν πάντα, αὐτὸ δὲ οὐδενὸς ἕνεκα». Πρὸς τοῦτο τὸ τέλος ἀφορῶν, τὰς τῶν ὄντων ὁ Θεὸς παρήγαγεν οὐσίας. Τοῦτο κυρίως ἐστὶ τὸ τῆς προνοίας καὶ τῶν προνοουμένων πέρας, καθ' ὃ εἰς τὸν Θεὸν ἡ τῶν ὑπ' αὐτοῦ πεποιημένων ἐστὶν ἀνακεφαλαίωσις. Τοῦτό ἐστι τὸ πάντας περιγράφον τοὺς αἰῶνας καὶ τὴν ὑπεράπειρον καὶ ἀπειράκις ἀπείρως προϋπάρχουσαν τῶν αἰώνων μεγάλην τοῦ Θεοῦ βουλὴν ἐκφαῖνον μυστήριον, ἧς γέγονεν ἄγγελος αὐτὸς ὁ κατ' οὐσίαν τοῦ Θεοῦ Λόγος γενόμενος ἄνθρωπος, καὶ αὐτόν, εἰ θέμις εἰπεῖν, τὸν ἐνδότατον πυθμένα τῆς πατρικῆς ἀγαθότητος φανερὸν καταστήσας καὶ τὸ τέλος ἐν αὐτῷ δείξας, δι' ὃ τὴν πρὸς τὸ εἶναι σαφῶς ἀρχὴν ἔλαβον τὰ πεποιημένα. Διὰ γὰρ τὸν Χριστόν, ἤγουν τὸ κατὰ Χριστὸν μυστήριον, πάντες οἱ αἰῶνες καὶ τὰ ἐν αὐτοῖς τοῖς αἰῶσιν, ἐν Χριστῷ τὴν ἀρχὴν τοῦ εἶναι καὶ τὸ τέλος εἰλήφασιν. Ἕνωσις γὰρ προϋπενοήθη τῶν αἰώνων, ὅρου καὶ ἀοριστίας[1], καὶ μέτρου καὶ ἀμετρίας, καὶ πέρατος καὶ ἀπειρίας, καὶ κτίστου καὶ κτίσεως, καὶ στάσεως

κάθε τρόπο χωρὶς νὰ ἀρνηθεῖ καμμιὰ ἀπὸ αὐτὲς τὰ δικά της στοιχεῖα γιὰ χάρη τῆς ἕνωσης.

Γιατὶ ὁ ποιητὴς τῶν ὅλων, αὐτὸς ποὺ ἔγινε κατ' οἰκονομία αὐτὸ ποὺ δὲν ἦταν, ἔπρεπε νὰ διασώσει ἀμετάβλητο καὶ τὸν ἑαυτό του σὲ αὐτὸ ποὺ ἦταν ἀπὸ τὴ φύση του καὶ σὲ αὐτὸ ποὺ ἔγινε στὴ φύση κατ' οἰκονομία. Γιατὶ στὸ Θεὸ δὲν εἶναι φυσικὸ νὰ βλέπομε μεταβολή, γιὰ τὸν ὁποῖο δὲν μποροῦμε νὰ σκεφτοῦμε καμμιὰ ἀπολύτως κίνηση σχετικὰ μὲ τὴν ὁποία γίνεται ἡ μεταβολὴ σὲ ὅσα κινοῦνται. Αὐτὸ εἶναι τὸ μεγάλο κι ἀπόκρυφο μυστήριο. Αὐτὸ εἶναι τὸ μακάριο τέλος γιὰ τὸ ὁποῖο ἔχουν γίνει ὅλα. Αὐτὸς εἶναι ὁ θεῖος σκοπὸς ποὺ προεπινοήθηκε πρὶν ἀπὸ τὴν ἀρχὴ τῶν ὄντων, ποὺ ὁρίζοντάς τον μποροῦμε νὰ τὸν ποῦμε 'προεπινοούμενο τέλος', γιὰ χάρη τοῦ ὁποίου ἔγιναν τὰ πάντα κι αὐτὸ γιὰ χάρη κανενός. Σ' αὐτὸ τὸ τέλος ἀτενίζοντας δημιούργησε ὁ Θεὸς τὶς οὐσίες τῶν ὄντων. Αὐτὸ εἶναι κυρίως τὸ πέρας τῆς πρόνοιας καὶ ἐκείνων ποὺ ἡ πρόνοια προνοεῖ, σύμφωνα μὲ τὸ ὁποῖο γίνεται ἡ ἐπανασυναγωγὴ στὸ Θεὸ ὅλων τῶν ποιημάτων του. Αὐτὸ εἶναι τὸ μυστήριο ποὺ περικλείει ὅλους τοὺς αἰῶνες καὶ φανερώνει τὴν ὑπεράπειρη καὶ ποὺ ἄπειρες φορὲς ἀπείρως προϋπάρχει ἀπὸ τοὺς αἰῶνες μεγάλη βουλὴ τοῦ Θεοῦ[3], τῆς ὁποίας βουλῆς ἀγγελιοφόρος ἔγινε ὁ ἴδιος ὁ σύμφωνος μὲ τὴν οὐσία τοῦ Θεοῦ Λόγος ὅταν ἔγινε ἄνθρωπος[4], καὶ φανέρωσε, ἂν μοῦ ἐπιτρέπεται νὰ πῶ, τὸν ἴδιο τὸ βαθύτερο πυθμένα τῆς Πατρικῆς ἀγαθότητας κι ἔδειξε μέσα σ' αὐτὸν τὸ τέλος, ποὺ γιὰ χάρη του τὰ δημιουργήματα ἔλαβαν σαφῶς τὴν ἀρχὴ τῆς ὕπαρξής τους. Γιατὶ γιὰ τὸ Χριστό, δηλαδὴ γιὰ τὸ μυστήριο κατὰ Χριστό, ὅλοι οἱ αἰῶνες καὶ ὅλα ὅσα περιέχουν ἔχουν λάβει τὴν ἀρχὴ καὶ τὸ τέλος τοῦ εἶναι τους. Γιατὶ πιὸ πρὶν ἀπὸ τοὺς αἰῶνες προϋπονοήθηκε ἡ ἕνωση, τοῦ ὅριου καὶ τῆς ἀοριστίας, τοῦ μέτρου καὶ τῆς ἀμετρίας, τοῦ πέρατος καὶ τῆς ἀπειρίας, τοῦ δημιουργοῦ καὶ τῆς δημιουργίας, τῆς στάσης καὶ

3. Ἐφ. 1,10,11.
4. Ἡσ. 9,6.

καὶ κινήσεως, ἥτις ἐν Χριστῷ ἐπ' ἐσχάτων τῶν χρόνων φανερωθέντι γέγονε, πλήρωσιν δοῦσα τῇ προγνώσει τοῦ Θεοῦ δι' ἑαυτῆς, ἵνα περὶ τὸ πάντη κατ' οὐσίαν ἀκίνητον στῇ τὰ κατὰ φύσιν κινούμενα, τῆς πρός τε αὐτὰ καὶ πρὸς ἄλληλα παντελῶς ἐκβεβηκότα κινήσεως, καὶ λάβῃ τῇ πείρᾳ τὴν κατ' ἐνέργειαν γνῶσιν τοῦ, ἐν ᾧ στῆναι κατηξιώθησαν, ἀναλλοίωτον καὶ ὡσαύτως ἔχουσαν, τὴν τοῦ γνωσθέντος αὐτοῖς παρεχομένην ἀπόλαυσιν.

Διττὴν γὰρ οἶδε τὴν τῶν θείων γνῶσιν ὁ λόγος[2]*· τὴν μὲν σχετικήν, ὡς ἐν μόνῳ λόγῳ κειμένην καὶ νοήμασι καὶ τὴν κατ' ἐνέργειαν τοῦ γνωσθέντος διὰ πείρας οὐκ ἔχουσαν αἴσθησιν, δι' ἧς κατὰ τὴν παροῦσαν ζωὴν οἰκονομούμεθα. Τὴν δὲ κυρίως ἀληθῆ ἐν μόνῃ τῇ πείρᾳ κατ' ἐνέργειαν δίχα λόγου καὶ νοημάτων, ὅλην τοῦ γνωσθέντος κατὰ χάριν μεθέξει παρεχομένην τὴν αἴσθησιν, δι' ἧς κατὰ τὴν μέλλουσαν λῆξιν τὴν ὑπὲρ φύσιν ὑποδεχόμεθα θέωσιν ἀπαύστως ἐνεργουμένην· καὶ τὴν μὲν σχετικὴν ὡς ἐν λόγῳ κειμένην καὶ τοῖς νοήμασι, κινητικὴν εἶναί φασι τῆς πρὸς τὴν μεθέξει κατ' ἐνέργειαν γνῶσιν ἐφέσεως*[3]*, τὴν δὲ κατ' ἐνέργειαν, διὰ τῆς πείρας μεθέξει παρεχομένην τοῦ γνωσθέντος τὴν αἴσθησιν, ἀφαιρετικὴν εἶναι τῆς ἐν λόγῳ κειμένης καὶ νοήμασι γνώσεως.*

Ἀμήχανον γὰρ εἶναι, φασίν οἱ σοφοί, συνυπάρχειν τῇ πείρᾳ τοῦ Θεοῦ τὸν περὶ Θεοῦ λόγον, ἢ τῇ αἰσθήσει τοῦ Θεοῦ τὴν περὶ αὐτοῦ νόησιν· λόγον δὲ περὶ Θεοῦ φημὶ τὴν ἐκ τῶν ὄντων ἀναλογίαν τῆς περὶ αὐτοῦ γνωστικῆς θεωρίας, αἴσθησιν δὲ τὴν ἐπὶ τῇ μεθέξει πεῖραν τῶν ὑπὲρ φύσιν ἀγαθῶν[4]*, νόησιν δὲ τὴν ἐκ τῶν ὄντων περὶ αὐτοῦ ἁπλῆν καὶ ἑνιαίαν γνῶσιν. Τάχα δὲ καὶ ἐπ' ἄλλου παντὸς τοῦτο γνωρίζεται, εἴπερ ἡ τοῦδε τοῦ πράγματος πεῖρα τὸν περὶ αὐτὸν καταπαύει λόγον, καὶ ἡ τοῦδε τοῦ πράγματος αἴσθησις τὴν περὶ αὐτοῦ σχολάζουσαν ἐργάζεται*

τῆς κίνησης, καὶ ἡ ἕνωση αὐτὴ ἔγινε στὸ πρόσωπο τοῦ Χριστοῦ, ὅταν φανερώθηκε στὸ τέλος τῶν χρόνων καὶ πραγματοποίησε τὴν πρόγνωση τοῦ Θεοῦ, ὥστε νὰ σταματήσουν γύρω στὸ τελείως ἀκίνητο κατὰ τὴν οὐσία ὅσα κινοῦνται ἀπὸ τὴ φύση τους, ξεφεύγοντας τελείως ἀπὸ τὴν κίνηση πρὸς τὸν ἑαυτό τους καὶ πρὸς τὰ ἄλλα καὶ νὰ λάβουν πεῖρα τῆς κατ' ἐνέργειαν γνώσης ἐκείνου ὅπου ἀξιώθηκαν νὰ σταματήσουν, γνώσης ἀναλλοίωτης ποὺ παραμένει πάντοτε ἴδια παρέχοντας σ' αὐτοὺς τὴν ἀπόλαυση ἐκείνου ποὺ γνώρισαν.

Γιατὶ ὁ λόγος ἀναγνωρίζει ὅτι ἡ γνώση τῶν θείων εἶναι διπλή· ἡ σχετική, ποὺ βρίσκεται μόνο στὸ λόγο καὶ στὶς ἔννοιες καὶ ποὺ δὲν ἔχει κατὰ τὴν πράξη μὲ τὴν πεῖρα αἴσθηση ἐκείνου ποὺ ἔγινε γνωστὸ καὶ ποὺ μ' αὐτὴν οἰκονομοῦμε τὴν παροῦσα ζωή· καὶ ἡ πραγματικὴ ἀληθινὴ γνώση, ποὺ μὲ τὴν πεῖρα μόνο κατὰ τὴν πράξη χωρὶς λόγο καὶ ἔννοιες παρέχει ὅλη τὴν αἴσθηση ἐκείνου ποὺ ἔγινε γνωστὸ μετέχοντάς τὸ κατὰ χάρη, καὶ μὲ αὐτὴ τὴ γνώση ὑποδεχόμαστε κατὰ τὴ μελλοντικὴ κατάπαυση τὴν πάνω ἀπὸ τὴ φύση θέωση ποὺ πραγματοποιεῖται ἀδιάκοπα. Καὶ ἡ σχετικὴ βέβαια γνώση, ἐπειδὴ βρίσκεται στὸ λόγο καὶ στὶς ἔννοιες, λένε ὅτι κινεῖ τὴν ἐπιθυμία πρὸς τὴν μεθεκτικὴ κατὰ τὴν πράξη γνώση. Ἐνῶ ἡ γνώση μὲ τὴν ἐνέργεια ποὺ ἀπὸ τὴν πεῖρα καὶ μὲ μέθεξη αὐτοῦ ποὺ ἔγινε γνωστὸ παρέχει τὴν αἴσθηση ἀπωθεῖ τὴ γνώση ποὺ βρίσκεται στὸ λόγο καὶ τὶς ἔννοιες.

Γιατὶ εἶναι ἀδύνατο, λένε οἱ σοφοί, νὰ συνυπάρχουν ἡ ἐμπειρία τοῦ Θεοῦ καὶ ὁ λόγος περὶ Θεοῦ ἢ ἡ αἴσθηση τοῦ Θεοῦ καὶ ἡ νόηση γι' αὐτόν. Καὶ λόγο περὶ Θεοῦ ἀποκαλῶ τὴν γνωστικὴ θεωρία γι' αὐτὸν ποὺ ἀναλογεῖ στὰ ὄντα, αἴσθηση τὴν μεθεκτικὴ πεῖρα τῶν πέρα ἀπὸ τὴ φύση ἀγαθῶν, καὶ νόηση τὴν ἁπλὴ καὶ ἑνιαία γνώση περὶ Θεοῦ μέσω τῶν ὄντων. Τὸ ἴδιο ἴσως μπορεῖ νὰ διαπιστωθεῖ καὶ σὲ κάθε ἄλλο πράγμα, ἂν ἡ ἐμπειρία αὐτοῦ τοῦ πράγματος σταματᾶ τὸ λόγο γι' αὐτὸν καὶ ἡ αἴσθηση αὐτοῦ τοῦ πράγματος κάνει ἀργὴ τὴν νόηση περὶ αὐ-

νόησιν. Πεῖραν δὲ λέγω αὐτὴν τὴν κατ' ἐνέργειαν γνῶσιν, τὴν μετὰ πάντα λόγον ἐπιγινομένην, αἴσθησιν δὲ αὐτὴν τὴν τοῦ γνωσθέντος μέθεξιν, τὴν μετὰ πᾶσαν νόησιν ἐκφαινομένην. Καὶ τοῦτο τυχὸν μυστικῶς διδάσκων ὁ μέγας Ἀπόστολος, φησίν, «εἴτε προφητεῖαι καταργηθήσονται, εἴτε γλῶσσαι παύσονται, εἴτε γνώσεις καταργηθήσονται», περὶ τῆς ἐν λόγῳ κειμένης καὶ νοήμασι γνώσεως δηλονότι φάσκων.

Τοῦτο τὸ μυστήριον προεγνώσθη πρὸ πάντων τῶν αἰώνων τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. Τῷ μὲν κατ' εὐδοκίαν, τῷ δὲ κατ' αὐτουργίαν, τῷ δὲ κατὰ συνέργειαν. Μία γὰρ ἡ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος γνῶσις, ὅτι καὶ μία οὐσία καὶ δύναμις. Οὐ γὰρ ἠγνόει τοῦ Υἱοῦ τὴν σάρκωσιν ὁ Πατὴρ ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι ἐν ὅλῳ τῷ Υἱῷ τὸ μυστήριον αὐτουργοῦντι τῆς ἡμῶν σωτηρίας διὰ σαρκώσεως, ὅλος κατ' οὐσίαν ὁ Πατήρ, οὐ σαρκούμενος, ἀλλ' εὐδοκῶν τοῦ Υἱοῦ τὴν σάρκωσιν, καὶ ὅλον ἐν ὅλῳ τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον κατ' οὐσίαν ὑπῆρχεν, οὐ σαρκούμενον, ἀλλὰ συνεργοῦν τῷ Υἱῷ τὴν δι' ἡμᾶς ἀπόρρητον σάρκωσιν.

Εἴτε οὖν Χριστὸν εἴποι τις, εἴτε μυστήριον τοῦ Χριστοῦ, τούτου τὴν πρόγνωσιν μόνη κατ' οὐσίαν ἔχει ἡ ἁγία Τριάς, Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα. Καὶ μηδεὶς διαπορήσει, πῶς ὁ Χριστός, εἷς ὢν τῆς ἁγίας Τριάδος, ὑπ' αὐτῆς προγινώσκεται, γινώσκων ὅτι οὐχ ὡς Θεὸς ὁ Χριστὸς προεγνώσθη, ἀλλ' ὡς ἄνθρωπος, ἤγουν ἡ κατ' οἰκονομίαν αὐτοῦ διὰ τὸν ἄνθρωπον σάρκωσις. Τὸ γὰρ ἀεὶ ὄν, ἐκ τοῦ ἀεὶ ὄντος ὑπὲρ αἰτίαν καὶ λόγον οὐδέποτε προγινώσκεται. Ἡ γὰρ πρόγνωσις τῶν ἀρχὴν

τοῦ. Πείρα λέγω τὴν ἴδια τὴ γνώση ἀπὸ τὴν ἐνέργεια, ποὺ πραγματοποιεῖται ἔπειτα ἀπὸ κάθε λόγο, καὶ αἴσθηση, τὴν ἴδια τὴ μέθεξη αὐτοῦ ποὺ ἔγινε γνωστὸ καὶ ποὺ ἐκδηλώνεται ἔπειτα ἀπὸ ὅλη τὴ νοητικὴ διαδικασία. Κι ἴσως αὐτὸ διδάσκει μυστικὰ ὁ μέγας 'Απόστολος λέγοντας, «εἴτε προφητεῖες εἶναι θὰ καταργηθοῦν, εἴτε ὁμιλίες σὲ διάφορες γλῶσσες θὰ πάψουν, εἴτε γνώσεις θὰ καταργηθοῦν»[5], ἐννοώντας ὁλοφάνερα γιὰ τὴ γνώση ποὺ βρίσκεται στὸ λόγο καὶ στὶς ἔννοιες.

Τὸ μυστήριο τοῦτο προγνώριζε ὁ Πατέρας καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα. Ὁ Πατέρας γιατὶ ἔτσι εὐδόκησε, ὁ Υἱὸς γιατὶ ἦταν ὁ αὐτουργός, καὶ τὸ Πνεῦμα γιατὶ συνεργαζόταν σ' αὐτό. Γιατὶ εἶναι μία ἡ γνώση τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἐπειδὴ εἶναι μία καὶ ἡ οὐσία καὶ ἡ δύναμη. Δὲν ἀγνοοῦσε δηλαδὴ ὁ Πατέρας ἢ τὸ ἅγιο Πνεῦμα τὴ σάρκωση τοῦ Υἱοῦ, γιατὶ ὑπῆρχε σὲ ὁλόκληρο τὸν Υἱό, ποὺ αὐτουργοῦσε τὸ μυστήριο τῆς σωτηρίας μας μὲ τὴ σάρκωσή του, ὅλος κατὰ τὴν οὐσία του ὁ Πατέρας, ὄχι βέβαια μὲ σάρκωσή του, ἀλλὰ εὐδοκώντας γιὰ τὴ σάρκωση τοῦ Υἱοῦ, καὶ ὁλόκληρο τὸ ἅγιο Πνεῦμα κατὰ τὴν οὐσία του ὑπῆρχε στὸν Υἱό, ὄχι λαμβάνοντας σάρκα, ἀλλὰ συνεργώντας μὲ τὸν Υἱὸ στὴν ἀπόρρητη γιὰ μᾶς σάρκωσή του.

Εἴτε λοιπὸν πεῖ κάποιος Χριστό, εἴτε μυστήριο τοῦ Χριστοῦ, τὴν πρόγνωση γι' αὐτὸ κατὰ τὴν οὐσία τὴν ἔχει μόνη ἡ ἁγία Τριάδα, ὁ Πατέρας, ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα. Κι ἂς μὴν ἀναρωτηθεῖ κανένας πῶς ὁ Χριστός, ἐνῶ εἶναι ἕνας ἀπὸ τὴν ἁγία Τριάδα, γίνεται ἀντικείμενο πρόγνωσής της, ἔχοντας ὑπόψη ὅτι δὲν ἔγινε πρόγνωση τοῦ Χριστοῦ ὡς Θεοῦ, ἀλλὰ ὡς ἀνθρώπου, ἔγινε δηλαδὴ πρόγνωση τῆς κατ' οἰκονομίαν σαρκώσής του γιὰ χάρη τοῦ ἀνθρώπου. Γιατὶ ὅ,τι ὑπάρχει αἰώνια ποτὲ δὲν προγνωρίζεται ἀπὸ ἕνα ἄλλο αἰώνιο. Γιατὶ ἡ πρόγνωση γίνεται γιὰ ὅσα ἔχουν ἀρχὴ στὸ εἶναι καὶ γιὰ κάποια αἰτία. Προ-

5. Α' Κορ. 13,8.

ἐχόντων τοῦ εἶναι δι' αἰτίαν ἐστίν. Προεγνώσθη οὖν ὁ Χριστός, οὐχ ὅπερ ἦν κατὰ φύσιν δι' ἑαυτόν, ἀλλ' ὅπερ ἐφάνη κατ' οἰκονομίαν δι' ἡμᾶς γενόμενος ὕστερον.

Ἔδει γὰρ ὡς ἀληθῶς τὸν κατὰ φύσιν τῆς τῶν ὄντων οὐσίας δημιουργὸν καὶ τῆς κατὰ χάριν αὐτουργὸν γενέσθαι τὸν γεγονότων θεώσεως, ἵνα ὁ τοῦ εἶναι δοτὴρ φανῇ καὶ τοῦ ἀεὶ εὖ εἶναι χαριστικός. Ἐπεὶ οὖν οὐδὲν τῶν ὄντων ἑαυτὸ τὸ παράπαν ἢ ἄλλο γινώσκει, ὅ τί ποτε κατ' οὐσίαν ἐστίν, εἰκότως οὐδὲ τῶν γενησομένων οὐδενὸς οὐδὲν τῶν ὄντων ἔχει κατὰ φύσιν τὴν πρόγνωσιν, πλὴν τοῦ ὑπὲρ τὰ ὄντα Θεοῦ, τοῦ καὶ ἑαυτὸν γινώσκοντος, ὅ τί ποτε κατ' οὐσίαν ἐστί, καὶ πάντων τῶν ὑπ' αὐτοῦ πεποιημένων, καὶ πρὶν γενέσθαι, προεγνωκότος τὴν ὕπαρξιν, καὶ μέλλοντος κατὰ χάριν φιλοτιμεῖσθαι τοῖς οὖσι, τὴν ἑαυτῶν καὶ ἀλλήλων ὅ τί ποτε κατ' οὐσίαν ὑπάρχουσι γνῶσιν, καὶ τοὺς ἐν αὐτῷ μονοειδῶς προόντας τῆς αὐτῶν γενέσεως φανερῶσαι λόγους.

Τὸ γὰρ δὴ λέγειν τινὰς προεγνῶσθαι τὸν Χριστὸν πρὸ καταβολῆς κόσμου, ἐκείνοις, οἷς ὕστερον ἐφανερώθη ἐπ' ἐσχάτων τῶν χρόνων, ὡς αὐτῶν ἐκείνων πρὸ καταβολῆς κόσμου ὄντων σὺν τῷ προεγνωσμένῳ Χριστῷ, ὡς τῆς ἀληθείας ἀλλότριον ὄντα τὸν λόγον, οἷα συναΐδιον τῷ Θεῷ τὴν τῶν λογικῶν οὐσίαν εἰσάγοντα, παραγραφόμεθα. Οὐ γάρ ἐστι παντελῶς σὺν Χριστῷ γενέσθαι καθώς ἐστι, καὶ πάλιν αὐτοῦ τὸ σύνολον ἀπογενέσθαι ποτέ, εἴπερ ἐν αὐτῷ πέφυκεν ἡ τῶν αἰώνων ἀποπεράτωσις γίνεσθαι καὶ ἡ στάσις τῶν κινουμένων, καθ' ἣν οὐδὲν ἔσται τὸ παράπαν τῶν ὄντων τρεπόμενον. Ἄμωμον δὲ καὶ ἄσπιλον ὁ τῆς Γραφῆς τὸν Χριστὸν ἔφη λόγος, ὡς κατὰ ψυχὴν καὶ σῶμα φύσει παντελῶς τῆς κατὰ τὴν ἁμαρτίαν φθορᾶς ἀλλότριον. Οὐ γὰρ ἔσχεν αὐτοῦ μῶμον κακίας ἡ ψυχή, οὐδὲ τὸ σῶμα σπῖλον τῆς ἁμαρτίας.

γνωρίσθηκε λοιπὸν ὁ Χριστὸς ἀπὸ πρὶν ὄχι γι' αὐτὸ ποὺ ἦταν κατὰ φύση γιὰ τὸν ἑαυτό του, ἀλλὰ γι' αὐτὸ ποὺ φάνηκε ὅτι ἔγινε ἀργότερα γιὰ μᾶς κατ' οἰκονομία.

Ἔπρεπε δηλαδὴ ἀληθινὰ ὁ φυσικὸς δημιουργὸς τῆς οὐσίας τῶν ὄντων νὰ γίνει αὐτουργὸς καὶ τῆς κατὰ χάρη θέωσης τῶν δημιουργημάτων, ὥστε ὁ δωρητὴς τοῦ εἶναι νὰ φανεῖ δωρεοδότης καὶ τῆς μακαριότητας. Ἐπειδὴ λοιπὸν κανένα ἀπὸ τὰ ὄντα δὲν γνωρίζει καθόλου τὸν ἑαυτό του ἢ κάποιο ἄλλο τί εἶναι ὡς πρὸς τὴν οὐσία, εἶναι εὔλογο ὅτι κανένα ἀπὸ τὰ ὄντα δὲν ἔχει κατὰ τὴ φύση τὴν ἱκανότητα πρόγνωσης κανενὸς ἀπὸ ὅσα θὰ γίνουν, πλὴν μόνο ὁ Θεὸς ὁ πάνω ἀπὸ τὰ ὄντα, ποὺ καὶ τὸν ἑαυτό του γνωρίζει τί εἶναι κατὰ τὴν οὐσία καὶ γιὰ ὅλα ὅσα δημιούργησε καὶ πρὶν ἀκόμα γίνουν εἶχε ἀπὸ πρὶν γνώση τῆς ὕπαρξής τους κι ἔμελλε κατὰ χάρη νὰ φιλοδωρήσει τὰ ὄντα μὲ τὴ γνώση τοῦ ἑαυτοῦ τους καὶ τῶν ἄλλων, τί εἶναι στὴν οὐσία τους, καὶ νὰ φανερώσει τοὺς λόγους ποὺ ὑπάρχουν ἑνιαῖα σ' αὐτὸν ἀπὸ πρίν.

Τὸ νὰ λένε μερικοὶ ὅμως πὼς ὁ Χριστὸς εἶχε προγνωσθεῖ πρὶν ἀπὸ τὴν καταβολὴ τοῦ κόσμου ἀπὸ ἐκείνους στοὺς ὁποίους φανερώθηκε ὕστερα τοὺς τελευταίους καιρούς, ἐπειδὴ ἐκεῖνοι οἱ ἴδιοι ὑπῆρχαν πρὶν ἀπὸ τὴν καταβολὴ τοῦ κόσμου μαζὶ μὲ τὸν προεγνωσμένο Χριστό, αὐτὸν τὸ λόγο σὰν ἐντελῶς ἄσχετο μὲ τὴν ἀλήθεια, ἐπειδὴ κάνει συναΐδια μὲ τὸ Θεὸ τὴν οὐσία τῶν λογικῶν ὄντων, τὸν ἀπορρίπτομε. Γιατὶ εἶναι τελείως ἀδύνατο νὰ βρίσκονται μὲ τὸ Χριστό, ἔτσι ὅπως αὐτὸς εἶναι, καὶ πάλι νὰ λείψουν τελείως κάποτε ἀπὸ αὐτόν, ἂν βέβαια εἶναι φυσικὸ νὰ γίνει σ' αὐτὸν ἡ ἀποπεράτωση τῶν αἰώνων καὶ ἡ στάση ὅσων κινοῦνται, μέσα στὴν ὁποία κανένα ἀπολύτως ἀπὸ τὰ ὄντα δὲ θὰ ὑπόκειται σὲ μεταβολή. Ὁ λόγος τῆς Γραφῆς κάλεσε τὸ Χριστὸ ἄμωμο καὶ ἄσπιλο, ἐπειδὴ εἶναι κατὰ τὴν ψυχὴ καὶ τὸ σῶμα ἀπὸ τὴ φύση του τελείως ξένος ἀπὸ τὴ φθορὰ τῆς ἁμαρτίας. Γιατὶ ἡ ψυχή του δὲν εἶχε μῶμο κακίας οὔτε τὸ σῶμα του σπίλο τῆς ἁμαρτίας.

ΣΧΟΛΙΑ

Ὅρος μὲν ἔστι περιοχῆς πέρας τῶν φύσει πεπερασμένων τὸ δὲ μέτρον καθόλου ποσότητος περιγραφὴ καὶ τέλος αἰώνων τε καὶ χρονικῶν φύσεων. Τὸ δὲ πέρας ἐστὶ περιγραφὴ τῶν ἀρχῇ τε καὶ τέλει κατὰ γένεσιν πεπερασμένων. Ἡ δὲ κτίσις ἐστὶ τῶν κατὰ παραγωγὴν ἐξ οὐκ ὄντων ὑπόστασις. Τούτων ἕνωσις καθ' ὑπόστασιν προεπενοήθη, φησί, κατὰ πρόνοιαν πρὸς τὸν ἐξ οὗ ταῦτα γεγόνασιν, ἵνα καὶ τὸ εἶναι τῶν ὄντων φυλαχθῇ κατ' οὐσίαν ὡς πέφυκε, καὶ τὸ ὑποστῆναι, ἤγουν πῶς εἶναι κατὰ χάριν δέξηται θείαν, τῇ πρὸς τὸν Θεὸν ἑνώσει πάντων πρὸς ἀτρεψίαν μεταποιηθέντων.

Διττὴν εἶναι λέγει τὴν γνῶσιν· τὴν μὲν ἐν λόγῳ κειμένην καὶ θείοις νοήμασι, κατ' εἶδος παροῦσαν τὴν αἴσθησιν τῶν νοηθέντων οὐκ ἔχουσαν, τὴν δὲ κατ' ἐνέργειαν, μόνην ἔχουσαν δίχα λόγου καὶ νοημάτων τῶν ἀληθῶν τὴν κατ' εἶδος ἀπόλαυσιν.

Ἐπειδή, φησί, διὰ γνώσεως ὁ λόγος τὸ γνωστὸν πέφυκεν ὑποσημαίνειν, κινεῖ τὴν ἔφεσιν τῶν δι' αὐτοῦ κινουμένων πρὸς τὴν τοῦ σημανθέντος ἀπόλαυσιν.

Πρὸ πάσης πείρας, φησί, λόγος ὑπάρχει γνώσεως, ὅτι κατὰ τὴν πεῖραν μόνην πέφυκε δυναστεύειν ἀπόλαυσις.

ΣΧΟΛΙΟ

1. Ὅρος (ὅριο κι ὁρισμὸς) εἶναι τὸ πέρας ποὺ περικλείει τὰ πεπερασμένα ἀπὸ τὴ φύση τους. Τὸ μέτρο εἶναι γενικὰ καθορισμὸς ποσότητας καὶ τέλος τῶν αἰώνων καὶ τῶν χρονικῶν φύσεων. Τὸ πέρας εἶναι ὁ περιορισμὸς ἐκείνων ποὺ ἡ γένεσή τους περιγράφεται ἀπὸ ἀρχὴ καὶ τέλος. Ἡ κτίση (δημιουργία) εἶναι ἡ ὑπόσταση ὅσων παράγονται ἀπὸ τὰ μὴ ὄντα. Αὐτῶν τῶν ὄντων προεπινοήθηκε, λέει, ἀπὸ τὴν πρόνοια ἕνωση ὑποστασιακὴ μ' ἐκεῖνον ἀπὸ τὸν ὁποῖο ἔγιναν, ὥστε καὶ τὸ εἶναι τῶν ὄντων νὰ φυλαχτεῖ ὡς πρὸς τὴν οὐσία ὅπως εἶναι ἀπὸ τὴ φύση τους, καὶ τὴν ὑπόσταση, δηλαδὴ τὴ συγκεκριμένη ὕπαρξη, νὰ δεχτοῦν κατὰ θεία χάρη, μὲ τὸ νὰ μεταποιηθοῦν ὅλα καὶ νὰ γίνουν ἄτρεπτα μὲ τὴν ἕνωσή τους μὲ τὸ Θεό.
2. Ἡ γνώση, λέει, εἶναι διπλή· ἡ μία βρίσκεται στὸ λόγο καὶ στὶς θεῖες ἔννοιες, ποὺ δὲν ἔχει ὅμως παρούσα κατὰ εἶδος τὴν αἴσθηση ἐκείνων ποὺ νοήθηκαν· ἡ ἄλλη εἶναι κατὰ ἐνέργεια, ποὺ ἔχει ἁπλῶς χωρὶς λόγο καὶ νοήματα τὴν ἀπόλαυση τῶν ἀληθινῶν κατὰ εἶδος.
3. Ἐπειδή, λέει, εἶναι στὴ φύση τοῦ λόγου νὰ ὑποδηλώνει τὸ γνωστὸ μὲ τὴ γνώση, κινεῖ τὴν ἐπιθυμία ἐκείνων ποὺ κινοῦνται ἀπὸ αὐτὸν γιὰ τὴν ἀπόλαυση ἐκείνου ποὺ ὑποδήλωσε.
4. Πρὶν ἀπὸ κάθε ἐμπειρία, λέει, ὑπάρχει λόγος γιὰ γνώση, γιατὶ κατὰ τὴν πείρα μόνο ἐκδηλώνεται, ὡς ἀπὸ τὴ φύση της, ἡ ἀπόλαυση.

ΕΡΩΤΗΣΙΣ ΞΑ

«Ὅτι καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ. Εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ; Καὶ εἰ ὁ μὲν δίκαιος μόλις σῴζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;». Τί ἐστι τὸ «καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἐκ τοῦ οἴκου τοῦ Θεοῦ», καὶ τό, «εἰ ὁ δίκαιος μόλις σῴζεται»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ τὴν φύσιν τῶν ἀνθρώπων δημιουργήσας Θεός, οὐ συνέκτισεν αὐτῇ κατὰ τὴν αἴσθησιν οὔτε ἡδονὴν οὔτε ὀδύνην[1], ἀλλὰ δύναμίν τινα κατὰ νοῦν αὐτῇ πρὸς ἡδονήν, καθ' ἣν ἀπορρήτως ἀπολαύειν αὐτοῦ δυνήσεται, ἐτεκτήνατο. Ταύτην δὲ τὴν δύναμιν (λέγω δὲ τὴν κατὰ φύσιν τοῦ νοῦ πρὸς τὸν Θεὸν ἔφεσιν), ἅμα τῷ γενέσθαι τῇ αἰσθήσει δοὺς ὁ πρῶτος ἄνθρωπος, πρὸς τὰ αἰσθητὰ κατ' αὐτὴν τὴν πρώτην κίνησιν διὰ μέσης τῆς αἰσθήσεως ἔσχε παρὰ φύσιν ἐνεργουμένην τὴν ἡδονήν, ᾗ τινι κατὰ πρόνοιαν ὁ τῆς ἡμῶν σωτηρίας κηδόμενος[2], παρέπηξεν, ὥσπερ τινὰ τιμωρὸν δύναμιν, τὴν ὀδύνην, καθ' ἣν ὁ τοῦ θανάτου μετὰ σοφίας ἐνερριζώθη τῇ τοῦ σώματος φύσει νόμος, περιορίζων τῆς τοῦ νοῦ μανίας παρὰ φύσιν ἐπὶ τὰ αἰσθητὰ κινουμένην τὴν ἔφεσιν.

Ἐντεῦθεν διὰ τὴν ἐπεισελθοῦσαν τῇ φύσει παρὰ λόγον ἡδονήν, ἡ κατὰ λόγον ἀντεισῆλθεν ὀδύνη, διὰ πολλῶν παθημά-

ΕΡΩΤΗΣΗ 61

«Εἶναι καιρὸς ν' ἀρχίσει ἡ κρίση ἀπὸ τὸν οἶκο τοῦ Θεοῦ. Κι ἂν ἡ κρίση ἀρχίσει ἀπὸ μᾶς πρῶτα, ποιό θὰ εἶναι τὸ τέλος ἐκείνων ποὺ ἀπειθοῦν στὸ Εὐαγγέλιο τοῦ Θεοῦ; Κι ἂν ὁ δίκαιος μόλις καὶ μετὰ δυσκολίας σώζεται, ποῦ θὰ φανεῖ ὁ ἀσεβὴς κι ὁ ἁμαρτωλός;»[1]. Τί σημαίνει ὁ λόγος, «εἶναι καιρὸς ν' ἀρχίσει ἡ κρίση ἀπὸ τὸν οἶκο τοῦ Θεοῦ», καὶ ὁ λόγος «ἂν μόλις καὶ μετὰ δυσκολίας σώζεται ὁ δίκαιος»;

ΑΠΟΚΡΙΣΗ

Ὁ Θεός, ποὺ δημιούργησε τὴν φύση τοῦ ἀνθρώπου, δὲν συνδημιούργησε στὴν αἴσθησή της οὔτε τὴν ἡδονὴ οὔτε τὴν ὀδύνη, ἀλλὰ μηχανεύθηκε κάποια δυνατότητα τοῦ νοῦ σ' αὐτὴν γιὰ ἡδονή, σύμφωνα μὲ τὴν ὁποία νὰ μπορέσει ν' ἀπολαύσει κατὰ τρόπο ἄρρητο τὸ Θεό. Αὐτὴ τὴ δύναμη (ἐννοῶ τὴ φυσικὴ ἔφεση τοῦ νοῦ πρὸς τὸ Θεό), εὐθὺς μόλις ἔγινε ὁ πρῶτος ἄνθρωπος τὴν ἔδωσε στὴν αἴσθηση καὶ σύμφωνα μ' αὐτὴν τὴν πρώτη κίνηση πρὸς τὰ αἰσθητὰ διὰ μέσου τῆς αἴσθησης δοκίμασε παρὰ φύση τὴ λειτουργία τῆς ἡδονῆς, δίπλα στὴν ὁποία προνοητικά, αὐτὸς ποὺ φροντίζει γιὰ τὴ σωτηρία μας, τοποθέτησε τὴν ὀδύνη, σὰν μιὰ δύναμη τιμωρό. Σύμφωνα μ' αὐτὴν ρίζωσε σοφὰ μέσα στὴ φύση τοῦ σώματος ὁ νόμος τοῦ θανάτου, περιορίζοντας τὴν ἐπιθυμία τοῦ μανιασμένου νοῦ νὰ κατευθύνεται παρὰ φύση πρὸς τὰ αἰσθητά.

Ἀπὸ ἐδῶ, ἐξαιτίας τῆς ἡδονῆς ποὺ εἰσῆλθε παράλογα στὴ φύση μας, εἰσῆλθε μὲ τὴ σειρά της ἡ σύμφωνη μὲ τὸ λόγο ὀδύ-

1. Α' Πέτρ. 4,17–18.

των, ἐν οἷς καὶ ἐξ ὧν ὁ θάνατος, ποιουμένη τῆς παρὰ φύσιν ἡδονῆς τὴν ἀφαίρεσιν[3], οὐ μὴν δέ, καὶ τελείαν ἀναίρεσιν, καθ' ἣν ἡ κατὰ νοῦν τῆς θείας ἡδονῆς δείκνυσθαι πέφυκε χάρις. Πᾶς γὰρ πόνος, ὡς αἰτίαν τῆς ἰδίας γενέσεως ἔχων κατ' ἐνέργειαν προηγουμένην τὴν ἡδονήν, χρέος ἐστὶ δηλαδὴ φυσικῶς κατ' αἰτίαν παρὰ πάντων τῶν μετειληφότων τῆς φύσεως ἐκτιννύμενον. Τῇ γὰρ παρὰ φύσιν ἡδονῇ, πάντως παρέπεται φυσικῶς ὁ πόνος, ἐν πᾶσιν, ὧν τῆς ἡδονῆς νόμος ἀναιτίως προκαθηγήσατο τῆς γενέσεως. Ἀναίτιον δέ φημι τὴν ἐκ τῆς παραβάσεως ἡδονήν, ὡς μὴ γενομένην δηλονότι προλαβόντος πόνου διάδοχον.

Οὐκοῦν, ἐπειδὴ μετὰ τὴν παράβασιν πάντες ὁ ἄνθρωποι τὴν ἡδονὴν εἶχον τῆς ἰδίας φυσικῶς προκαθηγουμένην γενέσεως, καὶ οὐδεὶς ἦν τὸ σύνολον ὁ τῆς καθ' ἡδονὴν ἐμπαθοῦς γενέσεως φυσικῶς ὑπάρχων ἐλεύθερος, ἀλλ' ὡς χρέος πάντες φυσικῶς ἀποδιδόντες τοὺς πόνους καὶ τὸν ἐπ' αὐτοῖς ὑπέμενον θάνατον[4], καὶ ἦν ἄπορος παντάπασι τῆς ἐλευθερίας τρόπος τοῖς ὑπὸ τῆς ἀδίκου τυραννουμένοις ἡδονῆς καὶ ὑπὸ τῶν δικαίων πόνων καὶ τοῦ ἐπ' αὐτοῖς δικαιοτάτου θανάτου φυσικῶς ἐνεχομένοις, ἔδει δὲ πρὸς ἀναίρεσιν τῆς ἀδικωτάτης ἡδονῆς καὶ τῶν δι' αὐτὴν δικαιοτάτων πόνων, ὑφ' ὧν ἐλεεινῶς διεσπᾶτο πάσχων ὁ ἄνθρωπος, ἐκ φθορᾶς τῆς καθ' ἡδονὴν ἔχων τὴν ἀρχὴν τῆς γενέσεως καὶ εἰς φθορὰν τὴν διὰ θανάτου τὸ τῆς ζωῆς καταλῆγον τέλος, πρὸς δὲ τὴν ἐπανόρθωσιν τῆς παθούσης φύσεως ἐπινοηθῆναι πόνον καὶ θάνατον, ἄδικον ὁμοῦ καὶ ἀναίτιον· ἀναίτιον μέν, ὡς οὐδαμῶς προλαβοῦσαν ἡδονὴν ἐσχηκότα κατὰ τὴν γένεσιν· ἄδικον δέ, ὡς οὐδεμιᾶς ἐμπαθοῦς τὸ παράπαν ζωῆς ὄντα διάδοχον, ἵνα μέσος διαληφθεὶς ἡδονῆς ἀδίκου καὶ πόνου καὶ θανάτου δικαιοτάτου[5], πόνος καὶ θάνατος ἀδικώτατος, ἀνέλῃ διόλου τὴν ἐξ ἡδονῆς ἀδικωτάτην ἀρχὴν καὶ τὸ

νη, ποὺ μὲ πολλὰ παθήματα, ἀνάμεσά τους καὶ ἐξαιτίας τους καὶ ὁ θάνατος, προκαλεῖ τὴν ἀφαίρεση τῆς παραφύση ἡδονῆς, καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ τὸν τέλειο ἀφανισμό της, ὁπότε φυσιολογικὰ φανερώνεται στὸ νοῦ ἡ χάρη τῆς θείας ἡδονῆς. Κάθε πόνος δηλαδή, ἐπειδὴ ἔχει ὡς αἰτία τῆς γένεσής του νὰ προηγεῖται στὴν πράξη ἡ ἡδονή, εἶναι φανερὸ πὼς εἶναι χρέος ποὺ φυσιολογικὰ ἐκπληρώνεται σύμφωνα μὲ τὴν αἰτία ἀπὸ ὅλους ποὺ μετέχουν τὴν ἀνθρώπινη φύση. Γιατὶ τὴν παραφύση ἡδονὴ ὁπωσδήποτε τὴν ἀκολουθεῖ φυσιολογικὰ ὁ πόνος, σὲ ὅλα σὲ ὅσα ὁ νόμος τῆς ἡδονῆς προηγήθηκε τῆς ὕπαρξής τους χωρὶς αἰτία. Χωρὶς αἰτία λέγω τὴν ἡδονὴ ἀπὸ τὴν παράβαση, γιατὶ εἶναι φανερὸ δὲ διαδέχθηκε κάποιο πόνο ποὺ προηγήθηκε.

Ἐπειδὴ λοιπὸν μετὰ τὴν παράβαση στὴ γένεση ὅλων τῶν ἀνθρώπων προηγοῦνταν κατὰ φυσικὸ λόγο ἡ ἡδονὴ καὶ κανένας ἀπολύτως δὲν ὑπῆρχε ποὺ νὰ ἦταν ἀπὸ τὴ φύση του ἐλεύθερος ἀπὸ τὴν σύμφωνη μὲ τὴν ἡδονὴ ἐμπαθὴ γένεση, ἀλλά, ἀποδίδοντας ὅλοι φυσικῶς σὰν χρέος τοὺς πόνους, ὑπέμεναν καὶ τὸ θάνατο ποὺ οἱ πόνοι προκαλοῦσαν, κι ἦταν ἀδύνατο νὰ βρεθεῖ τρόπος ἐλευθερίας ἐκείνων ποὺ τοὺς τυραννοῦσε ἡ ἄδικη ἡδονὴ καὶ οἱ δίκαιοι πόνοι καὶ ποὺ ἦταν ἔνοχοι φυσικῶς ἐξαιτίας τῶν δίκαιων πόνων γιὰ ἕνα δικαιότατο θάνατο, γι' αὐτὸ ἔπρεπε γιὰ τὸν ἀφανισμὸ τῆς ἀδικότατης ἡδονῆς καὶ τῶν ἐξαιτίας της δικαιότατων πόνων ποὺ κατασπάραζαν μὲ τοὺς θλιβεροὺς πόνους τὸν ἄνθρωπο, ποὺ εἶχε τὴν ἀρχὴ τῆς γένεσής του ἀπὸ τὴν ἡδονὴ καὶ τὸ τέλος τῆς ζωῆς του κατέληγε στὴ φθορὰ τοῦ θανάτου, καὶ νὰ ἐπινοηθεῖ γιὰ τὴν ἐπανόρθωση τῆς φύσης ποὺ ἔπαθε ὁ πόνος καὶ ὁ θάνατος, ἄδικος μαζὶ καὶ ἀναιτιολόγητος (ἀναιτιολόγητος γιατὶ δὲν εἶχε δοκιμάσει καμμιὰ προηγούμενη ἡδονὴ κατὰ τὴ γένεσή του, καὶ ἄδικος ἐπειδὴ δὲν εἶχε διαδεχθεῖ καμμιὰ κατὰ κάποιο τρόπο ἐμπαθὴ ζωή), ὥστε, πιασμένος ἀνάμεσα στὴν ἄδικη ἡδονὴ καὶ στὸ δικαιότατο πόνο καὶ θάνατο, πόνος καὶ θάνατος ἀδικότατος, ν' ἀφανίσει τελείως τὴν ἀδικότατη ἀρχὴ ἀπὸ τὴν ἡδονὴ καὶ τὸ ἐξαιτίας της δικαιότατο μὲ τὸ θάνα-

δι' αὐτὴν διὰ θανάτου δικαιότατον τέλος τῆς φύσεως, καὶ γένηται πάλιν ἡδονῆς καὶ ὀδύνης ἐλεύθερον τὸ γένος τῶν ἀνθρώπων, τὴν ἐξ ἀρχῆς εὐκληρίαν ἀπολαβούσης τῆς φύσεως, μηδενὶ τῶν ἐμπεφυκότων τοῖς ὑπὸ γένεσιν καὶ φθορὰν γνωρισμάτων μολυνομένην.

Διὰ τοῦτο Θεὸς ὑπάρχων τέλειος κατὰ φύσιν ὁ τοῦ Θεοῦ Λόγος, γίνεται τέλειος ἄνθρωπος ἐκ ψυχῆς νοερᾶς καὶ σώματος παθητοῦ κατὰ φύσιν[6], παραπλησίως ἡμῖν, χωρὶς μόνης ἁμαρτίας, συνεστώς· τὴν μὲν ἐκ τῆς παρακοῆς ἡδονὴν οὐδαμῶς τὸ σύνολον ἐσχηκὼς προηγουμένην αὐτοῦ τῆς ἐκ γυναικὸς ἐν χρόνῳ γεννήσεως, τὴν δὲ δι' αὐτὴν ὀδύνην, ὑπάρχουσαν τέλος τῆς φύσεως, διὰ φιλανθρωπίαν κατὰ θέλησιν προσηκάμενος, ἵνα, πάσχων ἀδίκως, ἀνέλῃ τὴν ἐξ ἡδονῆς ἀδίκου τυραννοῦσαν τὴν φύσιν ἀρχὴν τῆς γενέσεως, οὐκ ἔχουσαν ὡς χρέος ὑπὲρ αὐτῆς ἐκτιννύμενον κατὰ τοὺς ἄλλους ἀνθρώπους, καὶ τοῦ Κυρίου τὸν θάνατον, ἀλλὰ μᾶλλον κατ' αὐτῆς προβεβλημένον, καὶ τὸ διὰ τοῦ θανάτου δίκαιον τέλος ἐξαφανίσῃ τῆς φύσεως, οὐκ ἔχον τὴν δι' ἣν ἐπεισῆλθεν[7] καὶ ὑπ' αὐτοῦ δικαίως τιμωρουμένην, ὡς αἰτίαν τοῦ εἶναι, παράνομον ἡδονήν.

Ἔδει γὰρ ὡς ἀληθῶς, ἔδει, σοφὸν καὶ δίκαιον καὶ δυνατὸν ὄντα κατὰ φύσιν τὸν Κύριον, ὡς μὲν σοφὸν μὴ ἀγνοῆσαι τὸν τρόπον τῆς ἰατρείας, ὡς δίκαιον δὲ μὴ τυραννικὴν ποιήσασθαι τοῦ κατειλημμένου κατὰ γνώμην ὑπὸ τῆς ἁμαρτίας ἀνθρώπου τὴν σωτηρίαν, ὡς δὲ παντοδύναμον μὴ ἀτονῆσαι πρὸς τὴν τῆς ἰατρείας ἐκπλήρωσιν.

Φανερὸν οὖν ἐποίησε τὸν μὲν τῆς σοφίας λόγον ἐν τῷ τρόπῳ τῆς ἰατρείας, χωρὶς τροπῆς καὶ τῆς οἱασοῦν ἀλλοιώσεως γενόμενος ἄνθρωπος, τὴν ἰσότητα δὲ τῆς δικαιοσύνης ἐν τῷ μεγέθει τῆς συγκαταβάσεως ἔδειξε, τὸ ἐν τῷ παθητῷ κατάκριμα τῆς φύσεως κατὰ θέλησιν ὑποδύς, κἀκεῖνο ποιήσας ὅπλον πρὸς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, καὶ τοῦ δι' αὐτὴν θανάτου (τουτέστι τῆς ἡδονῆς καὶ τῆς δι' αὐτὴν ὀδύνης), ἐν ᾧ τῆς ἁμαρτίας ὑπῆρχε καὶ τοῦ θανάτου τὸ κράτος[8], καὶ ἡ κατὰ τὴν ἡδο-

το τέλος τῆς φύσης καὶ νὰ ἐλευθερωθεῖ πάλι τὸ ἀνθρώπινο γένος ἀπὸ τὴν ἡδονὴ καὶ τὴν ὀδύνη, ξανακερδίζοντας ἡ φύση τὴν ἀρχικὴ καλοτυχία της, χωρὶς νὰ μολύνεται ἀπὸ κανένα γνώρισμα ἀπὸ ὅσα εἶναι δεμένα μὲ ὅσα κινοῦνται μέσα στὴ γένεση καὶ στὴ φθορά.

Γι' αὐτό, ὄντας Θεὸς τέλειος κατὰ τὴ φύση ὁ Λόγος τοῦ Θεοῦ, γίνεται τέλειος ἄνθρωπος κατὰ τὴ φύση ποὺ ἀποτελεῖται ἀπὸ ψυχὴ νοερὴ καὶ σῶμα παθητό, παρόμοια μ' ἐμᾶς, χωρὶς μόνο τὴν ἁμαρτία, στὸν ὁποῖο δὲν προηγεῖται ἀπολύτως καθόλου ἀπὸ τὴ γέννησή του ἀπὸ γυναίκα μέσα σὲ χρόνο ἡ ἡδονὴ τῆς παρακοῆς, δέχτηκε ὅμως θέλοντας ἀπὸ φιλανθρωπία τὴν ὀδύνη τῆς παρακοῆς ποὺ εἶναι τὸ τέλος τῆς φύσης, ὥστε, πάσχοντας ἄδικα, νὰ ἀφανίσει τὴν ἀρχὴ τῆς γένεσης, ποὺ ἀπὸ τὴν ἄδικη ἡδονὴ τυραννοῦσε τὴν ἀνθρώπινη φύση, καὶ δὲν εἶχε ὅπως οἱ ἄλλοι ἄνθρωποι ὡς χρέος ὀφειλόμενο νὰ πληρωθεῖ σ' αὐτὴν καὶ τὸ θάνατο τοῦ Κυρίου, ἀλλὰ τὸν εἶχε μᾶλλον πολέμιό της, καὶ ἀκόμα νὰ ἐξαφανίσει τὸ μέσω τοῦ θανάτου δίκαιο τέλος τῆς φύσης ποὺ δὲν εἶχε ὡς αἰτία ὕπαρξης τὴν παράνομη ἡδονὴ ποὺ τὸ προκάλεσε καὶ ποὺ δίκαια τιμωροῦνταν ἀπὸ αὐτήν.

Ἔπρεπε δηλαδὴ στ' ἀλήθεια, ναὶ ἔπρεπε, ὄντας ὁ Κύριος σοφὸς καὶ δίκαιος καὶ δυνατὸς στὴ φύση του, ὡς σοφὸς νὰ μὴν ἀγνοήσει τὸν τρόπο τῆς θεραπείας, ὡς δίκαιος νὰ μὴν κάνει τυραννικὴ τὴ σωτηρία τοῦ ἀνθρώπου ποὺ ἔχει αἰχμαλωτιστεῖ μὲ τὴ θέλησή του ἀπὸ τὴν ἁμαρτία, καὶ ὡς παντοδύναμος νὰ μὴν ἀδυνατήσει νὰ πραγματοποιήσει τὴν θεραπεία.

Ἔκανε λοιπὸν φανερὸ τὸ λόγο τῆς σοφίας μὲ τὸν τρόπο τῆς θεραπείας, μὲ τὸ νὰ γίνει ἄνθρωπος χωρὶς τροπὴ ἢ ὁποιαδήποτε ἀλλοίωση. Τὴν ἰσότητα τῆς δικαιοσύνης τὴν ἔδειξε μὲ τὸ μέγεθος τῆς συγκατάβασής του, ἀναλαμβάνοντας μὲ τὴ θέλησή του τὴν καταδίκη τῆς παθητῆς φύσης, καὶ κάνοντάς την αὐτὴ ὅπλο γιὰ τὴν ἀναίρεση τῆς ἁμαρτίας καὶ τοῦ θανάτου ἐξαιτίας της (δηλαδὴ τῆς ἡδονῆς καὶ τῆς ὀδύνης μέσω αὐτῆς), στὴν

νὴν τῆς ἁμαρτίας τυραννίς, καὶ δι' αὐτὴν κατὰ τὴν ὀδύνην τοῦ θανάτου δυναστεία. Ἐν γὰρ τῷ παθητῷ προδήλως ὑπάρχει τῆς φύσεως τὸ τῆς ἡδονῆς κράτος καὶ τῆς ὀδύνης. Θέλοντες γὰρ ἐκφυγεῖν τὴν κατὰ τὴν ὀδύνην ἐπίπονον αἴσθησιν[9], πρὸς τὴν ἡδονὴν καταφεύγομεν, τῷ τῆς ὀδύνης αἰκισμῷ πειζομένην τὴν φύσιν ἐπιχειροῦντες παραμυθεῖσθαι. Σπεύδοντες δὲ διὰ τῆς ἡδονῆς τὰ τῆς ὀδύνης ἀμβλῦναι κινήματα, πλέον αὐτῆς τὸ καθ' ἑαυτῶν ἐπικυροῦμεν χειρόγραφον, ὀδύνης καὶ πόνων ἀπολελυμένην ἔχειν τὴν ἡδονὴν οὐ δυνάμενοι.

Τὴν δὲ τῆς ὑπερβαλλούσης δυνάμεως ἰσχύν[10] δήλην κατέστησε, τῶν οἷς αὐτὸς ἔπασχε ἐναντίων ὑποστήσας τῇ φύσει τὴν γένεσιν ἄτρεπτον. Διὰ πάθους γὰρ τὴν ἀπάθειαν καὶ διὰ πόνων τὴν ἄνεσιν καὶ διὰ θανάτου τὴν ἀΐδιον ζωὴν τῇ φύσει δούς, πάλιν ἀπεκατέστησε, ταῖς ἑαυτοῦ κατὰ σάρκα στερήσεσι τὰς ἕξεις ἀνακαινίσας τῆς φύσεως καὶ διὰ τῆς ἰδίας σαρκώσεως τὴν ὑπὲρ φύσιν χάριν δωρησάμενος τῇ φύσει, τὴν θέωσιν.

Γέγονεν οὖν ὁ Θεὸς κατὰ ἀλήθειαν ἄνθρωπος καὶ δέδωκεν ἄλλην ἀρχὴν τῇ φύσει δευτέρας γενέσεως, διὰ πόνου πρὸς ἡδονὴν μελλούσης ζωῆς καταλήγουσαν. Ὡς γὰρ Ἀδὰμ ὁ προπάτωρ, ἐπειδὴ τὴν θείαν ἐντολὴν παραβάς, ἄλλην ἀρχὴν γενέσεως ἐξ ἡδονῆς μὲν συνισταμένην, εἰς δὲ τὸν διὰ πόνου θάνατον τελευτῶσαν τῇ φύσει παρὰ τὴν πρώτην παρεισήγαγε, καὶ ἐπενόησε κατὰ τὴν συμβουλὴν τοῦ ὄφεως ἡδονὴν οὐκ οὖσαν προλαβόντος πόνου διάδοχον, ἀλλὰ μᾶλλον εἰς πόνου περαιουμένην, πάντας τοὺς ἐξ αὐτοῦ σαρκὶ κατ' αὐτὸν γενομένους, διὰ τὴν ἐξ ἡδονῆς ἄδικον ἀρχήν, εἶχε συνυπαγομένους αὐτῷ δικαίως πρὸς τὸ διὰ πόνου κατὰ τὸν θάνατον τέλος, οὕτω καὶ ὁ Κύριος γενόμενος ἄνθρωπος καὶ ἄλλην ἀρχὴν δευτέρας γενέσεως ἐκ Πνεύματος ἁγίου τῇ φύσει δημιουργήσας καὶ τὸν διὰ πόνου τοῦ Ἀδὰμ

ὁποία παθητὴ φύση κρυβόταν ἡ δύναμη τῆς ἁμαρτίας καὶ τοῦ θανάτου καὶ ἡ τυραννία τῆς ἁμαρτίας μὲ τὴν ἡδονή, κι ἐξαιτίας αὐτῆς ἡ δυναστεία τοῦ θανάτου μὲ τὴν ὀδύνη. Γιατὶ στὴν παθητότητα τῆς φύσης ὑπάρχει προφανῶς ἡ δύναμη τῆς ἡδονῆς καὶ ὀδύνης. Θέλοντας δηλαδὴ νὰ ξεφύγομε τὴν ὅλο πόνο αἴσθηση τῆς ὀδύνης, καταφεύγομε στὴν ἡδονή, ἐπιχειρώντας νὰ ἀνακουφίσομε τὴ φύση μας ποὺ ταλαιπωρεῖται ἀπὸ τὰ βασανιστήρια τῆς ὀδύνης. Κι ἔτσι, σπεύδοντας ν' ἀμβλύνομε μὲ τὴν ἡδονὴ τὶς ἐνοχλήσεις τῆς ὀδύνης, ἐπιβεβαιώνομε περισσότερο τὸ ἐναντίον μας χειρόγραφο, ἐπειδὴ δὲν μποροῦμε ν' ἀπολαμβάνομε τὴν ἡδονὴ ἐλεύθερη ἀπὸ ὀδύνη καὶ πόνους.

Τὴν ἰσχὺ πάλι τῆς ὑπερβάλλουσας δύναμης τὴν ἔκανε φανερὴ ἐγκαθιστώντας στὴ φύση μας ἀμετάβλητη τὴ γένεση τῶν ἀντίθετων ἀπὸ ὅσα αὐτὸς ἔπασχε. Δίνοντας δηλαδὴ στὴ φύση μας μὲ τὸ πάθος τὴν ἀπάθεια, μὲ τοὺς πόνους τὴν ἄνεση, καὶ μὲ τὸ θάνατο τὴν ἀίδια ζωή, τὴν ἀποκατάστησε πάλι, ἀνακαινίζοντας τὶς δυνατότητες τῆς φύσης μας μὲ τὶς στερήσεις του κατὰ σάρκα καὶ χαρίζοντας μὲ τὴ σάρκωσή του τὴν ὑπερφυσικὴ δωρεά, τὴ θέωση.

Ἔγινε λοιπὸν ὁ Θεὸς ἀληθινὰ ἄνθρωπος κι ἔδωσε στὴν ἀνθρώπινη φύση μιὰν ἄλλη ἀρχὴ δεύτερης γένεσης, ποὺ καταλήγει μέσω τοῦ πόνου στὴν ἡδονὴ τῆς μέλλουσας ζωῆς. Ὅπως δηλαδὴ ὁ προπάτορας Ἀδὰμ παρέβηκε τὴ θεία ἐντολὴ καὶ εἰσήγαγε στὴ φύση, ἀθετώντας τὴν πρώτη, μιὰν ἄλλη ἀρχὴ γένεσης, ποὺ συνίσταται ἀπὸ ἡδονὴ καὶ καταλήγει στὸν μέσω τοῦ πόνου θάνατο, καὶ σύμφωνα μὲ τὴ συμβουλὴ τοῦ φιδιοῦ ἐπινόησε μιὰ ἡδονὴ ποὺ δὲν διαδεχόταν ἕνα προηγούμενο πόνο, ἀλλὰ ποὺ κατέληγε μᾶλλον στὸν πόνο, καὶ ὅλους ὅσοι ἔγιναν ἀπὸ αὐτὸν σύμφωνα μ' αὐτὸν ἐξαιτίας τῆς ἄδικης ἀπὸ τὴν ἡδονὴ ἀρχῆς τους, τοὺς εἶχε νὰ βαδίζουν δίκαια μαζί του πρὸς τὸ μέσω τοῦ πόνου τέλος τοῦ θανάτου, ἔτσι καὶ ὁ Κύριος· ὅταν ἔγινε ἄνθρωπος καὶ δημιούργησε γιὰ τὴ φύση ἄλλη ἀρχὴ γένεσης ἀπὸ τὸ Πνεῦμα τὸ ἅγιο κι ἀφοῦ δέχτηκε τὸν διαμέσου τοῦ πόνου δι-

δικαιότατον καταδεξάμενος θάνατον, ἐν αὐτῷ δηλαδὴ γενόμενον ἀδικώτατον, ὡς οὐκ ἔχοντα τῆς ἰδίας ἀρχὴν γενέσεως τὴν ἐκ παρακοῆς ἀδικωτάτην τοῦ προπάτορος ἡδονήν, ἀμφοτέρων τῶν ἄκρων, ἀρχῆς τε λέγω καὶ τέλους τῆς κατὰ τὸν Ἀδὰμ ἀνθρωπίνης γενέσεως, οἷα δὴ προηγουμένως οὐκ ὄντων ἐκ τοῦ Θεοῦ, τὴν ἀναίρεσιν ἐποιήσατο, καὶ πάντας τοὺς ἐξ αὐτοῦ ἐνοχῆς ἐλευθέρους κατέστησεν, ἔχοντας μὲν τοῦ Ἀδάμ[11]*, οὐκέτι τὴν ἐκ τοῦ Ἀδὰμ ἡδονὴν τῆς γενέσεως, μόνην δὲ τὴν διὰ τὸν Ἀδὰμ ὀδύνην ἐνεργοῦσαν ἐν αὐτοῖς, οὐ κατὰ χρέος ὑπὲρ ἁμαρτίας, ἀλλὰ κατ' οἰκονομίαν διὰ τὴν κατὰ φύσιν περίστασιν, κατὰ τῆς ἁμαρτίας, τὸν θάνατον, ὃς ὁπόταν μὴ ἔχῃ γεννῶσαν αὐτὸν μητέρα τήν, ἧς γίνεσθαι πέφυκε τιμωρός, ἡδονήν, ἀϊδίου ζωῆς προδήλως καθίσταται πατήρ. Ὡς γὰρ τοῦ Ἀδὰμ ἡ καθ' ἡδονὴν ζωὴ θανάτου καὶ φθορᾶς γέγονε μήτηρ, οὕτω καὶ ὁ διὰ τὸν Ἀδὰμ τοῦ Κυρίου θάνατος, ὑπάρχων τῆς ἐκ τοῦ Ἀδὰμ ἐλεύθερος ἡδονῆς, ἀιδίου γεννήτωρ γίνεται ζωῆς.*

Οὐκοῦν ἐπειδή, καθὼς οἶμαι, καλῶς διεῖλεν ὁ λόγος, πῶς μὲν ἡ καθ' ἡδονὴν ἐκ τοῦ Ἀδὰμ γένεσις τυραννοῦσα τὴν φύσιν βορὰν τῷ δι' αὐτὴν θανάτῳ παρέπεμπε, πῶς δὲ πάλιν ἡ διὰ φιλανθρωπίαν τοῦ Κυρίου κατὰ σάρκα γέννησις ἀμφοτέρων ἀναίρεσιν ἐποιήσατο, ἡδονῆς λέγω τῆς ἐκ τοῦ Ἀδὰμ καὶ θανάτου τοῦ διὰ τὸν Ἀδάμ, συνεξαφανίζουσα τῇ τοῦ Ἀδὰμ ἁμαρτίᾳ τὸ τοῦ Ἀδὰμ ἐπιτίμιον. Οὐ γὰρ ἦν δυνατὸν πρὸς φθορὰν ἁλῶναι διὰ τοῦ θανάτου κατὰ τὸ τέλος[12]*, τὴν μηδαμῶς τῆς ἀρχῆς ἀψαμένην γένεσιν, δι' ἧς ὑπέστη κατὰ τὸ τέλος ὁ θάνατος, ἐπειδὴ ταῦτα διεῖλεν, ὡς ἔφην, ἀλλήλων ὁ λόγος, ἕως ὅτου μόνα τὰ τοῦ Ἀδὰμ κατά τε τὴν ἀρχὴν καὶ τὸ τέλος, φημὶ δὲ τὰ κατὰ γένεσιν καὶ τὴν φθορὰν γνωρίσματα, τυραννικῶς ἐκράτει τῆς φύσεως, οὐκ ἦν καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα πρὸς τελείαν τῆς ἁμαρτίας κατάκρισιν. Ὅτε δὲ διὰ σαρκὸς ἡμῖν ἐπεφάνη καὶ γέ-*

καιότατο θάνατο τοῦ 'Αδάμ, ποὺ σ' αὐτὸν βέβαια ἔγινε ἀδικότατος, ἐπειδὴ δὲν εἶχε ἀρχὴ τῆς γένεσής του τὴν ἀδικότατη ἡδονὴ ἀπὸ τὴν παρακοὴ τοῦ προπάτορα, πραγματοποίησε τὴν ἀναίρεση καὶ τῶν δύο ἄκρων, ἐννοῶ τὴν ἀρχὴ καὶ τὸ τέλος τῆς κατὰ τὸν 'Αδὰμ ἀνθρώπινης γένεσης, ἐπειδὴ προηγουμένως δὲν ἦταν ἀπὸ τὸ Θεό. Καὶ ὅλους ὅσοι ἀναγεννιοῦνται πνευματικὰ ἀπὸ αὐτόν, τοὺς ἀπελευθέρωσε ἀπὸ τὴν ἐνοχή τους γι' αὐτά, ἀφοῦ δὲν εἶχαν πιὰ ἀπὸ τὸν 'Αδὰμ τὴν ἡδονὴ τῆς γένεσης, ἀλλὰ μόνο τὴν ἐξαιτίας τοῦ 'Αδὰμ ὀδύνη ποὺ ἐνεργοῦσε μέσα τους τὸ θάνατο, ὄχι ἀπὸ χρέος πρὸς τὴν ἁμαρτία, ἀλλὰ κατ' οἰκονομία, ἐξαιτίας τῆς φυσικῆς δυσκολίας κατὰ τῆς ἁμαρτίας, ὁ ὁποῖος θάνατος ὅταν δὲν ἔχει μητέρα ποὺ τὸν γεννᾶ τὴν ἡδονή, ποὺ ἀπὸ τὴ φύση του εἶναι τιμωρός της, γίνεται ὁλοφάνερα πατέρας τῆς αἰώνιας ζωῆς. Ὅπως δηλαδὴ ἡ σύμφωνη μὲ τὴν ἡδονὴ ζωὴ τοῦ 'Αδὰμ ἔγινε μητέρα τοῦ θανάτου καὶ τῆς φθορᾶς, ἔτσι κι ὁ ἐξαιτίας τοῦ 'Αδὰμ θάνατος τοῦ Κυρίου, ἐπειδὴ εἶναι ἐλεύθερος ἀπὸ τὴν ἀπὸ τὸν 'Αδὰμ προερχόμενη ἡδονή, γίνεται πατέρας τῆς αἰώνιας ζωῆς.

Καθὼς λοιπὸν νομίζω, διευκρίνησε καλὰ ὁ λόγος, πῶς ἀπὸ τὴ μία ἡ γένεση ἀπὸ τὸν 'Αδὰμ ἡ συνοδευόμενη ἀπὸ τὴν ἡδονὴ τυραννώντας τὴ φύση τὴν ἔριχνε ἐξαιτίας της βορὰ στὸ θάνατο, καὶ πῶς ἀπὸ τὴν ἄλλη ἡ κατὰ σάρκα γέννηση τοῦ Κυρίου ἀπὸ φιλανθρωπία πραγματοποίησε τὴν ἀναίρεση καὶ τῶν δύο, ἐννοῶ τὴν ἀπὸ τὸν 'Αδὰμ ἡδονὴ καὶ τὸν μέσω τοῦ 'Αδὰμ θάνατο, ἐξαφανίζοντας μαζὶ μὲ τὴν ἁμαρτία τὸν 'Αδὰμ καὶ τὸ ἐπιτίμιο τοῦ 'Αδάμ. Γιατὶ δὲν ἦταν δυνατὸ στὸ τέλος νὰ πιαστεῖ μέσα στὴ φθορὰ διαμέσου τοῦ θανάτου ἡ γένεση ποὺ καθόλου δὲν ἄγγιξε τὴν ἀρχη, τῆς ὁποίας ὡς τέλος ὑποβλήθηκε ὁ θάνατος. Ἐπειδὴ αὐτὰ τὰ διαχώρισε, ὅπως εἶπα, ὁ λόγος τὸ ἕνα ἀπὸ τὸ ἄλλο, ὅσο κυριαρχοῦσαν στὴ φύση μας τυραννικὰ μόνο τὰ γνωρίσματα τοῦ 'Αδὰμ στὴν ἀρχὴ καὶ στὸ τέλος, κι ἐννοῶ τὰ γνωρίσματα γένεσης καὶ φθορᾶς, δὲν ἦταν καιρὸς νὰ ἀρχίσει ἡ κρίση γιὰ τὴν τέλεια κατάκριση τῆς ἁμαρτίας. Ὅταν ὅμως φά-

γονε τέλειος ἄνθρωπος, χωρὶς μόνης ἁμαρτίας, ὁ τοῦ Θεοῦ Λόγος, μόνον ἔχων ἐν τῇ σαρκὶ τοῦ Ἀδὰμ φύσει κατὰ θέλησιν τὸ ἐπιτίμιον, καὶ κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἀνευθύνως πάσχων ὑπὲρ ἀδίκων ὁ δίκαιος, καὶ ἀνέτρεψε τὴν χρῆσιν τοῦ θανάτου, κατάκριμα τῆς ἁμαρτίας αὐτὸν ἀπεργασάμενος, ἀλλ' οὐ τῆς φύσεως, γέγονε καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα κατὰ τὴν ἀντιστροφὴν τοῦ θανάτου πρὸς τὴν τῆς ἁμαρτίας κατάκρισιν.

Οἷόν τι λέγω· τὸν Ἀδὰμ ἡ ἁμαρτία κατ' ἀρχὰς δελεάσασα, πρὸς παράβασιν ἐλθεῖν τῆς θείας παρέπεισεν ἐντολῆς, καθ' ἣν τὴν ἡδονὴν ὑποστήσασα καὶ ἑαυτὴν διὰ τῆς ἡδονῆς ἐν αὐτῷ καθηλώσασα τῷ πυθμένι τῆς φύσεως, τὸν θάνατον τῆς ὅλης κατέκρινε φύσεως, ὠθοῦσα πρὸς ἀπογένεσιν κατὰ τὸν θάνατον διὰ τοῦ ἀνθρώπου(13) τὴν φύσιν τῶν γεγονότων. Τοῦτο γὰρ καὶ μεμηχάνηται τῷ σπορεῖ τῆς ἁμαρτίας καὶ πατρὶ τῆς κακίας πονηρῷ διαβόλῳ, τῷ ἑαυτὸν μὲν ἐξ ὑπερηφανίας τῆς θείας ἐξοικίσαντι δόξης, διὰ φθόνον δὲ τόν τε πρὸς ἡμᾶς καὶ τὸν Θεὸν τοῦ παραδείσου τὸν Ἀδὰμ ἐξοικίσαντι, ἀφανίσαι τὰ ἔργα τοῦ Θεοῦ καὶ διαλῦσαι τὰ συνεστῶτα πρὸς γένεσιν. Φθονεῖ γὰρ οὐ μόνον ἡμῖν ὁ μιαρώτατος τῆς ἐπὶ τῷ Θεῷ διὰ τὴν ἀρετὴν δόξης(14), ἀλλὰ καὶ τῷ Θεῷ τῆς ἐφ' ἡμῖν διὰ τὴν σωτηρίαν πανυμνήτου δυνάμεως.

Πάσης οὖν ἐκράτει δυναστεύων τῆς φύσεως ὁ διὰ τὴν παράβασιν θάνατος, τοῦ κράτους ἔχων ὑπόθεσιν τὴν ἐκ τῆς παρακοῆς ἄρξασαν τῆς κατὰ τὴν φύσιν ὅλης γενέσεως ἡδονήν, δι' ἣν αὐτὸς ὁ θάνατος κατεκρίθη τῆς φύσεως. Ὁ δὲ Κύριος γενόμενος ἄνθρωπος καὶ μὴ λαβὼν προκαθηγουμένην αὐτοῦ τῆς κατὰ σάρκα γεννήσεως τὴν ἄδικον ἡδονήν, δι' ἣν ἡ διὰ τοῦ θανάτου κατὰ τῆς φύσεως ἐξηνέχθη δικαία κατάκρισις, αὐτὸν δὲ κατὰ φύσιν θέλων ἐν τῷ παθητῷ τῆς φύσεως καταδεξάμενος θάνατον, δηλονότι πάσχων, τὴν τοῦ θανάτου χρῆσιν ἀνέστρεψεν, οὐκ ὄντα λοιπὸν ἐν αὐτῷ τῆς φύσεως, ἀλλὰ τῆς ἁμαρτίας προ-

νηκε σ' ἐμᾶς μέσα στὴ σάρκα κι ἔγινε τέλειος ἄνθρωπος, χωρὶς μόνο τὴν ἁμαρτία, ὁ Λόγος τοῦ Θεοῦ, ἔχοντας μόνο στὴ σάρκα ἀπὸ τὴ φύση μὲ θέλησή του τὸ ἐπιτίμιο τοῦ 'Αδάμ, καὶ καταδίκασε τὴν ἁμαρτία στὴ σάρκα, πάσχοντας χωρὶς νὰ εἶναι ἔνοχος ὁ δίκαιος γιὰ χάρη τῶν ἀδίκων, καὶ ἀνάτρεψε τὴ χρήση τοῦ θανάτου κάνοντάς τον ποινὴ τῆς ἁμαρτίας καὶ ὄχι τῆς φύσης, ἦρθε ὁ καιρὸς ν' ἀρχίσει ἡ κρίση κατὰ τὴν ἀντιστροφὴ τοῦ θανάτου γιὰ τὴν κατάκριση τῆς ἁμαρτίας.

Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Δελεάζοντας στὴν ἀρχὴ ἡ ἁμαρτία τὸν 'Αδάμ, τὸν ἔπεισε νὰ προχωρήσει στὴν παράβαση τῆς θείας ἐντολῆς, καὶ μὲ αὐτὴν ἔβαλε ὡς βάση τὴν ἡδονὴ καὶ στερεώνοντας τὸν ἑαυτό της μέσα του μέσω τῆς ἡδονῆς στὰ μύχια τῆς φύσης του καταδίκασε ὅλη τὴ φύση σὲ θάνατο, ὠθώντας μέσω τοῦ ἀνθρώπου στὴ φθορὰ τοῦ θανάτου τὴ φύση ὅσων εἶχαν γίνει. Αὐτὸ εἶχε μηχανευτεῖ ὁ σπορέας τῆς ἁμαρτίας καὶ πατέρας τῆς κακίας δόλιος διάβολος, ποὺ μόνος του ἐξαιτίας τῆς ὑπερηφάνειάς του ἀποξενώθηκε ἀπὸ τὴ θεία δόξα καὶ ἀπὸ φθόνο πρὸς ἐμᾶς καὶ πρὸς τὸ Θεὸ ἔβγαλε τὸν 'Αδὰμ ἀπο τὸν παράδεισο, μὲ σκοπὸ ν' ἀφανίσει τὰ ἔργα τοῦ Θεοῦ καὶ νὰ διαλύσει ὅσα συντελοῦν στὴ γένεση. Γιατὶ δὲ φθονεῖ ἐμᾶς μονάχα ὁ παμμίαρος γιὰ τὴ δόξα ποὺ θὰ ἔχομε ἀπὸ τὸ Θεὸ ἐξαιτίας τῆς ἀρετῆς μας, ἀλλὰ φθονεῖ καὶ τὸ Θεὸ γιὰ τὴν πανύμνητη δύναμη ποὺ χρησιμοποιεῖ σ' ἐμᾶς γιὰ τὴ σωτηρία μας.

Κυριαρχοῦσε λοιπὸν δυναστικὰ σ' ὅλη τὴ φύση ὁ θάνατος ποὺ προῆλθε ἀπὸ τὴ παράβαση, ἔχοντας ὡς βάση τῆς ἐξουσίας του τὴν ἡδονὴ ποὺ ἀπὸ τὴν παρακοὴ ἔκανε ἀρχὴ σὲ ὅλη τὴ γένεση τῆς φύσης μας, ἐξαιτίας τῆς ὁποίας καταλογίστηκε στὴ φύση μας ὁ θάνατος αὐτός. 'Ο Κύριος ὅμως γενόμενος ἄνθρωπος καὶ μὴ ἔχοντας νὰ προηγεῖται ἀπὸ τὴν κατὰ σάρκα γέννησή του τὴν ἄδικη ἡδονή, γιὰ τὴν ὁποία ἐπιβλήθηκε στὴ φύση μας ἡ δίκαιη κατάκριση τοῦ θανάτου, ἀφοῦ ἀποδέχτηκε μὲ τὴ θέλησή του στὴ φύση του καὶ στὸ παθητό της μέρος τὸ θάνατο, μὲ τὸ πάθος του δηλαδή, ἀντέστρεψε τὴ χρήση τοῦ θανάτου, κά-

δήλως κατάκρισιν. Οὐ γὰρ ἦν δυνατὸν εἶναι τὸν θάνατον, ἐν τῷ μὴ τὴν γένεσιν ἐξ ἡδονῆς ἐσχηκότι, κατάκρισιν φύσεως, ἀλλὰ τῆς τοῦ προπάτορος ἁμαρτίας ἀναίρεσιν, δι' ἣν ὁ τοῦ θανάτου φόβος ὅλης ἐκράτει τῆς φύσεως.

Εἰ γὰρ ἐν τῷ Ἀδὰμ ὁ θάνατος τῆς φύσεως ὑπῆρχε κατάκρισις, ἀρχὴν ἐχούσης τὴν ἡδονὴν τῆς ἰδίας γενέσεως, εἰκότως ὁ θάνατος ἐν Χριστῷ τῆς ἁμαρτίας κατάκρισις γέγονεν, ἡδονῆς καθαρὰν ἐν Χριστῷ πάλιν τῆς φύσεως ἀπολαβούσης τὴν γένεσιν, ἵν', ὥσπερ κατέκρινεν εἰς φθορὰν ἐν τῷ Ἀδὰμ κατὰ τὴν ἡδονὴν ἡ ἁμαρτία διὰ τοῦ θανάτου τὴν φύσιν καὶ γέγονε καιρὸς τοῦ κατακρίνεσθαι θανάτῳ τὴν φύσιν διὰ τὴν ἁμαρτίαν, οὕτως ἐν Χριστῷ κατὰ τὴν δικαιοσύνην ἡ φύσις διὰ τοῦ θανάτου κατακρίνῃ τὴν ἁμαρτίαν καὶ γένηται καιρὸς τοῦ κατακρίνεσθαι θανάτῳ τὴν ἁμαρτίαν, διὰ τὴν δικαιοσύνην τῆς φύσεως, ἐκδυσαμένης ἐν Χριστῷ παντελῶς τὴν ἐξ ἡδονῆς γένεσιν, καθ' ἣν ἀναγκαίως τοῖς πᾶσιν ὡς χρέος ὁ τῆς κατακρίσεως παρείπετο θάνατος· ὥστε τὸν αὐτὸν θάνατον, ἐν μὲν τῷ Ἀδὰμ διὰ τὴν ἁμαρτίαν κατάκρισιν ὑπάρχειν τῆς φύσεως, ἐν δὲ τῷ Χριστῷ διὰ τὴν δικαιοσύνην κατάκρισιν ὑπάρχειν τῆς ἁμαρτίας. Ὁ γὰρ πάσχων δι' ἁμαρτίαν εἰς κατάκρισιν τῆς φύσεως, δικαίως ὑπομένει τὸν θάνατον, ὁ δὲ μὴ πάσχων δι' ἁμαρτίαν, ὡς χάριν μᾶλλον κατ' ὀκονομίαν τῇ φύσει διδούς, εἰς κατάκρισιν τῆς ἁμαρτίας, τὸν διὰ τὴν ἁμαρτίαν εἰς τὴν αὐτῆς ἀναίρεσιν θέλων καταδέχεται θάνατον.

Οὐκοῦν, ὥσπερ διὰ τὸν Ἀδὰμ τὸν ὑποστήσαντα διὰ τῆς παρακοῆς τὸν καθ' ἡδονὴν τῆς γενέσεως νόμον καὶ τὸν δι' αὐτὸν κατακριθέντα τῆς φύσεως θάνατον πάντες οἱ ἐκ τοῦ Ἀδὰμ τὸ εἶναι λαβόντες κατὰ τὸν ἐξ ἡδονῆς τῆς γενέσεως νόμον εἶχον ἀναγκαίως, καὶ μὴ βουλόμενοι, συνεζευγμένον κατὰ δύναμιν τῇ

νοντάς τον νὰ μὴν εἶναι πιὰ καταδίκη τῆς φύσης, ἀλλὰ ὁλοφάνερα τῆς ἁμαρτίας. Γιατὶ δὲν ἦταν δυνατὸ νὰ εἶναι ὁ θάνατος γιὰ ἐκεῖνον, ποὺ δὲν ἔλαβε τὴ γένεσή του ἀπὸ ἡδονή, κατάκριση τῆς φύσης του ἀλλὰ ἀναίρεση τῆς ἁμαρτίας τοῦ προπάτορα, ποὺ ἐξαιτίας της κυριαρχοῦσε σ' ὅλη τὴ φύση ὁ φόβος τοῦ θανάτου.

Ἂν δηλαδὴ στὸν Ἀδὰμ ὁ θάνατος ἀποτελοῦσε κατάκριση τῆς φύσης, ἐπειδὴ εἶχε ἀρχὴ τῆς γένεσής της τὴν ἡδονή, δικαιολογημένα ὁ θάνατος τοῦ Χριστοῦ ἦταν κατάκριση τῆς ἁμαρτίας καὶ ἡ φύση κέρδισε πάλι τὴ γένεσή της μέσω τοῦ Χριστοῦ καθαρὴ ἀπὸ ἡδονή, ὥστε, ὅπως ἡ ἁμαρτία στὸ πρόσωπο τοῦ Ἀδὰμ καταδίκασε στὴ φθορὰ ἐξαιτίας τῆς ἡδονῆς τὴ φύση μας μέσω τοῦ θανάτου, καὶ ἦρθε ὁ καιρὸς νὰ κατακριθεῖ ἡ φύση σὲ θάνατο ἐξαιτίας τῆς ἁμαρτίας, ἔτσι στὸ πρόσωπο τοῦ Χριστοῦ σύμφωνα μὲ τὴν ἀπαίτηση τῆς δικαιοσύνης ἡ φύση νὰ κατακρίνει μὲ τὸ θάνατο τὴν ἁμαρτία καὶ νὰ ἔρθει ὁ καιρὸς νὰ καταδικαστεῖ μὲ θάνατο ἡ ἁμαρτία, γιὰ νὰ δικαιωθεῖ ἡ φύση ποὺ ἀπέθεσε ὁλότελα στὸ πρόσωπο τοῦ Χριστοῦ τὴ γένεση ἀπὸ τὴν ἡδονή, ποὺ γι' αὐτὴν ἀκολουθοῦσε κατανάγκην ὅλους μας ὡς χρέος ὁ θάνατος τῆς καταδίκης μας. Ὥστε ὁ ἴδιος θάνατος στὸ πρόσωπο τοῦ Ἀδὰμ νὰ εἶναι κατάκριση τῆς φύσης ἐξαιτίας τῆς ἁμαρτίας, ἐνῶ στὸ πρόσωπο τοῦ Χριστοῦ γιὰ χάρη τῆς δικαιοσύνης νὰ εἶναι κατάκριση τῆς ἁμαρτίας. Γιατὶ ὅποιος πάσχει ἐξαιτίας τῆς ἁμαρτίας γιὰ τὴν καταδίκη τῆς φύσης ὑπομένει δίκαια τὸ θάνατο, ἐνῶ ὅποιος δὲν πάσχει γιὰ τὴν ἁμαρτία, ἀλλὰ μᾶλλον κάνει χάρη κατ' οἰκονομία στὴ φύση γιὰ νὰ καταδικαστεῖ ἡ ἁμαρτία, δέχεται θέλοντας τὸ θάνατο ἐξαιτίας τῆς ἁμαρτίας γιὰ τὴν ἀναίρεσή της.

Ὅπως λοιπὸν ἐξαιτίας τοῦ Ἀδάμ, ποὺ μὲ τὴν παρακοὴ ἔθεσε τὸν νόμο τῆς γένεσης μὲ ἡδονὴ καὶ ποὺ γι' αὐτὸ καταδικάστηκε ἡ φύση μας σὲ θάνατο, ὅλοι ὅσοι ἔλαβαν τὴν ὕπαρξη ἀπὸ τὸν Ἀδὰμ κατὰ τὸ νόμο τῆς γένεσης μὲ ἡδονή, εἶχαν ὑποχρεωτικὰ καὶ χωρὶς νὰ θέλουν ἀκόμα ἰσχυρὰ δεμένο μαζί μὲ τὴ

γενέσει καὶ τὸν κατακριθέντα τῆς φύσεως θάνατον, καὶ ἦν καιρὸς τοῦ κατακρίνεσθαι τὴν φύσιν ὑπὸ τῆς ἁμαρτίας, ἐφ' ὅσον ἐκράτει τῆς φύσεως ὁ τῆς καθ' ἡδονὴν τῆς γενέσεως νόμος, οὕτω διὰ τὸν Χριστόν, τὸν παντελῶς ἀφελόμενον τῆς φύσεως τὸν καθ' ἡδονὴν τῆς γενέσεως νόμον καὶ τοῦ δι' αὐτὸν κατακριθέντος τῆς φύσεως θανάτου τὴν χρῆσιν, εἰς μόνην τῆς ἁμαρτίας κατάκρισιν βουλήσει καταδεξάμενον, πάντες οἱ ἀπὸ Χριστοῦ κατὰ θέλησιν Πνεύματι διὰ λουτροῦ παλιγγενεσίας ἀναγεννηθέντες, καὶ τὴν καθ' ἡδονὴν προτέραν τοῦ Ἀδὰμ διὰ τῆς χάριτος ἀποθέμενοι γένεσιν, καὶ τὴν ἐν τῷ βαπτίσματι χάριν τῆς ἀναμαρτησίας, καὶ τῆς ἐν Πνεύματι μυστικῆς υἱοθεσίας τὴν δύναμιν ἀμείωτόν τε καὶ ἄχραντον διὰ τοῦ νόμου τῶν εὐαγγελικῶν φυλάξαντες ἐντολῶν, εἰκότως εἰς τὴν τῆς ἁμαρτίας κατάκρισιν ἔχουσι τὴν τοῦ θανάτου χρῆσιν ἐνεργουμένην, καιρὸν λαβόντες κατακρίνειν ἐν τῇ σαρκὶ τὴν ἁμαρτίαν· γενικῶς μὲν κατὰ φύσιν χάριτι διὰ τὸ μέγα μυστήριον τῆς ἐνανθρωπήσεως[15], αὐτὸν τὸν ἀπὸ τῆς τοῦ Λόγου σαρκώσεως χρόνον, ἰδικῶς δὲ κατ' ἐνέργειαν χάριτι, τὸν ἀφ' οὗ διὰ τοῦ βαπτίσματος ἔλαβεν ἕκαστος τὴν χάριν τῆς υἱοθεσίας, καθ' ἣν ἐνεργουμένην ταῖς ἐντολαῖς γνωμικῶς μόνην τὴν ἐν Πνεύματι γένεσιν ἔχοντες, διὰ πολλῶν παθημάτων εἰς κατάκρισιν τῆς ἁμαρτίας ὑπομένουσι τὴν τοῦ θανάτου χρῆσιν αὐτοῖς ἐπαγομένην.

Οὐ γὰρ ἔτι δι' ἁμαρτίαν, ὁ βαπτισθεὶς καὶ φυλάξας τὸ βάπτισμα ταῖς ἐντολαῖς κρατυνόμενον, ὡς χρέος ὑπὲρ ἁμαρτίας καταβάλλεται τὸν θάνατον, ἀλλ' εἰς κατάκρισιν τῆς ἁμαρτίας τὴν αὐτοῦ καταδέχεται χρῆσιν, πρὸς τὴν θείαν καὶ ἀτελεύτητον ζωὴν μυστικῶς αὐτὸν παραπέμπουσαν, εἴπερ ἀληθείας ἕνεκεν καὶ δικαιοσύνης διὰ πολλῶν παθημάτων γενναίως τὸν τῆς παρούσης ζωῆς πεπληρώκασι δρόμον οἱ ἅγιοι, τῆς διὰ τὴν ἁμαρτίαν κατακρίσεως τοῦ θανάτου τὴν φύσιν ἐν ἑαυτοῖς ἐλευθερώσαντες καὶ τὸ πρὸς ἀναίρεσιν τῆς φύσεως ὅπλον τοῦ θανάτου

γένεση καὶ τὸ θάνατο ποὺ καταλογίστηκε στὴ φύση μας, καὶ ἦταν καιρὸς νὰ κατακρίνεται ἡ φύση ἀπὸ τὴν ἁμαρτία, ἐφόσον εἶχε στὴν ἐξουσία του τὴ φύση ὁ νόμος τῆς γένεσης μὲ ἡδονή, ἔτσι χάρη στὸ Χριστὸ ποὺ ἀφαίρεσε τελείως ἀπὸ τὴ φύση τὸ νόμο τῆς γένεσης μὲ ἡδονὴ καὶ ποὺ ἀποδέχτηκε θέλοντας τὴ χρήση τοῦ θανάτου, ποὺ γιὰ τὸ νόμο αὐτὸν καταλογίστηκε στὴ φύση μας, μόνο γιὰ τὴν κατάκριση τῆς ἁμαρτίας, ὅλοι ὅσοι ἀναγεννήθηκαν πνευματικὰ μὲ τὴ θέλησή τους μὲ τὸ λουτρὸ τῆς παλιγγενεσίας καὶ ἀπόθεσαν μὲ τὴ χάρη τὴν προηγούμενη γένεση τοῦ Ἀδὰμ μὲ τὴν ἡδονὴ καὶ φύλαξαν ἀμείωτη καὶ ἄχραντη μὲ τὸ νόμο τῶν εὐαγγελλικῶν ἐντολῶν, τόσο τὴ χάρη τῆς ἀναμαρτησίας ἀπὸ τὸ βάπτισμα, ὅσο καὶ τὴ δύναμη τῆς πνευματικῆς μυστικῆς υἱοθεσίας, εὔλογα ἔχουν νὰ λειτουργεῖ ἡ χρήση τοῦ θανάτου στὴν κατάκριση τῆς ἁμαρτίας, ἔχοντας βρεῖ τὸν καιρὸ νὰ κατακρίνουν τὴν σαρκικὴ ἁμαρτία, γενικὰ βέβαια κατὰ χάρη σὲ ὅλη τὴ φύση ἐξαιτίας τοῦ μεγάλου μυστηρίου τῆς ἐνανθρώπησης τὸν ἴδιο τὸ χρόνο ἀπὸ τὴ σάρκωση τοῦ Λόγου, καὶ εἰδικὰ στὴν πράξη μὲ τὴ χάρη, τὸ χρόνο κατὰ τὸν ὁποῖο ἔλαβε καθένας μὲ τὸ βάπτισμα τὴ χάρη τῆς υἱοθεσίας. Κατ' αὐτήν, ἔχοντας μόνο τὴν πνευματικὴ γένεση νὰ πραγματοποιεῖται μὲ τὴν θέλησή τους ἐκτελώντας τὶς ἐντολὲς καὶ ὑφιστάμενοι πολλὰ παθήματα γιὰ τὴν κατάκριση τῆς ἁμαρτίας, ὑπομένουν τὴ χρήση τοῦ θανάτου ποὺ ἀπειλεῖται ἐναντίον τους.

Γιατὶ ὁ βαπτισμένος, ποὺ φύλαξε τὸ βάπτισμα ἐνισχυμένο ἀπὸ τὶς ἐντολές, δὲν καταβάλλει πιὰ ἐξαιτίας τῆς ἁμαρτίας τὸ θάνατο ὡς χρέος ὀφειλόμενο στὴν ἁμαρτία, ἀλλὰ δέχεται τὴ χρήση τοῦ θανάτου γιὰ τὴν κατάκριση τῆς ἁμαρτίας ποὺ τὸν παραπέμπει μυστικὰ στὴ θεία καὶ ἀτελεύτητη ζωή. Ἔτσι λοιπὸν γιὰ χάρη τῆς ἀλήθειας καὶ τῆς δικαιοσύνης συμπλήρωσαν μὲ γενναιότητα οἱ ἅγιοι μέσω πολλῶν παθημάτων τὸν δρόμο τῆς παρούσας ζωῆς ἐλευθερώνοντας τὴ φύση τους ἀπὸ τὴν καταδίκη τοῦ θανάτου ἐξαιτίας τῆς ἁμαρτίας καὶ μεταβάλλοντας τὸ ὅπλο τοῦ θανάτου γιὰ τὴν ἀναίρεση τῆς φύσης, σὲ ὅπλο γιὰ

πρὸς ἀναίρεσιν τῆς ἁμαρτίας, κατὰ τὸν ἀρχηγὸν τῆς ἑαυτῶν σωτηρίας Ἰησοῦν, ποιησάμενοι. Εἰ γὰρ ἡ ἁμαρτία πρὸς ἀναίρεσιν φύσεως ὅπλον ἐν τοῖς αὐτὴν κατὰ τὸν Ἀδὰμ ἐνεργοῦσιν εἶχε τὸν θάνατον, πολλῷ μᾶλλον ἐν τοῖς ἐνεργοῦσι τὴν διὰ πίστεως ἐν Χριστῷ δικαιοσύνην ὅπλον ἕξει τὸν θάνατον πρὸς ἀναίρεσιν τῆς ἁμαρτίας ἡ φύσις.

Οὐκοῦν, ἀφ' οὗ γέγονε τὸ μυστήριον τῆς ἐνανθρωπήσεως καὶ ἐξεῖλε πάμπαν ὁ σαρκωθεὶς Θεὸς ἐν τοῖς κατ' αὐτὸν Πνεύματι γενομένοις τὴν τοῦ καθ' ἡδονὴν νόμου τῆς φύσεως γένεσιν, «καιρός», ὡς ἔφην, «γέγονε τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ», τουτέστι κατακριθῆναι τὴν ἁμαρτίαν, τὴν τοῦ κατακρίνεσθαι διὰ παθημάτων λαβοῦσαν ἀρχὴν ἀπὸ τῶν πιστῶν καὶ ἐπεγνωκότων τὴν ἀλήθειαν καὶ τὴν καθ' ἡδονὴν διὰ τοῦ βαπτίσματος γένεσιν ἀποθεμένων· τούτους γὰρ ἐκάλεσεν «οἶκον Θεοῦ», καθὼς μαρτυρεῖ φάσκων ὁ θειότατος ἀπόστολος Παῦλος, «Χριστὸς δὲ ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς». Καὶ αὐτὸς δὲ διὰ τοῦ ἑξῆς λόγου παρίστησι λέγων Πέτρος, ἡ κορυφὴ τῶν ἀποστόλων· «εἰ δὲ πρῶτον ἀφ' ἡμῶν», ἤρξατο δηλονότι τὸ κρῖμα, «τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ;». Ὡσανεὶ ἔλεγεν· Εἰ ἡμεῖς, ὁ οἶκος Θεοῦ γενέσθαι χάριτι διὰ Πνεύματος ἀξιωθέντες, τοσαύτην ὑπὲρ δικαιοσύνης εἰς κατάκρισιν τῆς ἁμαρτίας ὑπομονὴν ἐπιδείκνυσθαι παθημάτων ὀφείλομεν καὶ ὡς κακοῦργοι τὸν ἐφύβριστον, ἀγαθοὶ τυγχάνοντες, προθύμως ἀποφέρεσθαι θάνατον, «τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ;»· τουτέστι, ποῖον ἔσται τὸ τέλος, ἤγουν ἡ κρίσις, τῶν οὐ μόνον ζῶσάν τε καὶ ἐνεργουμένην κατά τε ψυχὴν καὶ σῶμα, γνώμῃ τε καὶ φύσει, τὴν καθ' ἡδονὴν τοῦ Ἀδὰμ κρατήσασαν τῆς φύσεως γένεσιν μέχρι τέλους διὰ σπουδῆς ἐσχηκότων, ἀλλὰ μήτε προδεξα-

τὴν ἀναίρεση τῆς ἁμαρτίας κατὰ τὸ παράδειγμα τοῦ ἀρχηγοῦ τῆς σωτηρίας τους Ἰησοῦ. Ἂν δηλαδὴ ἡ ἁμαρτία γιὰ τὴν ἀναίρεση τῆς φύσης εἶχε ὡς ὅπλο τὸ θάνατο γι' αὐτους ποὺ τὴν ἔπρατταν ἀκολουθώντας τὸν Ἀδάμ, πολὺ περισσότερο σὲ ὅσους πράττουν τὴ δικαιοσύνη ποὺ ἀπαιτεῖ ἡ πίστη στὸ Χριστό, ἡ φύση θὰ χρησιμοποιήσει ὡς ὅπλο τὸ θάνατο γιὰ τὴν ἀναίρεση τῆς ἁμαρτίας.

Ἀφότου λοιπὸν ἔγινε τὸ μυστήριο τῆς ἐνανθρώπησης καὶ ξερίζωσε τελείως ὁ Θεὸς ποὺ σαρκώθηκε μέσα ἀπὸ αὐτοὺς ποὺ γεννιοῦνται πνευματικὰ τὴ γένεση τῆς φύσης σύμφωνα μὲ τὸ νόμο τῆς ἡδονῆς «ἦρθε ὁ καιρός», ὅπως εἶπε, «ν' ἀρχίσει ἡ κρίση ἀπὸ τὸν οἶκο τοῦ Θεοῦ»[2], δηλαδὴ νὰ κατακριθεῖ ἡ ἁμαρτία, ποὺ ἔλαβε ἀρχὴ τῆς κατάκρισής της μὲ παθήματα τῶν πιστῶν ποὺ γνώρισαν τὴν ἀλήθεια κι ἀπόθεσαν μὲ τὸ βάπτισμα τὴ γένεση μὲ ἡδονή. Γιατὶ αὐτοὺς ὀνόμασε οἶκο τοῦ Θεοῦ, ὅπως λέει ἡ μαρτυρία τοῦ θεϊκότατου ἀποστόλου Παύλου· «ὁ Χριστὸς μέσα στὸν οἶκο του, καὶ οἶκος του εἴμαστε ἐμεῖς»[3]. Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Πέτρος, ἡ κορυφὴ τῶν ἀποστόλων, μᾶς παριστάνει τὸ πράγμα λέγοντας· «κι ἂν ἀρχίσει πρῶτα ἀπὸ ἐμᾶς», δηλαδὴ ἡ κρίση, «ποιό θὰ εἶναι τὸ τέλος ἐκείνων ποὺ ἀπειθοῦν στὸ Εὐαγγέλιο τοῦ Θεοῦ[4];». Σὰ νὰ ἔλεγε· Ἂν ἐμεῖς, ποὺ ἀξιωθήκαμε νὰ γίνομε οἶκος τοῦ Θεοῦ μὲ τὴ χάρη τοῦ Πνεύματος, ὀφείλομε νὰ δείχνομε τόση ὑπομονὴ στὰ παθήματα γιὰ χάρη τῆς δικαιοσύνης καὶ γιὰ κατάκριση τῆς ἁμαρτίας καὶ νὰ δεχόμαστε σὰν κακοῦργοι, ἐνῶ εἴμαστε ἀγαθοί, τὸν ἐπονείδιστο θάνατο, «ποιό θὰ εἶναι τὸ τέλος ἐκείνων ποὺ ἀπειθοῦν στὸ Εὐαγγέλιο τοῦ Θεοῦ;». Ποιό θὰ εἶναι δηλαδὴ τὸ τέλος, ἤτοι ἡ κρίση, ἐκείνων ποὺ ὄχι μόνο φύλαξαν μὲ ζῆλο μέχρι τέλους ζωντανὴ καὶ ἔπρατταν συνεχῶς μὲ τὴν ψυχὴ καὶ τὸ σῶμα, μὲ τὴ θέληση καὶ τὴ φύση, τὴ γένεση τοῦ Ἀδὰμ μὲ ἡδονὴ ποὺ κυριάρχησε στὴ φύση μας, ἀλλὰ καὶ οὔτε κὰν δέχτηκαν τὸ Θεὸ καὶ Πατέρα ποὺ

2. Α' Πέτρ. 4,17. 3. Ἑβρ. 3,6. 4. Α' Πέτρ. 4,17.

μένων παρακαλοῦντα τὸν Θεὸν καὶ Πατέρα δι' Υἱοῦ σαρκωθέντος, μήτε μὴν αὐτὸν τὸν ὑπὲρ τοῦ Πατρὸς πρεσβεύοντα Μεσίτην καὶ Υἱόν, καὶ ὑπὲρ τῆς ἡμῶν εἰς τὸν Πατέρα καταλλαγῆς, ἑαυτὸν βουλήσει τοῦ Πατρὸς εἰς τὸν ὑπὲρ ἡμῖν θάνατον κατὰ θέλησιν προϊέμενον, ὅπως δι' ἑαυτὸν ἡμᾶς τοσοῦτον δοξάσῃ, τῷ κάλλει καταφαιδρύνας τῆς οἰκείας θεότητος, ὅσον δι' ἡμᾶς αὐτὸς κατεδέξατο τοῖς ἡμῶν ἀτιμασθῆναι παθήμασι. Τοῦτο γάρ, ὡς οἶμαι, τυχόν ἐστι τὸ τοῦ Θεοῦ Εὐαγγέλιον, πρεσβεία τοῦ Θεοῦ καὶ παράκλησις πρὸς ἀνθρώπους δι' Υἱοῦ σαρκωθέντος καὶ τῆς πρὸς τὸν Πατέρα καταλλαγῆς μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τὴν ἀγέννητον θέωσιν([16]).

Διὸ σχετλιάζων τοῖς ἐφεξῆς τοὺς ἀπειθεῖς ὁ μέγας ἀπόστολος, φησί, «καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;», δίκαιον λέγων, ὡς εἰκός, τὸν πιστὸν καὶ φύλακα τῆς δοθείσης κατὰ τὸ βάπτισμα χάριτος καὶ διὰ πολλῶν παθημάτων ἀκαθαίρετον διατετηρηκότα τὴν διὰ τοῦ Πνεύματος υἱοθεσίαν· σωτηρίαν δὲ τὴν ἐκ Θεοῦ τοῖς ἀξίοις δοθησομένην πληρεστάτην τῆς θεώσεως χάριν, ἧς μόλις ἐπιτεύξεται καὶ ὁ κατ' ἄκρον πάντων τῶν θείων ἀνθεκτικός· ἀσεβῆ δὲ καὶ ἁμαρτωλὸν τὸν τῆς εὐαγγελικῆς ἀλλότριον χάριτος, ἀσεβῆ μὲν διὰ τὴν εἰς Χριστὸν ἀπιστίαν, ἁμαρτωλὸν δὲ διὰ τὴν ζῶσαν ἐν αὐτῷ κατὰ τὴν φθορὰν τῶν παθημάτων τῆς παλαιότητος γένεσιν. Ἢ τυχὸν ἀσεβῆ μὲν ἐκάλεσεν ὁ λόγος τὸν μόνης παντελῶς ἐστερημένον τῆς κατὰ Χριστὸν ἐπιγνώσεως, ἁμαρτωλὸν δὲ τὸν πιστὸν μέν, παραβάτην δὲ κατ' ἐμὲ τῶν εὐαγγελικῶν ἐντολῶν, τῶν καθαρὸν διατηρουσῶν τὸν διὰ τοῦ ἁγίου βαπτίσματος χιτῶνα τῆς ἀφθαρσίας, ὧν ἡ θέσις, τοῦ ἀσεβοῦς τέ φημι καὶ ἁμαρτωλοῦ, τοῖς ἐπιμελουμένοις τῆς μυστικῆς ποσῶς κατείληπται γνώσεως· τὸ γὰρ 'ποῦ', θέσιν δηλοῖ σαφῶς([17]), τοπικῆς

τοὺς παρακινοῦσε μὲ τὸν Υἱὸ ποὺ σαρκώθηκε, οὔτε ἐπίσης καὶ αὐτὸν τὸν Υἱὸ ποὺ ἦρθε μεσίτης καὶ πρεσβευτὴς τοῦ Πατέρα καὶ ποὺ γιὰ τὴ συμφιλίωσή μας μὲ τὸν Πατέρα πρόσφερε θέλοντας τὸν ἑαυτό του στὸ θάνατο μὲ τὴ θέληση τοῦ Πατέρα, γιὰ νὰ μᾶς δοξάσει τόσο πολὺ μὲ τὴ δική του θυσία λαμπρύνοντάς μας μὲ τὸ κάλλος τῆς θεότητάς του, ὅσο καταδέχτηκε ὁ ἴδιος ν' ἀτιμαστεῖ γιὰ χάρη μας μὲ τὰ δικά μας παθήματα[5]. Γιατί, νομίζω, αὐτὸ εἶναι ἴσως τὸ Εὐαγγέλιο τοῦ Θεοῦ, πρεσβεία τοῦ Θεοῦ καὶ προτροπή του πρὸς τοὺς ἀνθρώπους μέσω τοῦ Υἱοῦ ποὺ σαρκώθηκε καὶ ποὺ ὡς μισθὸ γιὰ τὴ συμφιλίωση μὲ τὸν Πατέρα δωρίζει σ' αὐτοὺς ποὺ ὑπακούουν τὴν ἀγέννητη θέωση.

Γι' αὐτὸ ἐλεεινολογώντας ὁ μέγας Ἀπόστολος τοὺς ἀνυπάκουους μὲ τὰ ἀκόλουθα, λέει· «κι ἂν ὁ δίκαιος μόλις καὶ μετὰ δυσκολίας σώζεται, ποῦ θὰ φανεῖ ὁ ἀσεβὴς καὶ ὁ ἁμαρτωλός;»[6]. Λέγοντας δίκαιο ἐννοεῖ, ὅπως εἶναι φυσικό, τὸν πιστὸ καὶ φύλακα τῆς χάριτος ποὺ τοῦ δόθηκε κατὰ τὸ βάπτισμα καὶ ποὺ μέσα ἀπὸ πολλὰ παθήματα διατήρησε σταθερὴ τὴν υἱοθεσία τοῦ Πνεύματος. Σωτηρία λέγοντας ἐννοεῖ τὴν ὁλοκληρωμένη χάρη τῆς θέωσης ποὺ θὰ δοθεῖ ἀπὸ τὸ Θεὸ στοὺς ἄξιους, τὴν ὁποία μόλις καὶ μετὰ δυσκολίας θὰ ἐπιτύχει ἀκόμα κι ὅποιος τηρεῖ ἐξολοκλήρου ὅλα τὰ θεῖα. Ἀσεβῆ κι ἁμαρτωλὸ θεωρεῖ τὸν ξένο ἀπὸ τὴν εὐαγγελικὴ χάρη, ἀσεβή, ἐπειδὴ δὲν πιστεύει στὸ Χριστό, καὶ ἁμαρτωλό, γιὰ τὴ ζωντανὴ σ' αὐτὸν παλαιὰ γένεση μέσα στὴ φθορὰ ἀπὸ τὰ παθήματα. Ἢ ἴσως ἀσεβὴ κάλεσε ἡ Γραφὴ ἐκεῖνον ποὺ στερεῖται τελείως τὴν ἐπίγνωση τοῦ Χριστοῦ· ἁμαρτωλό, τὸν πιστὸ βέβαια ἀλλὰ κατὰ τὴ γνώμη μου παραβάτη τῶν εὐαγγελικῶν ἐντολῶν, ποὺ διατηροῦν καθαρὸ τὸ χιτώνα τῆς ἀφθαρσίας ποὺ ὕφανε τὸ ἅγιο βάπτισμα. Καὶ ἡ θέση τους, ἐννοῶ τοῦ ἀσεβοῦς καὶ τοῦ ἁμαρτωλοῦ, κατανοεῖται ὡς ἕνα σημεῖο ἀπὸ αὐτοὺς ποὺ ἐπιμελοῦνται τὴ μυστικὴ γνώση. Γιατὶ τὸ «ποῦ» δηλώνει σαφῶς θέση ποὺ δὲν εἶναι ἄμοιρη ἀπὸ

5. Β' Κορ. 5,20,21. 6. Α' Πέτρ. 4,18.

οὐκ ἀμοιροῦσαν περιγραφῆς· ἧς εἴπερ ἡ τοῦ δικαίου θέσις ἀντιδιαιρεῖται, οὐκ ἔσται ποῦ πάντως κατὰ τὴν θέσιν ὁ δίκαιος, τὴν ὑπὲρ τὸ ποῦ κατὰ τὴν χάριν εἰληφὼς θέσιν, αὐτὸν τὸν Θεόν, ὡς ἡ ὑπόσχεσις· ὁ γὰρ Θεός, οὐ ποῦ, ἀλλὰ παντὸς ἀσχέτως ἐπέκεινα ποῦ, ἐν ᾧ πάντων τῶν σωζομένων ἡ ἵδρυσις ἔσται, κατὰ τὸ γεγραμμένον· «γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με». Οὗ τινος πᾶς ὁ μὴ καθ' ὁτιοῦν μεθέξων τῆς τοῦ εὖ εἶναι κατὰ σχέσιν δυνάμεως[18], μέλει σώματος ἐοικὼς ἔσται πάμπαν ἀμοιροῦντι τῆς κατὰ ψυχὴν ζωτικῆς ἐνεργείας.

Ἢ πάλιν, ἐπειδὴ πάντων τῶν σωζομένων ὁ Θεὸς ἔσται τόπος, ἀπερίγραφός τε καὶ ἀδιάστατος καὶ ἄπειρος, πᾶσι πάντα γινόμενος κατὰ τὴν ἀναλογίαν τῆς δικαιοσύνης, μᾶλλον δὲ κατὰ τὸ μέτρον τῶν μετὰ γνώσεως ὑπὲρ δικαιοσύνης ἐνταῦθα παθημάτων, ἑαυτὸν ἑκάστῳ κατοδωρούμενος, καθάπερ ψυχὴ σώματος μέλεσι κατὰ τὴν ὑποκειμένην ἑκάστῳ μέλει δύναμιν, ἑαυτὴν ἐνεργοῦσαν ἐκφαίνουσα καὶ πρὸς τὸ εἶναι δι' ἑαυτῆς τὰ μέλη συνάπτουσα πρὸς ζωὴν συγκρατούμενα, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται, ταύτης ἐστερημένος τῆς χάριτος; Ὁ γὰρ μὴ δυνάμενος ἐνεργουμένην τὴν κατὰ τὸ εὖ εἶναι τοῦ Θεοῦ δέξασθαι παρουσίαν, ποῦ φανεῖται τῆς θείας ζωῆς, τῆς ὑπὲρ αἰῶνα καὶ τόπον καὶ χρόνον, ὑπομείνας τὴν ἔκπτωσιν;

Οὐκοῦν, εἴτε κατὰ τὴν πρώτην ἐπιβολὴν καταφατικῶς, ὁ ἀσεβὴς καὶ ἁμαρτωλός που φανεῖται, περιγεγραμμένης οὐκ ἔσται ζωῆς τὸ παράπαν ἐλεύθερος[19], τὴν πᾶσαν διαφεύγουσαν περιγραφὴν καὶ παντὸς ἐπέκεινα τόπου ζωὴν οὐκ ἔχων. Εἴτε κατὰ τὴν δευτέραν ἀποφατικῶς, Ποῦ φανεῖται, τὸν Θεὸν οὐκ ἔχων πρὸς τὸ εὖ συνέχοντα τὴν ζωήν, τὸν μέλλοντα πᾶσι γίνε-

τοπικὸ περιορισμό. Στὴ θέση αὐτὴ ἂν εἶναι διαμετρικὰ ἀντίθετη ἡ θέση τοῦ δικαίου, δὲ θὰ εἶναι πάντως κάπου ὁ δίκαιος κατὰ τὴ θέση, ἐπειδὴ ἔχει λάβει τὴν πέρα ἀπὸ τὸ 'κάπου' θέση, δηλαδὴ τὸν ἴδιο τὸ Θεό, ὅπως λέει ἡ ὑπόσχεση. Γιατὶ ὁ Θεὸς βέβαια δὲν εἶναι 'κάπου' ἀλλὰ ἀντίθετα πέρα ἀπὸ κάθε 'νοῦ', ὅπου θὰ εἶναι ἡ μόνιμη κατοικία ὅλων ὅσοι σώζονται, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «γίνε ὁ Θεὸς ὁ ὑπερασπιστής μου καὶ τόπος ὀχυρὸς τῆς σωτηρίας μου»[7]. Τούτου τὴ μακαριότητα ὅποιος δὲν τὴν μετάσχει μὲ ὁποιοδήποτε τρόπο κατὰ τὴ δυνατὴ σχέση, θὰ μοιάζει μ' ἕνα μέλος τοῦ σώματος ποὺ εἶναι ἀμέτοχο τῆς ζωτικῆς ψυχικῆς ἐνέργειας.

Ἢ πάλι, ἐπειδὴ ὅλων, ὅσοι σώζονται, θὰ εἶναι ὁ Θεὸς τόπος ἀπέραντος, μὲ δίχως ὅρια καὶ διαστάσεις, κι ἐπειδὴ γίνεται τὰ πάντα στοὺς πάντες κατὰ δίκαιη ἀναλογία ἢ μᾶλλον σύμφωνα μὲ τὸ μέτρο τῶν ἑκούσιων ἐδῶ γιὰ χάρη τῆς δικαιοσύνης παθημάτων μοιράζοντας τὸν ἑαυτό του στὸν καθένα, ὅπως ἡ ψυχὴ στὰ μέλη τοῦ σώματος ἀνάλογα μὲ τὴ δύναμη ποὺ διαθέτει κάθε μέλος ἐνεργεῖ κι ἐκδηλώνει τὴν παρουσία της καὶ μὲ τὸν ἑαυτό της συνδέει τὰ μέλη μὲ τὸ εἶναι ὥστε νὰ συγκρατοῦνται στὴ ζωή, ποῦ θὰ φανεῖ ὁ ἀσεβὴς κι ἁμαρτωλὸς ἂν στερηθεῖ αὐτὴ τὴ χάρη; Γιατὶ ὅποιος δὲν μπορεῖ νὰ δεχτεῖ τὴν παρουσία τοῦ Θεοῦ νὰ ἐκδηλώνεται στὴ μακαριότητα, ποῦ θὰ φανεῖ, ἀφοῦ ὑπέμεινε τὴν ἔκπτωση ἀπὸ τὴ θεία ζωὴ τὴν πέρα ἀπὸ τὴν αἰωνιότητα καὶ τὸν τόπο καὶ τὸ χρόνο;

Ἐπίορκος εἶναι, δηλαδὴ ὁρκίζεται ψεύτικα στὸ ὄνομα τοῦ Κυρίου, ὅποιος ὑπόσχεται στὸ Θεὸ τὸν ἐνάρετο βίο, πράττει ὅμως ἀντίθετα μὲ ὅσα ἔχει ὑποσχεθεῖ καὶ παραβαίνει τὸ συμβόλαιο τῆς ὁμολογίας του γιὰ σεμνὸ βίο μὲ τὴ μὴ ἐκτέλεση τῶν ἐντολῶν, ὅπως ἐγώ. Καὶ γιὰ νὰ μιλήσω μὲ συντομία, ὅποιος διάλεξε νὰ ζήσει ὅπως θέλει ὁ Θεός, δὲν ἔχει ὅμως νεκρωθεῖ τέλεια γιὰ τὸν παρόντα βίο, εἶναι ψεύτης καὶ ἐπίορκος, γιατί, ἂν καὶ ὁρκίστηκε στὸ Θεό, δηλαδὴ ὑποσχέθηκε τὴν ἄμεμπτη πορεία στοὺς θείους ἀγῶνες, ὅμως δὲν κράτησε τὴν ὑπόσχεσή

12. Ψαλμ. 49,6. 13. Σοφ. Σολ. 1,9. 14. Ἠσ. 3,17.

καὶ διὰ τοῦτο μηδαμῶς ἐπαινούμενος· «ἐπαινεθήσεται» γάρ, φησί, «πᾶς ὁ ὀμνύων ἐν αὐτῷ»· τουτέστι, πᾶς ὁ τῷ Θεῷ τὸν ἔνθεον ἐπαγγειλάμενος βίον καὶ διὰ τῆς ἀληθείας τῶν ἔργων τῆς δικαιοσύνης τοὺς ὅρκους πληρῶν τῆς καλῆς ὑποσχέσεως. Εἰ δὲ πάντως ἔπαινον ἔχει ὁ τῶν οἰκείων πληρωτὴς ἐπαγγελιῶν, ὡς ὀμνύων τῷ Θεῷ καὶ ἀληθεύων, δῆλον ὅτι ψόγον ἕξει καὶ ἀτιμίαν, ὁ τῶν οἰκείων συνθηκῶν παραβάτης γενόμενος, ὡς ὀμόσας ἐν τῷ Θεῷ καὶ ψευσάμενος.

Τούτων ὑπερχόμενος ὥσπερ οἰκίας τινὰς τὰς καρδίας, ἤγουν τὴν ἑκάστου διάθεσιν, τὸ δρέπανον, τουτέστιν ὁ τοῦ Θεοῦ καὶ Πατρὸς Λόγος, ἅτε δὴ γνῶσις κατ' οὐσίαν ὑπάρχων καὶ ἀρετή, συντελεῖ πάμπαν αὐτάς, τῇ πρὸς τὸ κρεῖττον μεταβολῇ τὴν προτέραν τῆς ἑκάστου καρδίας διαφανίζων κατάστασιν, καὶ φέρων ἑκάτερον πρὸς τὴν τοῦ λείποντος αὐτῷ καλοῦ μετουσίαν, καὶ ποιῶν τὸν μὲν κλέπτην τῆς γνώσεως ἐργάτην ἀρετῆς ἀνεπαίσχυντον, τὸν δὲ κλέπτην τῆς τῶν ἠθῶν φαινομένης καταστολῆς ἐπιστήμονα τῆς κατὰ ψυχὴν κρυπτομένης γεωργὸν διαθέσεως, τὸν ἐπίορκον δὲ ἀληθῆ τῶν οἰκείων ὑποσχέσεων ἐργαζόμενος φύλακα, τοῖς ἔργοις τῶν ἐντολῶν τὰς οἰκείας ἐπαγγελίας πιστούμενον.

ΣΧΟΛΙΑ

1 ***Βλέπε τὸ μυστήριον, βλέπε τὴν ἀγχόνην τῶν Φυσιθεσιτῶν, βλέπε τοῦ Ἰταλοῦ καὶ τοῦ Νείλου τὸν θάνατον.***

2 ***Οὐ λέγομεν, φησίν, ἐπὶ Χριστοῦ διαφορὰν ὑποστάσεων, ὅτι Τριὰς μεμένηκεν ἡ Τριάς, καὶ σαρκωθέντος τοῦ Θεοῦ καὶ Λόγου, προσθήκης προσώπου οὐ προσγενομένης τῇ ἁγίᾳ Τριάδι διὰ τὴν σάρκωσιν. Λέγομεν δὲ φύσεων διαφο-***

του, καὶ γι' αὐτὸ δὲν ἐπαινεῖται καθόλου· γιατὶ λέει, «θὰ ἐπαινεθεῖ καθένας ποὺ ὁρκίζεται σ' αὐτόν»[15]. Δηλαδὴ καθένας ποὺ ὑποσχέθηκε στὸ Θεὸ τὸν ἔνθεο βίο καὶ μὲ τὴν ἐπαλήθευση τῶν ἔργων τῆς δικαιοσύνης ἐκπλήρωσε τοὺς ὅρκους τῆς καλῆς ὑπόσχεσης. Κι ἂν ὅποιος τηρεῖ τὶς ὑποσχέσεις του ὁπωσδήποτε ἐπαινεῖται, ἐπειδὴ ὁρκίζεται στὸ Θεὸ καὶ τηρεῖ τὸν ὅρκο του, εἶναι φανερὸ ὅτι θὰ δεχθεῖ κατηγορία καὶ ἀτιμία ὅποιος γίνεται παραβάτης τῶν συμφωνιῶν του, ἐπειδὴ ὁρκίστηκε στὸ Θεὸ καὶ ὅμως ἀποδείχθηκε ψεύτης.

Σ' αὐτῶν τὶς καρδιές, σὰν σὲ σπίτια, δηλαδὴ τὴ διάθεση καθενός, μπαίνοντας τὸ δρεπάνι, δηλαδὴ ὁ Λόγος τοῦ Θεοῦ καὶ Πατέρα, ἐπειδὴ κατὰ τὴν οὐσία του εἶναι γνώση καὶ ἀρετή, τὶς καταστρέφει ἐντελῶς, μὲ τὴν μεταβολὴ πρὸς τὸ καλύτερο ἀφανίζοντας τελείως τὴν προηγούμενη κατάσταση τῆς καρδιᾶς καθενὸς καὶ ὁδηγώντας καθένα στὴ μετουσία τοῦ καλοῦ ποὺ τοῦ ἔλειπε καὶ κάνοννας τὸν κλέφτη τῆς γνώσης ἀνεπαίσχυντο ἐργάτη τῆς ἀρετῆς[16], τὸν κλέφτη τῆς φαινόμενης περιβολῆς τῶν ἠθῶν, γεωργὸ ἐπιστήμονα τῆς διάθεσης ποὺ κρύβεται στὴν ψυχή, καὶ τὸν ἐπίορκο κάνοντάς τον ἀληθινὸ φύλακα τῶν ὑποσχέσεών του, ἐπιβεβαιώνοντας τὶς ὑποσχέσεις του μὲ τὴν ἐκπλήρωση τῶν ἐντολῶν.

ΣΧΟΛΙΑ

1. Πρόσεχε τὸ μυστήριο, πρόσεχε τὴν ἀγχόνη τῶν Φυσιθεσιτῶν[51]· πρόσεχε τὸ θάνατο τοῦ Ἰταλοῦ καὶ τοῦ Νείλου.
2. Δὲν ἰσχυριζόμαστε, λέει, ὅτι ὑπάρχει στὸ Χριστὸ διαφορὰ ὑποστάσεων, διότι ἡ Τριάδα ἔχει μείνει Τριάδα ἀκόμη κι ὅταν ἔλαβε σάρκα ὁ Θεὸς καὶ Λόγος, χωρὶς νὰ ἔγινε προσθήκη προσώπου στὴν ἁγία Τριάδα ἐξαιτίας τῆς σάρκωσης. Ὑποστηρίζομε ὅμως διαφορὰ φύσεων, γιὰ νὰ μὴν πέ-

15. Ψαλμ. 62,12. 16. Βʹ Τιμ. 2,15.

ράν, ἵνα μὴ τῷ Λόγῳ κατὰ τὴν φύσιν ὁμοούσιον τὴν σάρκα πρεσβεύωμεν.

3 *Ὅτι φύσεων διαφορὰν ὁ μὴ λέγων, φησίν, οὐκ ἔχει πόθεν πιστώσασθαι, τὴν ὅτι γέγονε σὰρξ ὁ Λόγος δίχα τροπῆς ὁμολογίαν, μὴ γινώσκων σωζόμενον κατὰ τὴν φύσιν τῇ μιᾷ τοῦ ἑνὸς Θεοῦ καὶ Χριστοῦ ὑποστάσει μετὰ τὴν ἕνωσιν τὸ προσλαβὸν καὶ τὸ προσειλημμένον.*

4 *Πῶς δρέπανον ὁ Κύριός ἐστι, καὶ τί τὸ πλάτος αὐτοῦ θεωρεῖται τῶν πήχεων.*

5 *Πῶς αὐτὸς πάλι ὡς δρέπανον ἔχει τὸ μῆκος εἴκοσι πήχε-πήχεων.*

6 *Διὰ τί πετόμενον τὸ δρέπανον εἶδεν ὁ προφήτης.*

7 *Ἡ πίστις τὴν εἰς Θεὸν διὰ τῆς ἐλπίδος τελείαν ἀγάπην συνίστησιν, ἡ ἀγαθὴ συνείδησις τὴν εἰς τὸν πλησίον διὰ τῆς φυλακῆς τῶν ἐντολῶν ἀγάπην ὑφίστησιν. Ἡ γὰρ ἀγαθὴ συνείδησις παραβαθεῖσαν ἐντολὴν οὐκ ἔχει κατήγορον· ταύτας δὲ μόνον ἡ καρδία πιστεύεσθαι πέφυκε τῶν ἐφιεμένων τῆς ἀληθοῦς σωτηρίας.*

8 *Πῶς ἐστιν ὁ Κύριος ἀρά, καὶ τίνος ἀρά.*

9 *Ἐπειδή, φησί, πρὸς τὴν γῆν ἔσχεν τὴν ἔφεσιν κινουμένην ὁ ἄνθρωπος, εἰς αὐτὴν ὠθεῖτο καὶ μὴ θέλων ὑπὸ τοῦ θανάτου.*

10 *Τί ἐστιν ὁ κλέπτης καὶ ὁ ἐπίορκος.*

11 *Κλοπή ἐστι πονηρὰ ἡ δι' ἀπάτης τῆς φύσεως ἅλωσις. Θυσία ἐστὶν ἣν θύει τοὺς ὑπ' αὐτοῦ κλεπτομένους ὁ διάβολος, ἡ κατὰ τὴν ἔνθεον ζωὴν σφαγὴ τῆς προαιρέσεως καὶ ἡ κατ' αὐτὴν τελεία τῆς μνήμης ἀναίρεσις. Ἀπώλειά ἐστιν ἡ κατὰ στέρησιν τῆς τοῦ Θεοῦ γνώσεως ἐπισυμβαίνουσα τοῖς θυομένοις ἄγνοια. Διὰ τοῦτο γὰρ κλέπτει συναρπάζων τὸν λογισμόν, ἵνα τῆς κατ' ἀρετὴν καὶ γνῶσιν ζωῆς ἐργάσηται στέρησιν.*

12 *Τίς ἐστιν ὁ οἶκος τοῦ κλέπτου καὶ τοῦ ἐπιόρκου.*

σομε στὴ δοξασία ὅτι ἡ σάρκα εἶναι ὁμοούσια κατὰ τὴ φύση μὲ τὸ Λόγο.

3. Ὅποιος δὲν διδάσκει διαφορὰ φύσεων, δὲν ἔχει ἀπὸ ποῦ νὰ βεβαιώσει τὴν ὁμολογία του ὅτι ὁ Λόγος ἔγινε σάρκα χωρὶς μεταβολή· δὲν γνωρίζει ὅτι σώζεται κατὰ τὴ φύση μὲ τὴ μία ὑπόσταση τοῦ ἑνὸς Θεοῦ καὶ Χριστοῦ ἔπειτα ἀπὸ τὴν ἕνωση τὸ ἴδιο ποὺ προσέλαβε καὶ τὸ ἴδιο ποὺ ἔχει προσληφθεῖ.
4. Πῶς εἶναι ὁ Κύριος δρεπάνι καὶ τί πιστεύεται πὼς εἶναι τὸ πλάτος τῶν δέκα πήχεων.
5. Πῶς πάλι σὰν δρεπάνι ἔχει μῆκος εἴκοσι πήχεων.
6. Γιατί ὁ προφήτης εἶδε τὸ δρεπάνι νὰ αἰωρεῖται.
7. Ἡ πίστη συνιστᾶ τὴν τέλεια ἀγάπη στὸ Θεὸ μὲ τὴν ἐλπίδα· ἡ ἀγαθὴ συνείδηση δημιουργεῖ τὴν ἀγάπη πρὸς τὸν πλησίον μὲ τὴν τήρηση τῶν ἐντολῶν. Γιατὶ ἡ ἀγαθὴ συνείδηση δὲν ἔχει νὰ τὴν κατηγορεῖ κάποια παραβιασμένη ἐντολή. Αὐτὲς τὶς ἀρετὲς τὶς πιστεύει ὡς ἀπὸ τὴ φύσης της μόνο ἡ καρδιὰ ἐκείνων ποὺ ἐπιθυμοῦν τὴν ἀληθινὴ σωτηρία.
8. Πῶς ὁ Κύριος εἶναι κατάρα καὶ τίνος κατάρα εἶναι.
9. Ἐπειδὴ ἡ ἐπιθυμία τοῦ ἀνθρώπου φερόταν πρὸς τὴ γῆ, γι' αὐτὸ ὁ θάνατος ἔσπρωχνε τὸν ἄνθρωπο πρὸς αὐτὴν καὶ χωρὶς νὰ τὸ θέλει.
10. Τί εἶναι ὁ κλέφτης καὶ ὁ ἐπίορκος.
11. Ἡ κλοπὴ εἶναι πονηρὴ ἅλωση τῆς φύσης μὲ ἀπάτη. Θυσία εἶναι ἐκείνη κατὰ τὴν ὁποία ὁ διάβολος θυσιάζει αὐτοὺς ποὺ ἐξαπατᾶ, ἡ σφαγὴ τῆς προαίρεσης κατὰ τὴν ἔνθεη ζωὴ καὶ ἡ τέλεια ἀναίρεση τῆς μνήμης. Ἀπώλεια εἶναι ἡ ἄγνοια ποὺ συμβαίνει μετὰ ἀπὸ στέρηση τῆς γνώσης τοῦ Θεοῦ σ' ἐκείνους ποὺ θυσιάζονται. Γιατὶ γι' αὐτὸ κλέβει τὸ λογισμὸ συναρπάζοντάς τον, γιὰ νὰ προκαλέσει στέρηση τῆς κατ' ἀρετὴ καὶ γνώση ζωῆς.
12. Ποιό εἶναι τὸ σπίτι τοῦ κλέφτη καὶ τοῦ ἐπίορκου.

13 *Αἰτίαν τοῦ ληστεύειν συγχωρηθῆναι τὸν διάβολον, στοχαστικῶς ἐρεῖ τις τυχόν, τὸ καὶ τοῖς ἀνθρώποις διὰ πείρας αὐτοῦ γνωσθῆναι τὴν κακίαν, ἵνα μισηθῇ πλέον δεικνύμενος, καὶ τὸ πᾶσιν ἀλλήλων δειχθῆναι τοῖς ἀνθρώποις διὰ τῆς δοκιμασίας τὰς διαθέσεις, ἵνα ἕκαστος ἑαυτῷ σύμφυτον ἐπιφέρηται συνηγορίαν, τὴν οἰκείαν συνείδησιν. Ὁ γὰρ Θεὸς οὐ δέεται τῆς κατὰ τὴν πεῖραν μαθήσεως, πάντων ἔχων οὐσιωδῶς καὶ πρὸ τῆς αὐτῶν γενέσεως τὴν γνῶσιν.*

14 *Τίνα τὰ ξύλα καὶ τίνες οἱ λίθοι.*

15 *Ὅτι καταστροφὴ τοῦ οἴκου, τουτέστι τοῦ κόσμου, κατὰ τὴν πλάνην διὰ τῆς σαρκώσεως γέγονεν.*

16 *Κατ' ἄλλην θεωρίαν τῶν αὐτῶν ἔκθεσις.*

17 *Ἄλλη περὶ τῶν αὐτῶν θεωρία.*

18 *Ταύτην ἔθετο τὴν θεωρίαν τοῖς ἐμπαθέσιν ἁρμόδιον. Ὁ γὰρ τὴν παντελῆ περὶ τὸ καλὸν ἀκινησίαν νοσῶν, περὶ τὸ κακὸν ὑπάρχει πάντως εὐκίνητος. Κατ' ἀμφότερα γὰρ ἀκίνητον ὑπάρχειν ἀδύνατον.*

19 *Συναπτομένη ἡ κατ' αἴσθησιν κίνησις τῇ κατὰ νοῦν ἐνεργείᾳ, ποιεῖ τὴν μετὰ γνώσεως ἀρετήν.*

20 *Διὰ τί δρέπανον ἐκάλεσεν.*

21 *Ὅτι συμφύρεται ταῖς πρακτικαῖς τῆς ψυχῆς δυνάμεσιν ὁ Λόγος, ὥσπερ τὸ δρέπανον τῇ χειρὶ τοῦ θερίζοντος, πρὸς ἀναίρεσιν παθῶν καὶ συγκομιδὴν ἀρετῶν.*

22 *Κλέπτης μέν, φησίν, ἐστὶν ὁ διάβολος ὡς ἀγνοίας, ἐπίορκος δὲ ὡς κακίας δημιουργός, ἔχων, καθάπερ οἰκίας, τοῦ μὲν ἀγνοοῦντος τὴν πλανωμένην διάνοιαν, τοῦ δὲ κακοῦ τὴν φιλαμαρτήμονα γνώμην.*

23 *Καλὴ θεωρία καὶ πάνυ πρόσφορος ἡμῖν, τοῖς νοθεύουσι διὰ τὴν κενοδοξίαν τὸ κλέος τῆς ἀρετῆς καὶ τῆς γνώσεως.*

24 *Κλέπτης ἐστί, φησί, καὶ ὁ τὴν ἀρετὴν τῶν ἠθῶν ἀπατηλὴν*

13. Αἰτία ποὺ ἐπιτράπηκε στὸ διάβολο νὰ ληστεύει, ἴσως θὰ εἰκάσει κανένας πὼς εἶναι νὰ γνωρίσουν οἱ ἄνθρωποι ἔμπρακτα τὴν κακία γιὰ νὰ τὸν μισοῦν περισσότερο ὅταν ἀποκαλύπτεται, καὶ νὰ δειχτεῖ μὲ τὴ δοκιμασία τί διαθέσεις ἔχουν μεταξύ τους ὅλοι οἱ ἄνθρωποι, ὥστε νὰ ἔχει κανένας σύμφυτο μαζί του συνήγορο τὴ συνείδησή του. Γιατὶ ὁ Θεὸς δὲν ἔχει ἀνάγκη τῆς μάθησης ἀπὸ πείρα, ἐπειδὴ ἔχει στὴν οὐσία του τὴ γνώση ὅλων πρὶν ἀκόμα γίνουν.
14. Τί εἶναι τὰ ξύλα καὶ τί οἱ πέτρες;
15. Καταστροφὴ τοῦ σπιτιοῦ, δηλαδὴ τοῦ κόσμου, ἔγινε μὲ πλάνη του μέσω τῆς σάρκωσης.
16. Ἔκθεση τῶν ἴδιων σύμφωνα μὲ ἄλλη θεωρητικὴ ἄποψη.
17. Ἄλλη θεωρητικὴ ἐξήγηση γιὰ τὰ ἴδια.
18. Διατύπωσε τὴ θεωρία αὐτὴ κατάλληλη γιὰ ἀνθρώπους μὲ πάθη. Γιατὶ ὅποιος πάσχει ἀπὸ τὴ νόσο τῆς τέλειας ἀκινησίας πρὸς τὸ καλό, ἔχει ὁπωσδήποτε ζωηρὴ τάση πρὸς τὸ κακό. Γιατὶ εἶναι ἀδύνατο νὰ μένει ἀδρανὴς καὶ στὰ δύο.
19. Ὅταν συναφθεῖ ἡ λειτουργία τῆς αἴσθησης μὲ τὴ νοητικὴ ἐνέργεια, δημιουργεῖ τὴν ἀρετὴ τὴ συζευγμένη μὲ τὴ γνώση.
20. Γιατί τὸν ὀνόμασε δρεπάνι;
21. Ὁ Λόγος ἀναμιγνύεται μὲ τὶς πρακτικὲς δυνάμεις τῆς ψυχῆς, ὅπως τὸ δρεπάνι μὲ τὸ χέρι τοῦ θεριστῆ πρὸς ἀποβολὴ τῶν παθῶν καὶ συγκομιδὴ τῶν ἀρετῶν.
22. Ὁ διάβολος, λέει, εἶναι κλέφτης ἐπειδὴ δημιουργεῖ τὴν ἄγνοια, καὶ ἐπίορκος ἐπειδὴ δημιουργεῖ τὴν κακία, ἔχοντας σὰν σπίτια του τὴν πλανώμενη διάνοια ἐκείνου ποὺ ἀγνοεῖ καὶ τὴ φιλαμαρτήμονα γνώμη τοῦ κακοῦ.
23. Ἡ θεωρία εἶναι καλὴ καὶ ἐξαιρετικὰ πρόσφορη σ' ἐμᾶς, ποὺ ἀπὸ κενοδοξία νοθεύομε τὴ δόξα τῆς ἀρετῆς καὶ τῆς γνώσης,
24. Κλέφτης, λέει, εἶναι καὶ ἐκεῖνος ποὺ ὑποκρίνεται τὴν ἀρετὴ μὲ ἀπατηλὴ διαμόρφωση τῆς συμπεριφορᾶς του, καὶ αὐτὸς

διάπλασιν ὑποκρινόμενος, καὶ τῷ φαινομένῳ σχήματι τὴν λανθάνουσαν συγκαλύπτων τῆς γνώμης πονηρίαν.

25 *Ὁ κατὰ μόνην τὴν ἐν λόγοις προφορὰν γνῶσιν ὑποκρινόμενος, φησί, πρὸς δόξαν ἰδίαν τὴν τῶν ἀκουόντων κλέπτει διάνοιαν, καὶ ὁ τοῖς ἤθεσι τὴν ἀρετὴν ὑποκρινόμενος, πρὸς δόξαν ἰδίαν κλέπτει τὴν τῶν θεωμένων ὅρασιν, καὶ δι' ἀπάτης ἀμφότεροι κλέπτοντες πλανῶσιν, ὁ μὲν διάνοιαν ψυχῆς τῶν ἀκουόντων, ὁ δὲ τῶν θεωμένων σώματος αἴσθησιν.*

26 *Τί ἐστιν ὁ ἐπίορκος.*

πού μὲ τὴ συμπεριφορὰ πού δείχνει συγκαλύπτει τὴ λανθάνουσα πονηρία τῆς γνώμης.

25. Αὐτὸς πού ὑποκρίνεται τὴ γνώση μόνο στὰ λόγια, κλέβει, λέει, τὸ νοῦ ἐκείνων πού τὸν ἀκοῦνε γιὰ δική του δόξα· κι ὅποιος ὑποκρίνεται τὴν ἀρετὴ μὲ τὴ συμπεριφορά του, κλέβει γιὰ δική του δόξα τὴν ὅραση ἐκείνων πού τὸν βλέπουν. Καὶ οἱ δύο ξεγελοῦν μὲ ἀπάτη καὶ παραπλανοῦν ὁ ἕνας τὴ διάνοια ἐκείνων πού ἀκοῦν, καὶ ὁ ἄλλος τὴ σωματικὴ αἴσθηση ἐκείνων πού βλέπουν.

26. Τί εἶναι ὁ ἐπίορκος.

ΕΡΩΤΗΣΙΣ ΞΓ'

Ἐν τῷ αὐτῷ προφήτῃ γέγραπται πάλιν· «Καὶ εἶπε πρός με· Τί σὺ βλέπεις; Καὶ εἶπα· Ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτοῖς, καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς καὶ μία ἐξ εὐωνύμων». Τίς ἡ λυχνία καὶ διὰ τί χρυσῆ, καὶ τί τὸ λαμπάδιον τὸ ἐπάνω αὐτῆς; Τίνες οἱ ἑπτὰ λύχνοι καὶ τίνες αἱ ἑπτὰ ἐπαρυστρίδες τῶν ἑπτὰ λύχνων; Καὶ τίνες αἱ δύο ἐλαῖαι, καὶ διὰ τί ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ λαμπαδίου;

ΑΠΟΚΡΙΣΙΣ

Τὴν πολύφωτον καὶ ὑπερφαῆ τῆς ἁγίας Ἐκκλησίας μεγαλοπρέπειαν πόρρωθεν τῷ προφήτῃ συμβολικῶς προδιαγράφων ὁ λόγος, ταύτην οὕτως αὐτῷ τὴν ὅρασιν διεποίκιλε, διδάσκων, οἶμαι, τοῦ κατ' αὐτὴν καινοῦ μυστηρίου τὴν δύναμιν. Λυχνία τοιγαροῦν ἐστιν ὁλόχρυσος[1] *ἡ τοῦ Θεοῦ πανεύφημος Ἐκκλησία, καθαρὰ καὶ ἀμίαντος, ἄχραντός τε καὶ ἀκίβδηλος καὶ ἀμείωτος καὶ τοῦ ἀληθινοῦ φωτὸς δεκτική. Φασὶ γὰρ τὸν ἀκίβδηλον χρυσὸν μήτε μελαίνεσθαι καταχωννύμενον ἰῷ τινι καὶ διαφθείρεσθαι, μήτε μὴν μειοῦσθαι παντελῶς ἐκπυρούμενον, πρὸς δὲ καὶ τῆς ὀπτικῆς τῶν ἐνατενιζόντων αὐτῷ δυνάμεως κατά τινα φυσικὴν ἐνέργειαν εἶναι ῥωστικόν τε καὶ ἀνανεωτικόν. Τοιαύτη δὲ καὶ ἡ τοῦ Θεοῦ πανένδοξος Ἐκκλησία, δι' αὐτῶν κατ' ἀλήθειαν τῶν πραγμάτων ὑπάρχουσα πέφυκε κατὰ τοῦ χρυσοῦ καθαρωτάτην φύσιν· ἀκίβδηλος μέν*[2]*, ὡς μηδὲν*

ΕΡΩΤΗΣΗ 63

Στὸν ἴδιο προφήτη γράφεται πάλι· «Καὶ μὲ ρώτησε· Ἐσὺ τί βλέπεις; Καὶ τοῦ εἶπα· Βλέπω μιὰ ὁλόχρυση λυχνία ποὺ ἔχει ἐπάνω κερί. Καὶ πάνω σ' αὐτὴ ὑπάρχουν ἔφτα λύχνοι καὶ γιὰ τοὺς λύχνους ποὺ εἶναι πάνω σ' αὐτὴ ὑπάρχουν ἑφτὰ ἐλαιοδοχεῖα καὶ δύο ἐλιὲς πάνω ἀπὸ αὐτήν, μιὰ δεξιὰ ἀπὸ τὸ κερὶ καὶ μιὰ ἀριστερά»[1]. Τί εἶναι ἡ λυχνία, γιατί εἶναι χρυσὴ καὶ τί σημαίνει τὸ κερὶ πάνω σ' αὐτήν; Τί σημαίνουν οἱ ἑφτὰ λύχνοι καὶ τί τὰ ἑφτὰ ἐλαιοδοχεῖα γιὰ τοὺς ἑφτὰ λύχνους; Καὶ ἐπίσης τί σημαίνουν οἱ δύο ἐλιὲς καὶ γιατί εἶναι δεξιὰ κι ἀριστερὰ ἀπὸ τὸ κερί;

ΑΠΟΚΡΙΣΗ

Παρουσίασε παλιὰ ὁ λόγος αὐτὸ τὸ ποικίλο δράμα στὸν προφήτη προδιαγράφοντας συμβολικὰ τὴν πολύφωτη καὶ ὑπέρλαμπρη μεγαλοπρέπεια τῆς ἁγίας Ἐκκλησίας, καὶ διδάσκοντας, νομίζω, τὴ δύναμη τοῦ καινοῦ μυστηρίου ποὺ ἔκρυβε. Λυχνία λοιπὸν ὁλόχρυση εἶναι ἡ πανεύφημη Ἐκκλησία τοῦ Θεοῦ, καθαρὴ κι ἀμίαντη, ἄχραντη καὶ ἀμείωτη καὶ ἐπιδεκτικὴ τοῦ ἀληθινοῦ φωτός. Γιατὶ λένε ὅτι ὁ ἀνόθευτος χρυσὸς οὔτε μαυρίζει κρυμμένος στὸ χῶμα οὔτε φθείρεται ἀπὸ τὴ σκουριά, οὔτε λιγοστεύει καθόλου ὅταν πυρακτωθεῖ, κι ἀκόμα, κατὰ κάποια φυσικὴ ἐνέργεια, δυναμώνει κι ἀνανεώνει καὶ τὴν ὀπτικὴ δύναμη ἐκείνων ποὺ τὸν ἀτενίζουν. Τέτοια εἶναι ἀπὸ τὴ φύση της καὶ τοῦ Θεοῦ ἡ πανένδοξη Ἐκκλησία, ὅπως ἀποδεικνύεται ἀληθινὰ ἀπὸ τὰ ἴδια τὰ πράγματα, ὅπως ἡ καθαρότατη φύση τοῦ χρυσοῦ.

1. Ζαχ. 4,2,5.

ἔχουσα τὸ σύνολον τῷ κατὰ τὴν πίστιν μυστηρίῳ τῆς θεολογίας ἐπίμικτον καὶ ἀλλότριον· καθαρὰ δέ[3], ὡς τῇ λαμπρότητι τῶν ἀρετῶν διαυγὴς καὶ ἐπίδοξος· ἀμίαντος δέ[4], ὡς μηδενὶ ῥύπῳ μολυνομένη παθῶν· ἄχραντος δέ[5], ὡς πᾶσι τοῖς πονηροῖς ἀνέπαφος πνεύμασι, μήτε μὴν ταῖς ὑλικαῖς περιστάσεσιν ἰῷ τινι κακίας μελαινομένη· ἀμείωτος δὲ καὶ ἀνελάττωτος[6], ὡς μηδὲ τῇ καμίνῳ τῶν κατὰ καιροὺς διωγμῶν πυρουμένη καὶ ταῖς ἀλλεπαλλήλοις τῶν αἱρέσεων ἐπαναστάσεσι βασανιζομένη, κατὰ λόγον ἢ βίον, ἤγουν πίστιν καὶ πολιτείαν, τὴν οἱανοῦν ὕφεσιν διὰ τὸ βάρος τῶν πειρασμῶν ὑπομένουσα· διὸ καὶ πάσης κατὰ τὴν χάριν ἐστὶ ῥωστικὴ διανοίας τῶν εὐσεβῶς αὐτὴν κατανοούντων. Καλεῖ μὲν γὰρ τοὺς ἀσεβεῖς, παρεχομένη τὸ φῶς τῆς ἀληθοῦς γνώσεως, συντηρεῖ δὲ τοὺς τῶν κατ' αὐτὴν μυστηρίων φιλοθεάμονας, ἀπαθῆ καὶ ἀρευμάτιστον τὴν κόρην τῆς αὐτῶν διανοίας φυλάττουσα. Τοὺς δὲ κατά τι σάλον ὑπομεμενηκότας ἀνακαλεῖται καὶ τῷ λόγῳ τῆς παρακλήσεως ἀνανεοῦται τὴν παθοῦσαν διάνοιαν. Οὕτω μὲν ἔχουσαν τὴν ὁραθεῖσαν τῷ προφήτῃ λυχνίαν, κατὰ μίαν ἐπιβολὴν διὰ τῶν εἰρημένων κατενοήσαμεν.

Τὸ δὲ λαμπάδιον τὸ ἐπάνω αὐτῆς ἐστι[7] τὸ πατρικὸν φῶς καὶ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον[8], ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, διὰ τὴν πρόσληψιν τῆς ἐξ ἡμῶν καὶ ἡμετέρας σαρκὸς λαμπάδιον καὶ γεγεννημένος καὶ προσηγορευμένος, ἤγουν ἡ κατὰ φύσιν τοῦ Θεοῦ καὶ Πατρὸς σοφία καὶ Λόγος, ὁ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ κηρυττόμενός τε κατὰ τὴν εὐσεβῆ πίστιν καὶ τῷ βίῳ τῷ κατ' ἀρετὴν διὰ τῆς τῶν ἐντολῶν φυλακῆς ὑψούμενος ἐν τοῖς ἔθνεσι καὶ διαφαινόμενος, καὶ πᾶσι λάμπων τοῖς ἐν τῇ οἰκίᾳ, λέγω δὴ τῷδε

Εἶναι ἀνόθευτη, ἐπειδὴ δὲν ἔχει ἀπολύτως κανένα ξένο στοιχεῖο πρὸς τὸ μυστήριο τῆς θεολογίας ποὺ πιστεύουμε ποὺ νὰ ἔχει ἀναμιχθεῖ μ' αὐτό· εἶναι καθαρή, ἐπειδὴ γίνεται διαυγὴς ἀπὸ τὴ λαμπρότητα τῶν ἀρετῶν καὶ φωτοβολεῖ· εἶναι ἀμίαντη, ἐπειδὴ κανένας ρύπος παθῶν δὲν τὴ μολύνει· εἶναι ἄχραντη, γιατὶ δὲν τὴν ἔχει ἀγγίξει κανένα πονηρὸ Πνεῦμα κι οὔτε τὴ μαυρίζει κανένας ἰὸς κακίας στὶς δυσκολίες τοῦ βίου· εἶναι ἀμείωτη καὶ χωρὶς καμμιὰ ἐλάττωση, γιατὶ οὔτε στὸ καμίνι τῶν κατὰ καιροὺς διωγμῶν πυρακτώνεται, οὔτε βασανίζεται μὲ τὶς ἀλλεπάλληλες ἐξεγέρσεις τῶν αἱρέσεων στὸ λόγο καὶ στὸ βίο, δηλαδὴ στὴν πίστη καὶ τὴν πολιτεία, ἀλλὰ ὑπομένει τὴν ὁποιαδήποτε ὑποχώρηση κάτω ἀπὸ τὸ βάρος τῶν πειρασμῶν. Γι' αὐτὸ καὶ δυναμώνει μὲ τὴ χάρη τὸ νοῦ τοῦ καθενὸς ἀπὸ ἐκείνους ποὺ τὴν κατανοοῦν μ' εὐσέβεια. Καλεῖ τοὺς ἀσεβεῖς, παρέχοντάς τους τὸ φῶς τῆς ἀληθινῆς γνώσης, καὶ συντηρεῖ ὅσους θωροῦν μὲ ἀγάπη τὰ μυστήρια ποὺ τελοῦνται σ' αὐτήν, φυλάγοντας ἀπαθὴ κι ἐξασφαλίζοντας ἀπὸ τὸ ρεῦμα τὴν κόρη τῆς διάνοιάς τους. Ἐκείνους ποὺ ὑπέφεραν ὁτιδήποτε σὲ κάποιο σάλο τοὺς καλεῖ κοντά της καὶ μὲ τὸν παρηγορητικό της λόγο ἀνανεώνει τὴν ἀρρωστημένη διάνοια. Αὐτὸ λοιπὸν ἀντιληφθήκαμε κατὰ μία ἄποψη μὲ αὐτὰ ποὺ εἴπαμε ὅτι σημαίνει ἡ λυχνία ποὺ φάνηκε στὸ ὅραμα τοῦ προφήτη.

Ἡ λαμπάδα τώρα ποὺ εἶναι ἐπάνω σ' αὐτήν, εἶναι τὸ πατρικὸ ἀληθινὸ φῶς ποὺ φωτίζει κάθε ἄνθρωπο ποὺ ἔρχεται στὸν κόσμο[2], ὁ Κύριός μας Ἰησοῦς Χριστός, ὁ ὁποῖος, ἐπειδὴ ἔχει προσλάβει ἀπὸ μᾶς τὴ δική μας σάρκα καὶ ἔγινε καὶ λέγεται λαμπάδα, δηλαδὴ ἡ φυσικὴ τοῦ Θεοῦ καὶ Πατέρα Σοφία καὶ Λόγος, ποὺ κηρύττεται στὴν Ἐκκλησία τοῦ Θεοῦ μ' εὐσεβὴ πίστη καὶ ποὺ ὑψώνεται καὶ λάμπει μέσα στὰ ἔθνη μὲ τὸν ἐνάρετο βίο καὶ τὴ φύλαξη τῶν ἐντολῶν καὶ ποὺ φέγγει σ' ὅλους μέσα στὸ σπίτι, ἐννοῶ αὐτὸν τὸν κόσμο, ὅπως λέει κάπου ὁ ἴδιος ὁ Θεὸς

2. Ἰω. 1,9.

τῷ κόσμῳ, καθά πού φησιν αὐτὸς ὁ Θεὸς καὶ Λόγος· «οὐδεὶς ἅπτει λύχνον καὶ τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ», λύχνον ἑαυτὸν δηλαδὴ λέγων[9]*, ὡς κατὰ φύσιν Θεὸς ὑπάρχων καὶ σὰρξ κατ' οἰκονομίαν γενόμενος· οἷα δὴ φῶς κατ' οὐσίαν, λύχνου δίκην ἀπεριγράφως διὰ μέσης ψυχῆς, ὡς διὰ θρυαλλίδος τὸ πῦρ, τῷ τῆς σαρκὸς ὀστράκῳ κρατούμενος, ὅπερ οἶμαι νοήσας καὶ ὁ μέγας Δαβίδ, λύχνον κέκληκε τὸν Κύριον, φήσας· «λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου». Σκότους γὰρ ἀγνοίας τε καὶ πονηρίας λυτήριος ὁ ἐμὸς ὑπάρχει Σωτὴρ καὶ Θεός, διὸ καὶ λύχνος τῇ Γραφῇ προσηγορεύθη. Λύχνος γὰρ παρὰ τὸ λύειν τὸ νύχος λέγεται, νύχος δὲ καλοῦσι τὸ σκότος οἱ περὶ λόγους σπουδάζοντες. Ὃς δὴ μόνος οἷα δὴ λύχνος τὸν ζόφον τῆς ἀγνοίας καὶ τὸν σκότον τῆς κακιάς διαλύσας, πᾶσιν ὁδὸς γέγονε σωτηρίας, δι' ἀρετῆς καὶ γνώσεως πρὸς τὸν Πατέρα φέρων τοὺς αὐτὸν ὡς δικαιοσύνης ὁδὸν διὰ τῶν θείων ἐντολῶν ὁδεύειν βουλομένους. Λυχνίαν δὲ τὴν ἁγίαν Ἐκκλησίαν, ἐφ' ἧς τῷ ἐν τῷδε τῷ κόσμῳ ὡς ἐν οἰκίᾳ τινὶ τυγχάνοντας καταφωτίζει ταῖς ἀκτῖσι τῆς ἀληθείας, τὰς πάντων διανοίας θείας πληρῶν ἐπιγνώσεως.*

Μόδιον δὲ[10] *τῷ τῆς συμβολικῆς διαπλάσεως τρόπῳ κέκληκε τὴν συναγωγὴν τῶν Ἰουδαίων, ἤγουν τὴν σωματικὴν τοῦ νόμου λατρείαν, τῷ παχεῖ τῶν ἐν τῷ γράμματι συμβόλων παντελῶς ἀδιάγνωστον ἔχουσαν τὸ φῶς τῆς ἐν νοήμασιν ἀληθοῦς ἐπιγνώσεως, ὑφ' ὃν μόδιον κρατεῖσθαι παντελῶς ὁ λόγος οὐ βούλεται, τὸ ὕψει ἐπικεῖσθαι θέλων καὶ τῷ μεγέθει τοῦ κάλλους τῆς Ἐκκλησίας. Πάντας γὰρ ἄν, τῷ γράμματι τοῦ νόμου καθάπερ μοδίῳ κρατούμενος ὁ λόγος, ἐστέρησε φωτὸς ἀϊδίου, μὴ διδοὺς θεωρίαν πνευματικὴν τοῖς τὴν αἴσθησιν ὡς ἀπατη-*

καὶ Λόγος· «κανένας δὲν ἀνάβει λυχνάρι γιὰ νὰ τὸ βάλει κάτω ἀπὸ τὸ μόδιο, ἀλλὰ ἐπάνω στὴ λυχνία, καὶ λάμπει σὲ ὅλους μέσα στὸ σπίτι»[3]. Ὀνομάζει δηλαδὴ τὸν ἑαυτό του λύχνο, ἐπειδὴ εἶναι Θεὸς κατὰ φύση καὶ ἔγινε κατ' οἰκονομία σάρκα. Ἐπειδὴ εἶναι στὴν οὐσία του φῶς, ὅμοια μὲ λυχνάρι μέσω τῆς ψυχῆς κατὰ τρόπο ἀπερίγραπτο, ὅπως τὸ φῶς μὲ τὴ θρυαλλίδα, κρατεῖται μέσα στὸ ὀστράκινο σκεῦος τῆς σάρκας, πράγμα ποὺ ἐννόησε καὶ ὁ μέγας Δαβὶδ καὶ κάλεσε τὸν Κύριο λυχνάρι λέγοντας, «λυχνάρι γιὰ τὰ πόδια μου εἶναι ὁ νόμος σου καὶ φῶς γιὰ τοὺς δρόμους μου»[4]. Ὁ Σωτήρας καὶ Θεός μου διαλύει τὸ σκότος τῆς ἄγνοιας καὶ τῆς πονηρίας, γι' αὐτὸ κι ἡ Γραφὴ τὸν ὀνόμασε λύχνο. Γιατὶ λύχνος ὀνομάζεται ἀπὸ τὸ ὅτι διαλύει τὸ νύχος· νύχος καλοῦν οἱ φιλόλογοι τὸ σκοτάδι. Αὐτὸς λοιπὸν μόνος σὰν τὸ λυχνάρι διέλυσε τὸ ζόφο τῆς ἄγνοιας καὶ τὸ σκοτάδι τῆς κακίας κι ἔγινε γιὰ ὅλους ὁδὸς σωτηρίας, μεταφέροντας στὸν Πατέρα του μὲ ἀρετὴ καὶ γνώση ἐκείνους ποὺ θέλουν νὰ βαδίσουν αὐτὸν ὡς ὁδὸ δικαιοσύνης μέσω τῶν θείων ἐντολῶν. Λυχνία κάλεσε τὴν ἅγια Ἐκκλησία πάνω στὴν ὁποία λάμποντας ὁ Λόγος τοῦ Θεοῦ μὲ τὸ κήρυγμα καταφωτίζει ὅλους ὅσοι βρίσκονται σ' αὐτὸν τὸν κόσμο, σὰν μέσα σ' ἕνα σπίτι, μὲ τὶς ἀκτίνες τῆς ἀλήθειας, γεμίζοντας τὶς διάνοιες ὅλων μὲ τὴν ἐπίγνωση τοῦ Θεοῦ.

Μόδιο μὲ τὸν τρόπο τῆς συμβολικῆς διατύπωσης ὀνόμασε τὴ συναγωγὴ τῶν Ἰουδαίων, δηλαδὴ τὴ σωματικὴ λατρεία τοῦ νόμου, ποὺ ἐξαιτίας τῆς παχύτητας τῶν γραμματικῶν συμβόλων εἶχε τελείως ἀδιάκριτο στὰ νοήματα τὸ φῶς τῆς ἀληθινῆς ἐπίγνωσης, κάτω ἀπὸ τὸν ὁποῖο δὲν θέλει καθόλου νὰ κρατιέται ὁ Λόγος, θέλοντας νὰ εἶναι τοποθετημένος ψηλὰ καὶ στὸ μεγαλεῖο τοῦ κάλλους τῆς Ἐκκλησίας. Γιατὶ ὁ λόγος κρατημένος ἀπὸ τὸ γράμμα τοῦ νόμου, σὰν ἀπὸ μόδιο, στέρησε τοὺς πάντες ἀπὸ τὸ ἀίδιο φῶς, μὴ παρέχοντας θεωρία πνευματικὴ σ' ἐκεί-

3. Ματθ. 5,15. 4. Ψαλμ. 118,105.

λὴν καὶ μόνης δεκτικὴν τῆς ἀπάτης καὶ τῆς τῶν συμφυῶν σωμάτων φθορᾶς ὑπάρχουσαν μόνης ἀντιληπτικὴν ἐκδύσασθαι σπεύδουσιν, ἀλλ' ἐπὶ τὴν λυχνίαν, λέγω τὴν Ἐκκλησίαν, ἤγουν τὴν ἐν πνεύματι λογικὴν λατρείαν, ἵνα πάντας φωτίσῃ, διδάσκων τοὺς ἐν παντὶ τῷ κόσμῳ, λόγῳ ζῆν μόνῳ καὶ πολιτεύεσθαι, καὶ τοσοῦτον ἔχειν περὶ τῶν σωμάτων τὴν μέριμναν, ὅσον διὰ πολλῆς φροντίδος τὴν πρὸς αὐτὰ σχέσιν τῆς ψυχῆς παντελῶς διακόψαι· καὶ μηδεμίαν διδόναι τὸ σύνολον ὕλης τῇ ψυχῇ φαντασίαν, ἔργον ποιεῖσθαι καὶ σπούδασμα· σβεσθείσης ἤδη τῷ λόγῳ[11] τῆς κατ' ἀρχὰς τὸν μὲν λόγον παρωσαμένης, τὴν ἀλογίαν δὲ τῆς ἡδονῆς, ὄφεως δίκην ἑρπηστικοῦ, προσδεξαμένης αἰσθήσεως, καθ' ἧς ὡρίσθη δικαίως ὁ θάνατος, ἵνα παύσηται τῷ διαβόλῳ πρὸς τὴν ψυχὴν παρεχομένη τὴν εἴσοδον. Μία γὰρ ὑπάρχουσα κατὰ τὸ γένος ἡ αἴσθησις[12], πενταπλοῦται τοῖς εἴδεσι, διὰ τῆς καθ' ἕκαστον εἶδος ἀντιληπτικῆς ἐνεργείας τὸ προσφυὲς αἰσθητὸν ἀντὶ Θεοῦ στέργειν τὴν πλανωμένην ψυχὴν ἀναπείθουσα. Διόπερ ὁ τῷ λόγῳ σοφῶς ἑπόμενος πρὸ τοῦ βεβιασμένου καὶ παρὰ γνώμην θανάτου θάνατον τῆς σαρκὸς ἑκουσίως καταψηφίζεται, τὸν πρὸς αἴσθησιν τῆς γνώμης παντελῶς ποιούμενος χωρισμόν.

Οὐκοῦν, ὁ μόνῳ τῷ γράμματι τῆς Γραφῆς παρακαθήμενος, μόνην ἔχει τὴν αἴσθησιν κρατοῦσαν τῆς φύσεως, καθ' ἣν ἡ πρὸς σάρκα τῆς ψυχῆς σχέσις μόνη διαφαίνεσθαι πέφυκε. Τὸ γὰρ γράμμα μὴ νοούμενον πνευματικῶς, μόνην ἔχει τὴν αἴσθησιν περιγράφουσαν αὐτοῦ τὴν ἐκφώνησιν καὶ μὴ συγχωροῦσαν πρὸς τὸν νοῦν διαβῆναι τῶν γεγραμμένων τὴν δύναμιν. Εἰ δὲ πρὸς μόνην τὴν αἴσθησιν ἔχει τὸ γράμμα τὴν οἰκειότητα, πᾶς ὁ καθ' ἱστορίαν μόνην ἰουδαϊκῶς τὸ γράμμα δεχόμενος, κατὰ σάρκα ζῇ, τῆς ἁμαρτίας καθ' ἑκάστην ἡμέραν διὰ τὴν ζῶσαν αἴσθησιν γνωμικῶς ἀποθνήσκων τὸν θάνατον, μὴ δυνάμενος πνεύματι τὰς πράξεις θανατῶσαι τοῦ σώματος, ἵνα ζῇ τὴν ἐν πνεύματι μακαρίαν ζωήν. «Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε

νους ποὺ ἔσπευδαν ν' ἀποβάλουν τὴν αἴσθηση ὡς ἀπατηλὴ καὶ δεχόμενη τὴν ἀπάτη μόνο καὶ δυνάμενη ν' ἀντιληφθεῖ μόνο τὴ φθορὰ τῶν σύμφυτων σωμάτων, ἀλλὰ θέλει νὰ εἶναι ἐπάνω στὴ λυχνία, ἐννοῶ τὴν Ἐκκλησία, δηλαδὴ τὴν πνευματικὴ λογικὴ λατρεία, γιὰ νὰ τοὺς φωτίσει ὅλους, διδάσκοντας τοὺς ἀνθρώπους ὅλου τοῦ κόσμου νὰ ζοῦν καὶ νὰ πολιτεύονται μὲ τὸ λόγο μόνο καὶ νὰ φροντίζουν τόσο μονάχα γιὰ τὰ σώματα, ὅσο νὰ διακόψουν τελείως μὲ πολλὴ φροντίδα τὴν σχέση τῆς ψυχῆς μ' αὐτὰ καὶ νὰ μὴ δίνουν κανένα γενικὰ ἴχνος ὕλης στὴν ψυχή, κάνοντάς το αὐτὸ ἔργο καὶ ἐπιδίωξή της, ἀφοῦ εἶχε σβήσει πιὰ μὲ τὴ δύναμη τοῦ λόγου ἡ αἴσθηση ποὺ ἀπώθησε στὴν ἀρχὴ τὸ λόγο καὶ δέχτηκε τὴν ἀλογία τῆς ἡδονῆς, ὅπως τὸ φίδι ποὺ ἕρπει, ἐναντίον τῆς ὁποίας καταλογίσθηκε βίαια ὁ θάνατος, γιὰ νὰ παύσει νὰ παρέχει στὸ διάβολο εἴσοδο πρὸς τὴν ψυχή. Γιατί, ἐνῶ ἡ αἴσθηση εἶναι μία κατὰ τὸ γένος, ἁπλώνεται σὲ πέντε εἴδη γιὰ τὸ καθένα εἶδος τῆς ἀντιληπτικῆς λειτουργίας, πείθοντας τὴν πλανώμενη ψυχὴ νὰ αἰσθάνεται ἀγάπη πρὸς τὸ δεμένο μαζί της αἰσθητό, παρὰ πρὸς τὸ Θεό. Γι' αὐτὸ ὅποιος ἀκολουθεῖ σοφὰ τὸ λόγο, μπροστὰ στὸν ἐξαναγκαστικὸ καὶ παρὰ γνώμη θάνατο, καταδικάζει τὴ σάρκα σ' ἑκούσιο θάνατο, διαχωρίζοντας τέλεια τὴ γνώμη ἀπὸ τὴν αἴσθηση.

Ἑπομένως αὐτὸς ποὺ μένει προσκολλημένος μόνο στὸ γράμμα τῆς Γραφῆς, ἔχει σὰν κυρίαρχο τῆς φύσης μόνο τὴν αἴσθηση, ὅπου κατὰ φυσικὸ λόγο φαίνεται μόνο ἡ σχέση τῆς ψυχῆς μὲ τὴ σάρκα. Γιατὶ τὸ γράμμα ἂν δὲν ἐννοεῖται πνευματικὰ ἔχει μόνη τὴν αἴσθηση νὰ περιγράφει τὴν ἐκφώνησή του, χωρὶς νὰ ἐπιτρέπει στὴ δύναμη τῶν Γραφῶν νὰ περάσει στὸ νοῦ. Ἂν ὅμως τὸ γράμμα σχετίζεται μόνο μὲ τὴν αἴσθηση, καθένας ποὺ δέχεται τὸ γράμμα μὲ τὸν ἰουδαϊκὸ τρόπο καὶ μόνο γιὰ ἁπλὴ γνώση, ζεῖ κατὰ σάρκα καὶ καθημερινὰ πεθαίνει ἑκούσια ἐξαιτίας τῆς ζώσας αἴσθησης τὸ θάνατο τῆς ἁμαρτίας, καὶ δὲν μπορεῖ νὰ θανατώσει πνευματικὰ τὶς πράξεις τοῦ σώματος, γιὰ νὰ ζεῖ τὴ μακάρια ζωὴ τοῦ Πνεύματος. Γιατί, λέει ὁ θεῖος Ἀπό-

ἀποθνήσκειν», φησὶν ὁ θεῖος Ἀπόστολος· «εἰ δὲ πνεύματι τας πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε». Μὴ τοίνυν τὸν λύχνον, ἤγουν τὸν φωτιστικὸν τῆς γνώσεως λόγον, ἀνάπτοντες, διὰ θεωρίας καὶ πράξεως ὑπὸ τὸν μόδιον θήσωμεν, ἵνα μὴ κατακριθῶμεν, ὡς περιγράφοντες τῷ γράμματι τὴν τῆς σοφίας ἀπερινόητον δύναμιν, ἀλλ' ἐπὶ τὴν λυχνίαν, λέγω τὴν ἁγίαν Ἐκκλησίαν, ἐν τῷ ὕψει τῆς ἀληθοῦς θεωρίας, πᾶσι τὸ φῶς τῶν θείων δογμάτων πυρσεύουσαν.

Ταύτην τυχὸν τὴν ἁγίαν Ἐκκλησίαν καὶ ὁ νόμος τυπικῶς προκαταγγέλλων, λυχνίαν χρυσῆν ὅλην αὐτὴν καὶ τορευτὴν γενέσθαι προσέταξε· τὸ μέν, ὡς μηδὲν διάκενον ἔχουσαν καὶ τῆς τοῦ λόγου δυνάμεως ἄμοιρον· τὸ δέ, ὡς τῶν ὑλικῶν πάντων περιττωμάτων παντελῶς ἀπεξεσμένην καὶ μηδὲν ἐπίγειον ἔχουσαν. Ἥνπερ μετά τινος ἐξαλλαγῆς θαυμαστῶς διαθρήσας ὁ μέγας Ζαχαρίας, φησὶ πρὸς τῷ λαμπαδίῳ· «καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς». Τοὺς ἑπτὰ λύχνους ἐνταῦθα καθ' ἕτερον τρόπον ἐκληπτέον ἡμῖν, παρ' ὃν ἤδη τὸν ἐν τῷ Εὐαγγελίῳ λύχνον προλαβὼν ἐξέδωκεν ὁ λόγος. Οὐ γὰρ πάντες τε καὶ πάντα τὰ τὴν αὐτὴν ἐκφώνησιν ἔχοντα, καθ' ἕνα καὶ τὸν αὐτὸν πάντως νοηθήσεται τρόπον, ἀλλ' ἕκαστον τῶν λεγομένων πρὸς τὴν ὑποκειμένην δῆλον ὅτι τῷ τόπῳ τῆς ἁγίας Γραφῆς δύναμιν νοητέον, εἰ μέλλοιμεν ὀρθῶς τοῦ σκοποῦ τῶν γεγραμμένων καταστοχάζεσθαι.

Λύχνους([13]*) οὖν ἐνταῦθα φάναι τὴν ἁγίαν Γραφήν, ὑπονοῶ, τὰς ἐνεργείας τοῦ ἁγίου Πνεύματος, ἤγουν τὰ χαρίσματα τοῦ Πνεύματος, ἅπερ δωρεῖσθαι τῇ Ἐκκλησίᾳ πέφυκεν ὁ Λόγος, ὡς κεφαλὴ τοῦ παντὸς σώματος. «Καὶ ἐπαναπαύσεται γὰρ ἐπ' αὐτόν», φησί, «Πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· ἐμ-*

στολος, «ἂν ζεῖτε κατὰ σάρκα, σᾶς περιμένει ὁ θάνατος', λέει ὁ θεῖος Ἀπόστολος. Ἂν ὅμως θανατώνετε πνευματικὰ τὶς πράξεις τοῦ σώματος θὰ ζήσετε»[5]. Ἀνάβοντας λοιπὸν τὸ λυχνάρι, δηλαδὴ τὸν φωτοδότη λόγο τῆς γνώσης, μὲ τὴ θεωρία καὶ τὴν πράξη ἂς μὴν τὸν βάλομε κάτω ἀπὸ τὸν μόδιο, γιὰ νὰ μὴ δεχτοῦμε τὴν κατάκριση περιορίζοντας μέσα στὸ γράμμα τὴν ἀπερινόητη δύναμη τῆς σοφίας, ἀλλὰ ἂς τὸν θέσομε πάνω στὴ λυχνία, ἐννοῶ τὴν ἁγία Ἐκκλησία, στὸ ὕψος τῆς ἀληθινῆς θεωρίας, σκορπίζοντας σ' ὅλους, ὡς πυρσός, τὸ φῶς τῶν θείων δογμάτων.

Αὐτὴν τὴν Ἐκκλησία ἴσως προαναγγέλλοντας καὶ ὁ νόμος μὲ τρόπο τυπικὸ ὅρισε νὰ γίνει ὁλόκληρη λυχνία χρυσὴ καὶ τορνευτή· χρυσὴ ὅλη, ἐπειδὴ δὲν ἔχει κανένα κενὸ σημεῖο καὶ ἄμοιρο ἀπὸ τὴ δύναμη τοῦ λόγου· τορνευτή, ἐπειδὴ εἶναι τελείως ἀπαλλαγμένη σὰν μὲ γλύφανο ἀπὸ κάθε περιττὸ ὑλικὸ στοιχεῖο καὶ δὲν ἔχει τίποτα τὸ γήινο. Αὐτὴ τὴ λυχνία παραλλαγμένη κάπως παρατηρώντας ὁ Ζαχαρίας, λέει ὅτι μαζὶ μὲ τὴ λαμπάδα «ὑπῆρχαν ἐπάνω σ' αὐτὴν ἑφτὰ λύχνοι». Τοὺς ἑφτὰ λύχνους ἐδῶ πρέπει νὰ τοὺς ἐξηγήσομε μὲ ἄλλο τρόπο ἀπὸ ἐκεῖνον ποὺ ἤδη ἀναφέραμε στὸ λόγο μας τὸ λύχνο τοῦ Εὐαγγελίου. Γιατὶ δὲν θὰ νοηθοῦν ὁπωσδήποτε μὲ τὸν ἴδιο τρόπο ὅλοι κι ὅλα ποὺ προφέρονται μὲ τὸν ἴδιο τρόπο, ἀλλὰ καθένα ἀπὸ τὰ λεγόμενα πρέπει νὰ τὸ ἐννοοῦμε –εἶναι φανερό– σύμφωνα μὲ τὸ νόημα ποὺ δίνει ἡ Γραφὴ στὸ σημεῖο αὐτό, ἂν θέλομε νὰ κατανοήσομε ὀρθὰ τὸ σκοπὸ τῶν Γραφῶν.

Ὑποθέτω λοιπὸν ὅτι ἐδῶ λύχνους χαρακτηρίζει ἡ ἁγία Γραφὴ τὶς ἐνέργειες τοῦ ἁγίου Πνεύματος, δηλαδὴ τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, τὰ ὁποῖα ἔχει στὴ φύση του νὰ δωρίζει στὴν Ἐκκλησία ὁ Λόγος ὡς κεφαλὴ ὅλου τοῦ σώματος. Γιατὶ λέει, «καὶ θὰ ἐπαναπαυθεῖ ἐπάνω του Πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ σύνεσης, πνεῦμα βουλῆς καὶ δύναμης, πνεῦμα γνώσης

---

5. Ρωμ. 8,13.

πλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ». Ἡ δὲ τῆς Ἐκκλησίας κεφαλὴ κατὰ τὴν ἐπίνοιαν τῆς ἀνθρωπότητός ἐστιν ὁ Χριστός. Ἄρα τῇ Ἐκκλησίᾳ δεδώρηται ὁ κατὰ φύσιν ἔχων τὸ Πνεῦμα, τὰς ἐνεργείας τοῦ Πνεύματος, ὡς Θεός. Ἐμοὶ γὰρ ὁ Λόγος γενόμενος ἄνθρωπος[14], ἐμοὶ καὶ τὴν ὅλην πραγματεύεται σωτηρίαν, διὰ τῶν ἐμῶν ἐμοὶ τὰ οἰκεῖα αὐτῷ κατὰ φύσιν ἀντιδούς, δι' ὃν καὶ ἄνθρωπος γέγονε, καὶ ὡς λαμβάνων δι' ἐμέ, ποιεῖται τῶν οἰκείων τὴν ἔκφανσιν, καὶ ἑαυτῷ μὲν τὴν ἐμὴν ὡς φιλάνθρωπος λογιζόμενος χάριν, ἐμοὶ δὲ τὴν οἰκείαν αὐτοῦ κατὰ φύσιν κατορθωμάτων ἐπιγραφόμενος δύναμιν, δι' ὃν καὶ νῦν λαμβάνειν λέγεται, τὸ φύσει προσὸν ἀνάρχως καὶ ὑπὲρ λόγον. Τὸ γὰρ Πνεῦμα τὸ ἅγιον ὥσπερ φύσει κατ' οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καὶ Πατρός, οὕτω καὶ τοῦ Υἱοῦ φύσει κατ' οὐσίαν ἐστίν, ὡς ἐκ τοῦ Πατρὸς οὐσιωδῶς, δι' Υἱοῦ γεννηθέντος, ἀφράστως ἐκπορευόμενον, καὶ τῇ λυχνίᾳ, τουτέστι τῇ Ἐκκλησίᾳ, καθάπερ λύχνους τὰς οἰκείας ἐνεργείας δωρούμενον. Λύχνου γὰρ τρόπον τὸ σκότος λύοντος, πᾶσα τοῦ Πνεύματος ἐνέργεια τὴν πολύτροπον γένεσιν τῆς ἁμαρτίας ἐξωθεῖσθαι τῆς Ἐκκλησίας καὶ ἐπελαύνειν πέφυκε. Ποιεῖται γὰρ ἡ μὲν σοφία[15] τῆς ἀνοίας ἀναίρεσιν, ἡ δὲ σύνεσις τῆς ἀνεπιγνωμοσύνης ἀφαίρεσιν, ἡ δὲ βουλὴ τῆς ἀδιακρισίας κατάργησιν, ἡ δὲ ἰσχὺς τῆς ἀσθενείας ἐξήλωσιν, ἡ δὲ γνῶσις τῆς ἀγνωσίας ἀφανισμόν, ἡ δὲ εὐσέβεια τῆς ἀσεβείας καὶ τῆς ἐπ' αὐτῇ τῶν ἐνεργειῶν φαυλότητος διωγμόν, ὁ δὲ φόβος τῆς καταφρονήσεως ἀπελαύνει τὴν πώρωσιν. Φῶς γὰρ οὐ μόνον τὰ προστάγματα, ἀλλὰ καὶ τὰ ἐνεργήματα τυγχάνει τοῦ Πνεύματος.

Λύχνοι δὲ πάλιν τυγχάνουσι[16] παντὶ τῷ βίῳ διὰ τῆς Ἐκκλησίας τὸ φῶς τῆς σωτηρίας πυρσεύοντες καὶ οἱ συμπληροῦντες βαθμοὶ τὴν κατ' αὐτὴν εὐκοσμίαν. Οἷον, ὁ σοφὸς τῶν θείων καὶ ὑψηλῶν δογμάτων τε καὶ μυστηρίων διδάσκαλος λύχνος

κι εὐσέβειας· θὰ τὸν γεμίσει πνεῦμα φόβου Θεοῦ»[6]. Ἡ κεφαλὴ τῆς Ἐκκλησίας σύμφωνα μὲ τὴ γνώμη τῆς ἀνθρωπότητας εἶναι ὁ Χριστός. Ἄρα στὴν Ἐκκλησία ἔχει δωρηθεῖ αὐτὸς πού, ὡς Θεός, ἔχει τὸ Πνεῦμα στὴ φύση του, τὶς ἐνέργειες τοῦ Πνεύματος. Γιατὶ ὁ Λόγος ἔγινε γιὰ μένα ἄνθρωπος καὶ γιὰ μένα πραγματοποιεῖ ὅλη τὴ σωτηρία, ἀντιδωρίζοντας σ' ἐμένα μέσω τῶν δικῶν μου τὰ οἰκεῖα στὴ φύση του, σ' ἐμένα ποὺ γιὰ χάρη μου ἔγινε ἄνθρωπος, καὶ σὰν νὰ τὰ λαμβάνει γιὰ μένα φανερώνει τὰ δικά του. Καὶ σὰν φιλάνθρωπος βέβαια θεωρεῖ τὴ χάρη ποὺ μοῦ ἔγινε χάρη δική του καὶ ἀποδίδει τὴ δική του φυσικὴ δύναμη γιὰ κατορθώματα σ' ἐμένα, γιὰ τὸν ὁποῖο λέμε ὅτι καὶ τώρα λαμβάνει αὐτὸ ποὺ ἔχει στὴ φύση του χωρὶς ἀρχὴ καὶ πάνω ἀπὸ λόγο. Τὸ ἅγιο Πνεῦμα δηλαδή, ὅπως ἀπὸ τὴ φύση του ἀνήκει κατ' οὐσίαν στὸ Θεὸ καὶ Πατέρα, ἔτσι εἶναι ἀπὸ τὴ φύση του κατ' οὐσίαν καὶ τοῦ Υἱοῦ, ἐκπορεύεται ἀπὸ τὸν Πατέρα μὲ τρόπο ἄφραστο μέσω τοῦ Υἱοῦ ποὺ γεννήθηκε ἀπὸ αὐτὸν καὶ δωρίζει τὶς ἐνέργειές του στὴ λυχνία, δηλαδὴ στὴν Ἐκκλησία, σὰν λύχνους. Διαλύοντας δηλαδή, ὅπως ὁ λύχνος, τὸ σκοτάδι κάθε ἐνέργεια τοῦ Πνεύματος ἔχει στὴ φύση της νὰ ἐκδιώκει καὶ ν' ἀπομακρύνει ἀπὸ τὴν Ἐκκλησία τὴν πολύτροπη γένεση τῆς ἁμαρτίας. Ἡ σοφία δηλαδὴ ἀφανίζει τὴν ἀνοησία, ἡ σύνεση ἀφαιρεῖ τὴν ἀφροσύνη, ἡ βουλὴ καταργεῖ τὴν ἀδυναμία διάκρισης, ἡ ἰσχὺς ἀφαιρεῖ τὴν ἀσθένεια, ἡ γνώση ἐξαφανίζει τὴν ἄγνοια, ἡ εὐσέβεια διώχνει τὴν ἀσέβεια καὶ τὶς φαῦλες ἐνέργειές της, καὶ ὁ φόβος ἀπομακρύνει τὴν ἀναισθησία τῆς καταφρόνησης. Γιατὶ φῶς εἶναι ὄχι μόνο τὰ προστάγματα[7], ἀλλὰ καὶ τὰ ἐνεγήματα τοῦ Πνεύματος.

Λύχνοι ἀκόμα εἶναι[8], ποὺ σκορπίζουν σ' ὅλο τὸ βίο μέσω τῆς Ἐκκλησίας τὸ φῶς τῆς σωτηρίας, καὶ οἱ τάξεις ποὺ συμπληρώνουν τὴν εὐκοσμία σ' αὐτή. Ὁ σοφός, γιὰ παράδειμα, δάσκαλος τῶν θείων καὶ ὑψηλῶν δογμάτων καὶ μυστηρίων, εἶ-

6. Ἡσ. 11,2,3. 7. Παροιμ. 6,23. 8. Φιλ. 2,15.

ἐστίν, ἐκκαλύπτων τὰ τέως τοῖς πολλοῖς μὴ φαινόμενα. Ὁ μετὰ συνέσεως καὶ ἐπιστήμης κατακούων τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας, ἄλλος ὑπάρχει λύχνος, ὡς συνετὸς ἀκροατὴς φυλάττων ἐν ἑαυτῷ τῆς τῶν λαλουμένων ἀληθείας τὸ φῶς. Ὁ δὲ μετὰ βουλῆς διακρίνων ἁρμοδίας τοῖς πράγμασι τοὺς καιροὺς καὶ τοῖς λόγοις τοὺς ἐπιβάλλοντας τρόπους ἐπινοῶν καὶ μὴ συγχωρῶν ἀλλήλοις ἀπροσφόρως ἐμπεσόντας συγχεῖσθαι, καὶ οὗτος ὡς θαυμαστὸς σύμβουλος ἄλλος ὑπάρχων δέδεικται λύχνος. Ὁ δὲ τὰς προσβολὰς τῶν ἀκουσίων πειρασμῶν, κατὰ τὸν μακάριον Ἰὼβ καὶ τοὺς γενναίους μάρτυρας, ἀκατασείστῳ φέρων τῷ φρονήματι, λύχνος ἐστὶν ἰσχυρός, ἀκατάσβεστον καὶ αὐτὸς φυλάττων τὸ φῶς τῆς σωτηρίας ἐν τῷ τρόπῳ τῆς κατ' ἀνδρείαν ὑπομονῆς φυλαττόμενον, ὡς τὸν Κύριον ἰσχὺν ἔχων καὶ ὕμνησιν. Ὁ δὲ γινώσκων τοῦ πονηροῦ τὰ μηχανήματα καὶ τὰς συμπλοκὰς τῶν ἀφανῶν πολέμων οὐκ ἀγνοῶν, καὶ οὗτος τῷ φωτὶ τῆς γνώσεως περιλαμπόμενος, ἄλλος πέφυκε λύχνος, τῷ μεγάλῳ Ἀποστόλῳ προσηκόντως φθεγγόμενος, «οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν». Ὁ δὲ κατ' ἐντολὴν βίον εὐσεβῶς ταῖς ἀρεταῖς εὐθυνόμενον μετερχόμενος, ἄλλος ὑπάρχει λύχνος, ὡς εὐσεβὴς τὴν εὐσέβειαν εὐσεβῶς τοῖς τρόποις πιστούμενος. Ὁ δὲ τῇ προσδοκίᾳ τῆς κρίσεως τοῖς πάθεσι πρὸς τὴν ψυχὴν δι' ἐγκρατείας ἀποτειχίσας τὴν εἴσοδον, ἄλλος γέγονε λύχνος, διὰ σπουδῆς τῷ φόβῳ τοῦ Θεοῦ τὰς ἐπιτριβείσας αὐτῷ τῶν παθῶν κηλῖδας ἐκκαθαιρόμενος καὶ τῇ τῶν παρὰ φύσιν ἀποβολῇ μολυσμῶν, διαυγῆ καὶ λαμπρὸν τὸν βίον ποιούμενος.

Τὴν μὲν οὖν κάθαρσιν τοῖς ἀξίοις τῆς τῶν ἀρετῶν καθαρότητος[17] διὰ φόβου καὶ εὐσεβείας καὶ γνώσεως ποιεῖται τὸ Πνεῦμα τὸ ἅγιον, τὸν δὲ φωτισμὸν τῆς τῶν ὄντων καθ' οὓς *ὑπάρχουσι λόγους γνώσεως δι' ἰσχυος καὶ βουλῆς καὶ συνέσε-*

---

9. Α' Κορ. 2,6. 10. Ἠσ. 9,6.
11. Ψαλμ. 42,2· Ἐξ. 4,2.

ναι λύχνος, πού ξεσκεπάζει ὅσα δὲν φαίνονται προηγουμένως στοὺς πολλούς. Ὅποιος μὲ σύνεση κι ἐπιστήμη ἀκούει τὴ σοφία γιὰ τὴν ὁποία μιλοῦν μεταξύ τους οἱ σοφοί[9], εἶναι ἄλλου εἴδους λύχνος, ὡς ἀκροατὴς συνετὸς ποὺ φυλάει μέσα του τὸ φῶς τῆς ἀλήθειας τῶν λεγομένων. Ὅποιος πάλι μὲ σκέψη διακρίνει τοὺς κατάλληλους γιὰ τὰ πράγματα καιροὺς καὶ ἐπινοεῖ τοὺς τρόπους ποὺ ἐπιβάλλεται γιὰ τοὺς λόγους καὶ δὲν ἀνέχεται νὰ περιπλέκονται ἀπρόσφορα μεταξύ τους καὶ νὰ συγχέονται καὶ αὐτός, σὰν σύμβουλος θαυμαστός, ἀποδεικνύεται ἕνας ἄλλος λύχνος[10]. Ὅποιος πάλι ἀντέχει μὲ ἀπαρασάλευτο φρόνημα, ὅπως ὁ μακάριος Ἰὼβ καὶ οἱ γενναῖοι μάρτυρες, τὶς ἐπιθέσεις τῶν ἀκούσιων πειρασμῶν, αὐτὸς εἶναι λύχνος δυνατός, ποὺ φυλάει κι αὐτὸς ἄσβηστο τὸ φῶς τῆς σωτηρίας, φυλαγμένο στὸν τρόπο τῆς ἀνδρικῆς ὑπομονῆς του, ἐπειδὴ ἔχει τὸν Κύριο ἰσχὺ καὶ ὕμνησή του[11]. Κι αὐτὸς ποὺ γνωρίζει τὰ τεχνάσματα τοῦ ἐχθροῦ καὶ δὲν ἀγνοεῖ τὶς συγκρούσεις τῶν ἀόρατων πολέμων, κι αὐτὸς περιλαμπόμενος ἀπὸ τὸ φῶς τῆς γνώσης εἶναι ἕνας ἄλλος λύχνος λέγοντας ὅπως θὰ ταίριαζε στὸ μεγάλο Ἀπόστολο· «γιατὶ βέβαια δὲν ἀγνοοῦμε τὶς ἐπινοήσεις του»[12]. Ὅποιος πάλι ζεῖ μ' εὐσέβεια σύμφωνα μὲ τὶς ἐντολὲς κατευθύνοντας τὴ ζωή του μὲ τὶς ἀρετές, εἶναι κι αὐτὸς ἄλλος λύχνος, ἐπειδὴ βεβαιώνει σὰν εὐσεβὴς μὲ εὐσεβὴ τρόπο τὴν εὐσέβειά του. Ὅποιος μὲ τὴν προσδοκία τῆς κρίσης, ἔχει ἀποκλείσει μὲ τὴν ἐγκράτεια τὴν εἴσοδο τῶν παθῶν στὴν ψυχή, ἔγινε ἄλλος ἕνας λύχνος, ποὺ καθαρίζει προσεκτικὰ μὲ φόβο Θεοῦ τὶς κηλίδες τῶν παθῶν ποὺ κόλλησαν ἐπάνω του καὶ κάνει διαυγὴ καὶ λαμπρὸ τὸ βίο του μὲ τὴν ἀποβολὴ τῶν παρὰ φύση μολυσμῶν.

Τὴν κάθαρση λοιπὸν ἐκείνων ποὺ εἶναι ἄξιοι γιὰ τὴν καθαρότητα τῶν ἀρετῶν τὴν κάνει τὸ ἅγιο Πνεῦμα, μὲ τὸν φόβο, τὴν εὐσέβεια καὶ τὴ γνώση ἐνῶ τὸ φωτισμὸ γιὰ τὴ γνώση τῶν λόγων κατὰ τοὺς ὁποίους ὑπάρχουν τὰ ὄντα, τὰ δωρίζει στοὺς

12. Β' Κορ. 2,11.

ως δωρεῖται τοῖς ἀξίοις φωτός· τὴν δὲ τελειότητα διὰ τὴν παμφαοῦς καὶ ἁπλῆς καὶ ὁλοσχεροῦς σοφίας χαρίζεται τοῖς ἀξίοις θεώσεως, πρὸς τὴν τῶν ὄντων αἰτίαν ἀναμέσως αὐτοὺς ἀνάγων κατὰ πάντα τρόπον, ὡς ἔστιν ἀνθρώπῳ δυνατόν, ἐκ μόνων τῶν θείων τῆς ἀγαθότητος ἰδιωμάτων γνωριζομένους, καθ' ἣν ἐκ Θεοῦ μὲν ἑαυτούς, ἐξ ἑαυτῶν δὲ γινώσκοντες τὸν Θεόν, οὐκ ὄντος τινὸς μέσου τοῦ διατειχίζοντος (σοφίας γὰρ πρὸς Θεὸν μέσον οὐδέν), τὴν ἀναλλοίωτον ἕξουσιν ἀτρεψίαν, τῶν μέσων αὐτοῖς πάντων ὁλικῶς διαβαθέντων[18]*, ἐν οἷς ὑπῆρχεν ὁ περὶ τὴν γνῶσίν ποτε τοῦ σφάλλεσθαι κίνδυνος, καὶ πρὸς αὐτὴν τὴν ἄπειρον καὶ ἐπάπειρον καὶ ἀπειράκις ἀπείρως κατὰ φύσιν ἐπέκεινα πάντων ἀκρότητα δι' ἀφασίας, ἀρρήτου τε σιγῆς καὶ ἀγνωσίας, ἀφθέγκτως τε καὶ ἀπερινοήτως ἀναχθεῖσι κατὰ τὴν χάριν.*

«Καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς ἑπτὰ λύχνοις τοῖς ἐπάνω αὐτῆς». Ὁ μὲν δὴ περὶ τῶν λύχνων, ὡς κατ' ἐμὲ φάναι, κατὰ δύο ἐπιβολὰς ἀποδέδοται τῆς θεωρίας ὁ λόγος, ὁ δὲ τῶν ἐπαρυστρίδων ἐντεῦθεν ἀρχθήσεται. Φασὶν οὖν εἶναι τὴν ἐπαρυστρίδα[19] *σκεῦός τι σκυφοειδές, ἐν ᾧ τὸ τοῖς λύχνοις ἐπιχεόμενον οἱ ἄνθρωποι βάλλειν εἰώθασιν ἔλαιον πρὸς ἀποτροφὴν τοῦ φωτὸς καὶ συντήρησιν. Οὐκοῦν κατὰ τὸν τῆς ἀναγωγῆς λόγον, ἐπαρυστρίδες εἰσὶ τῶν ἑπτὰ λύχνων τῆς ὁραθείσης λυχνίας αἱ δεκτικαὶ τῶν διατρεφόντων τε καὶ συντηρούντων τοὺς ἑπτὰ λύχνους, ἤγουν τὰς ἐνεργείας τοῦ Πνεύματος, διαφόρων λόγων τε καὶ τρόπων καὶ ἠθῶν ὑπάρχουσιν ἕξεις τε καὶ διαθέσεις, τῶν εἰληφότων ἐν τῇ Ἐκκλησίᾳ τὴν τῶν χαρισμάτων διαίρεσιν. Ὡς γὰρ ἐλαίου χωρὶς ἄσβεστον διατηρηθῆναι λύχνον ἀμήχανον, οὐ-*

ἄξιους τοῦ φωτὸς μὲ δύναμη καὶ βουλὴ καὶ σύνεση· τὴν τελειότητα τὴ χαρίζει στοὺς ἄξιους γιὰ θέωση μὲ τὴν ὁλόφωτη καὶ ἁπλὴ καὶ ὁλοσχερὴ σοφία ἀνεβάζοντάς τους μὲ κάθε τρόπο κατ' εὐθείαν πρὸς τὴν αἰτία τῶν ὄντων, ὅσο εἶναι δυνατὸ στὸν ἄνθρωπο, ἀναγνωριζόμενους μόνο ἀπὸ τὰ θεῖα ἰδιώματα τῆς ἀγαθότητας, κατὰ τὴν ὁποία, γνωρίζοντας ἀπὸ τὸ Θεὸ τὸν ἑαυτό τους κι ἀπὸ τὸν ἑαυτό τους τὸ Θεό, χωρὶς νὰ ὑπάρχει τίποτα ἐνδιάμεσο ποὺ νὰ τοὺς χωρίζει (γιατὶ δὲν ὑπάρχει κανένα ἐνδιάμεσο τῆς σοφίας πρὸς τὸ Θεό), θ' ἀποχτήσουν τὴν ἀναλλοίωτη ἀτρεψία, ἀφοῦ θὰ ἔχουν διαβεῖ ὅλα τὰ ἐνδιάμεσα στὸ σύνολό τους, στὰ ὁποῖα ἐμφώλευε ὁ κίνδυνος νὰ κάνει λάθος κάποτε σχετικὰ μὲ τὴ γνώση, καὶ ἀφοῦ κατὰ χάρη θὰ ἔχουν ἀναχθεῖ πρὸς αὐτὴν τὴν ἴδια ἀκρότητα τὴν ἄπειρη καὶ ἐπάπειρον καὶ ἄπειρες φορὲς ἀπείρως κατὰ τὴ φύση τους ἐπέκεινα ὅλων μὲ ἀφασία καὶ ἄρρητη σιγὴ καὶ ἀγνωσία, καὶ κατὰ τρόπο ἄφθεγκτο καὶ ἀκατανόητο.

«Καὶ ἑφτὰ ἐλαιοδοχεῖα γιὰ τὰ ἑφτὰ λυχνάρια ποὺ εἶναι ἐπάνω σ' αὐτήν». Ἡ θεωρητικὴ βέβαια ἐξήγηση σχετικὰ μὲ τοὺς λύχνους ἔγινε, νομίζω, μὲ δύο τρόπους, ἐνῶ ὁ λόγος γιὰ τὰ ἐλαιοδοχεῖα θὰ ἀρχίσει ἀπὸ ἐδῶ. Λένε λοιπὸν ὅτι τὸ ἐλαιοδοχεῖο (ἐπαρυστρίδα) εἶναι ἕνα δοχεῖο σὰν σκύφος[13], ὅπου οἱ ἄνθρωποι βάζουν συνήθως τὸ λάδι ποὺ χύνουν στὸ λυχνάρι γιὰ νὰ δυναμώσουν καὶ νὰ διατηρήσουν τὸ φῶς. Μὲ τὸ μεταφορικὸ λοιπὸν τρόπο ἐλαιοδοχεῖα (ἐπαρυστρίδες) εἶναι γιὰ τοὺς ἑφτὰ λύχνους τῆς λυχνίας τοῦ ὁράματος οἱ ἱκανότητες, οἱ ἕξεις καὶ οἱ διαθέσεις ποὺ δέχονται τοὺς διάφορους λόγους καὶ τρόπους καὶ ἤθη ποὺ διατρέφουν καὶ συντηροῦν τὰ ἑφτὰ λυχνάρια, δηλαδὴ τὶς ἐνέργειες τοῦ Πνεύματος, τὶς ἕξεις καὶ διαθέσεις ἐκείνων ποὺ ἔχουν λάβει μέσα στὴν Ἐκκλησία τὴ διανομὴ τῶν χαρισμάτων. Ὅπως λοιπὸν χωρὶς λάδι εἶναι ἀδύνατο νὰ διατηρηθεῖ ἀναμμένο τὸ λυχνάρι, ἔτσι καὶ χωρὶς ἕξη καὶ ἱκανότητα ποὺ μὲ

13. Ὁ σκύφος εἶναι εἶδος ποτηριοῦ μὲ δύο λαβές.

τως ἕξεως χωρίς, προσφόροις καὶ λόγοις καὶ τρόποις καὶ ἤθεσι, νοήμασί τε αὖ καὶ λογισμοῖς καθήκουσι τὰ καλὰ διατρεφούσης, ἄσβεστον διαφυλαχθῆναι τὸ φῶς τῶν χαρισμάτων ἀμήχανον. Πᾶν γὰρ χάρισμα πνευματικὸν προσφυοῦς χρήζει τῆς ἕξεως, ἀπαύστως ἐπιχεούσης αὐτῷ, καθάπερ ἔλαιον, τὴν ὕλην τὴν νοεράν, ἵνα διαμείνῃ κατὰ τὴν ἕξιν τοῦ δεξαμένου κρατούμενον.

Ἐπαρυστρίδες οὖν τῶν ἑπτὰ λύχνων τῆς λυχνίας αἱ πρόσφοροι τῶν θείων χαρισμάτων τῆς ἁγίας Ἐκκλησίας ὑπάρχουσιν ἕξεις, ἀφ' ὧν, ὡς ἔκ τινων ἀγγείων, κατὰ τὰς ἐν τῷ Εὐαγγελίῳ φρονίμους παρθένους, ταῖς λαμπάσι τῶν χαρισμάτων ἐπιχέουσι τὸ τῆς ἀγαλλιάσεως ἔλαιον οἱ σοφοὶ τῶν δεδομένων καλῶν καὶ ἄγρυπνοι φύλακες.

«Καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς· μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καὶ μία ἐξ εὐωνύμων». Καλῶς καὶ πάνυ γε προσφυῶς ὅλην πρὸς ἑαυτὸν νεύουσαν ὁμαλῶς τὴν ὅρασιν διεσκεύασεν ὁ λόγος. Εἰπὼν γὰρ λυχνίαν καὶ λαμπάδιον καὶ λύχνους καὶ ἐπαρυστρίδας, ἐπήγαγε καὶ ἐλαίας δύο. Ἔδει γαρ ἀληθῶς τῷ φωτὶ συνεπινοηθῆναι φυσικῶς τὴν γεννητικὴν τῆς τὸ φῶς συντηρούσης δυνάμεως αἰτίαν, ἵνα μὴ τὸ φῶς ἀπογένηται τῆς λυχνίας, δι' ἀτροφίαν σβεννύμενον. Αἱ δύο τοιγαροῦν ἐλαῖαι[20] τῆς χρυσῆς λυχνίας, τουτέστι τῆς ἁγίας καθολικῆς Ἐκκλησίας, αἱ δύο Διαθῆκαι τυγχάνουσιν, ἀφ' ὧν, ὡς ἐξ ἐλαιῶν τινων ἐκπιεζομένη δι' εὐσεβοῦς ζητήσεως καὶ ἐρεύνης, ἐκδίδοται, καθάπερ ἔλαιον, ἡ τὸ φῶς τῶν θείων χαρισμάτων ἐκτρέφουσα δύναμις τῶν νοημάτων, ἧς κατ' ἀναλογίαν τῆς οἰκείας δυνάμεως ἡ τοῦ καθ' ἕκαστον ἕξις πληρουμένη, τὸ φῶς ἄσβεστον τῆς ἀναλογούσης αὐτῷ διαφυλάττει χάριτος, καθάπερ ἐλαίῳ τοῖς ἐκ τῶν Γραφῶν νοήμασι συντηρούμενον. Ὡς γὰρ ἐλαίας χωρὶς οὐκ ἔστιν οὐδαμῶς εὑρεῖν φύσει κατ' ἀλήθειαν γνήσιον ἔλαιον, ἄγγους δὲ δίχα κρατεῖσθαι τοῦ δεχομένου τὸ ἔλαιον οὐ δυνατόν, ἐλαίῳ δὲ μὴ τρεφόμενον σβέννυται πάντως

κατάλληλους λόγους καὶ τρόπους καὶ ἤθη καὶ νοήματα καὶ ἁρμόδιους λογισμοὺς τρέφει τὰ καλὰ εἶναι ἀδύνατο νὰ διατηρηθεῖ ἀναμμένο τὸ φῶς τῶν χαρισμάτων. Γιατὶ κάθε χάρισμα πνευματικό, χρειάζεται τὴν κατάλληλη ἱκανότητα γιὰ νὰ χύνει ἀδιάκοπα σ' αὐτό, σὰν λάδι, τὴ νοερὴ ὕλη, γιὰ νὰ παραμείνει συγκρατούμενο ἀπὸ τὴν ἱκανότητα ἐκείνου ποὺ τὸ δέχτηκε.

Ἐλαιοδοχεῖα λοιπὸν (ἐπαρυστρίδες) τῶν ἑφτὰ λύχνων τῆς λυχνίας εἶναι οἱ ἱκανότητες τῆς ἁγίας Ἐκκλησίας ποὺ προσφέρονται γιὰ τὰ θεῖα χαρίσματα, ἀπὸ τὰ ὁποῖα, σὰν ἀπὸ κάποια ἀγγεῖα, ὅμοια μὲ τὶς φρόνιμες παρθένες τοῦ Εὐαγγελίου[14], χύνουν στὶς λαμπάδες τῶν χαρισμάτων τὸ λάδι τῆς ἀγαλλίασης οἱ σοφοὶ καὶ ἄγρυπνοι φύλακες τῶν καλῶν ποὺ μᾶς ἔχουν δοθεῖ.

«Καὶ ἐπάνω σ' αὐτὴν δύο ἐλιές, μία στὰ δεξιὰ τῆς λαμπάδας καὶ μία στ' ἀριστερά». Ὡραῖα καὶ πολὺ κατάλληλα ὁ λόγος διαμόρφωσε ὅλο τὸ ὅραμα νὰ συγκλίνει ὁμαλὰ πρὸς αὐτόν. Γιατί, ἀφοῦ εἶπε λυχνία καὶ λαμπάδα καὶ λύχνοι καὶ ἐλαιοδοχεῖα, προσθέτει καὶ τὶς δύο ἐλιές. Ἔπρεπε δηλαδὴ μαζὶ μὲ τὸ φῶς νὰ συνεπινοηθεῖ κατὰ τρόπο φυσικὸ ἡ αἰτία τῆς δύναμης ποὺ συντηρεῖ τὸ φῶς, γιὰ νὰ μὴ λείψει τὸ φῶς ἀπὸ τὴ λυχνία σβήνοντας ἀπὸ ἔλλειψη τροφοδότησης. Οἱ δύο λοιπὸν ἐλιὲς τῆς χρυσῆς λυχνίας, δηλαδὴ τῆς ἁγίας καθολικῆς Ἐκκλησίας, εἶναι οἱ δύο Διαθῆκες, ἀπὸ τὶς ὁποῖες σὰν ἀπὸ ἐλιὲς βγαίνει μὲ ἐκπίεση κι εὐσεβὴ ἀναζήτηση καὶ ἔρευνα, σὰν λάδι, ἡ δύναμη τῶν νοημάτων ποὺ ἐκτρέφει τὸ φῶς τῶν θείων χαρισμάτων. Ἀπὸ αὐτὴ τὴ δύναμη κατ' ἀναλογίαν μὲ τὴ δική της γεμίζοντας ἡ ἱκανότητα τοῦ καθενός, φυλάγει ἄσβηστο τὸ φῶς τῆς χάριτος ποὺ τοῦ ἀναλογεῖ, συντηρούμενο, σὰν μὲ λάδι, μὲ τὰ νοήματα τῶν Γραφῶν. Ὅπως δηλαδὴ χωρὶς τὴν ἐλιὰ δὲν εἶναι καθόλου δυνατὸ νὰ βρεθεῖ στ' ἀλήθεια γνήσιο λάδι καὶ δίχως κάποιο ἀγγεῖο δὲν εἶναι δυνατὸ νὰ κρατηθεῖ τὸ λάδι ἀπὸ αὐτὸν ποὺ τὸ δέχεται, κι ἂν δὲν τρέφεται μὲ λάδι, σβήνει ὁπωσδήποτε τὸ φῶς

14. Ματθ. 25,4.

τὸ λυχναῖον φῶς, οὕτω τῶν ἁγίων Γραφῶν χωρὶς οὐκ ἔστιν κατ' ἀλήθειαν δύναμις νοημάτων θεοπρεπής, ἕξεως δὲ δίχα καθάπερ ἄγγους νοημάτων δεκτικῆς οὐδαμῶς ἂν συσταίη νόημα θεῖον, θείοις δὲ νοήμασι μὴ τρεφόμενον τὸ φῶς τῆς ἐν τοῖς χαρίσμασι γνώσεως ἄσβεστον οὐ συντηρεῖται τοῖς ἔχουσιν.

Οὐκοῦν καλῶς τὴν ὅρασιν ἀνάγων πρὸς θεωρίαν πνευματικὴν[21] *ὁ λόγος παρείκασε, τὴν μὲν λυχνίαν τῇ Ἐκκλησίᾳ, τὸ δὲ λαμπάδιον τῷ σαρκωθέντι Θεῷ καὶ τὴν ἡμετέραν φύσιν ἀτρέπτως ἑαυτῷ καθ' ὑπόστασιν περιθεμένῳ, τοὺς δὲ λύχνους τοὺς ἑπτὰ τοῖς τοῦ Πνεύματος χαρίσμασιν, ἤγουν ἐνεργείαις, ὡς ὁ μέγας ἀπέδειξε σαφῶς Ἠσαΐας· τὰς δὲ τῶν λύχνων ἐπαρυστρίδας ταῖς δεκτικαῖς τῶν θείων τῆς Γραφῆς νοημάτων ἕξεσι τῶν δεξαμένων τὰ θεῖα χαρίσματα, τὰς δὲ δύο ἐλαίας ταῖς δυσὶ Διαθήκαις, ἐξ ὧν ἡ τῶν θείων νοημάτων ἐνεργουμένη σοφῶς ἐκδίδοσθαι πέφυκε δύναμις, δι' ἧς τὸ φῶς τῶν θείων μυστηρίων ἄσβεστον συντηρεῖται τρεφόμενον.*

«Καὶ μία», φησίν, «ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καὶ μία ἐξ εὐωνύμων»[22]*. Δεξιάν, οἶμαι, λέγειν τὸν προφήτην τὸ πνευματικώτερον τοῦ λόγου μέρος, εὐώνυμον δὲ τὸ σωματικώτερον. Εἰ δὲ τὸ σωματικώτερον τοῦ λόγου μέρος δηλοῖ τὸ ἀριστερόν, τὸ δὲ πνευματικώτερον μέρος σημαίνει τὸ δεξιόν, τὴν Παλαιὰν Διαθήκην τὴν ἐξ εὐωνύμων ἐλαίαν ὑπολαμβάνω σημαίνειν, ὡς τῆς πρακτικῆς μᾶλλον προνοουμένην φιλοσοφίας, τὴν ἐκ δεξιῶν δέ, τὴν Νέαν Διαθήκην, ὡς καινοῦ μυστηρίου διδάσκαλον καὶ τῆς ἐν ἑκάστῳ τῶν πιστῶν θεωρητικῆς ἕξεως ποιητικήν. Ἡ μὲν γὰρ ἀρετῆς τρόπους, ἡ δὲ γνώσεως λόγους παρέχεται τοῖς τὰ θεῖα φιλοσοφοῦσι. Καὶ ἡ μὲν τῆς τῶν ὁρωμένων ὁμίχλης ὑφαρπάζουσα πρὸς τὸ συγγενὲς ἀνάγει τὸν νοῦν, πάσης καθαρὸν ὑλικῆς φαντασίας γεγενημένον, ἡ δὲ τῆς ὑλικῆς προσπαθείας αὐτὸν ἀποκαθαίρει τῷ τῆς ἀνδρείας τόνῳ, καθάπερ σφύρᾳ τινί, τοὺς πρὸς τὸ σῶμα τῆς γνώμης κατὰ τὴν σχέσιν ἐκκρουόμενον ἥλους. Καὶ ἡ μὲν Παλαιὰ σῶμα πρὸς ψυ-*

τοῦ λύχνου, ἔτσι καὶ δίχως τὶς ἅγιες Γραφὲς δὲν ὑπάρχει στ' ἀλήθεια δύναμη νοημάτων θεία· καὶ δίχως ἱκανότητα ποὺ δέχεται, σὰν ἀγγεῖο, τὰ νοήματα, δὲν μπορεῖ καθόλου νὰ σταθεῖ ἕνα θεῖο νόημα. Κι ἂν δὲν τρέφεται τὸ φῶς τῶν χαρισμάτων μὲ θεῖα νοήματα, δὲν διατηρεῖται ἀναμμένο σ' ὅσους τὸ ἔχουν.

Καλῶς λοιπὸν μεταφέροντας τὸ ὅραμα σὰν πνευματικὴ θεωρία ὁ λόγος παρομοίασε τὴ λυχνία μὲ τὴν Ἐκκλησία, τὴ λαμπάδα μὲ τὸ Θεὸ ποὺ σαρκώθηκε καὶ ντύθηκε γιὰ τὴν ὑπόστασή του τὴ δική μας φύση χωρὶς δική του μεταβολή, τοὺς ἑφτὰ λύχνους μὲ τὰ χαρίσματα τοῦ Πνεύματος, δηλαδὴ τὶς ἐνέργειές του, ὅπως φανέρωσε μὲ σαφήνεια ὁ μέγας Ἡσαΐας· τὰ ἐλαιοδοχεῖα τῶν λύχνων τὰ παρομοίασε μὲ τὶς ἕξεις ποὺ δέχονταν τὰ θεῖα νοήματα τῆς Γραφῆς ἐκείνων ποὺ δέχτηκαν τὰ θεῖα χαρίσματα. Τὶς δύο πάλι ἐλιές, μὲ τὶς δύο Διαθῆκες, ἀπὸ τὶς ὁποῖες προέρχεται ἡ δύναμη ποὺ ἐνεργοῦν μὲ σοφία τὰ θεῖα νοήματα, ἀπὸ τὴν ὁποία τρέφεται καὶ συντηρεῖται ἄσβηστο τὸ φῶς τῶν θείων μυστηρίων.

«Καὶ μία», λέει, «ἀπὸ τὰ δεξιὰ τῆς λαμπάδας καὶ μία ἀπὸ τ' ἀριστερά». Δεξιὰ ἐλιὰ νομίζω λέει ὁ προφήτης τὸ πνευματικὸ μέρος τοῦ λόγου, καὶ ἀριστερὴ τὸ σωματικότερο. Κι ἂν τὸ σωματικότερο μέρος τοῦ λόγου δηλώνει τὸ ἀριστερό, καὶ τὸ πνευματικότερο μέρος σημαίνει τὸ δεξιό, ὑποθέτω ὅτι ἡ ἐλιὰ στ' ἀριστερὰ σημαίνει τὴν Παλαιὰ Διαθήκη, ποὺ προνοεῖ γιὰ τὴν πρακτικὴ μᾶλλον τάση, ἐνῶ ἡ ἐλιὰ ἀπὸ τὰ δεξία σημαίνει τὴ Νέα Διαθήκη, ἐπειδὴ διδάσκει τὸ νέο μυστήριο καὶ δημιουργεῖ στὸν καθένα πιστὸ τὴ θεωρητικὴ ἕξη. Γιατὶ ἡ πρώτη παρέχει τρόπους ἀρετῆς καὶ ἡ δεύτερη λόγους γνώσης γιὰ ὅσους φιλοσοφοῦν τὰ θεῖα. Ἡ μία ἁρπάζοντάς μας ἀπὸ τὴν ὁμίχλη τῶν ὁρατῶν ἀνεβάζει τὸ νοῦ πρὸς τὸ συγγενικό του, καθαίροντάς τον ἀπὸ κάθε ὑλικὴ φαντασία. Ἡ ἄλλη τὸν ἐλευθερώνει ἀπὸ κάθε προσκόλλησή του στὰ ὑλικά, μὲ τὴ δύναμη τῆς ἀνδρείας, σὰν μὲ σφύρα, ἀφαιρώντας τὰ καρφιὰ ποὺ κρατοῦν τὴ γνώμη δεμένη στὸ σῶμα. Καὶ ἡ Παλαιὰ Διαθήκη, ποὺ θεωρήθηκε σῶμα,

χὴν λογισθὲν διὰ μέσων διαβιβάζει τῶν ἀρετῶν, κωλύουσα τοῦ πρὸς σῶμα τὸν νοῦν καταβιβάζεσθαι, ἡ δὲ Νέα πρὸς τὸν Θεὸν ἀναβιβάζει, τῷ πυρὶ τῆς ἀγάπης πυρούμενον. Καὶ ἡ μὲν ταυτὸν ἐργάζεται τῷ νοΐ τὸ σῶμα κατὰ τὴν θέσει κίνησιν[23], ἡ δὲ ταυτὸν τῷ Θεῷ τὸν νοῦν ἀποτελεῖ κατὰ τὴν ἕξιν τῆς χάριτος, τοσαύτην ἔχοντα πρὸς τὸν Θεὸν τὴν ἐμφέρειαν, ὥστε δι' αὐτοῦ τὸν Θεὸν γνωρίζεσθαι, τὸν ἐξ ἑαυτοῦ κατὰ φύσιν οὐδαμῶς τὸ παράπαν οὐδενὶ γινωσκόμενον, ὡς ἔκ τινος εἰκόνος ἀρχέτυπον.

Ταῦτα μὲν ὧδε κατὰ τοῦτον ἐχέτω τὸν τρόπον. Εἰ δὲ βούλεταί τις καὶ εἰς τὸν καθ' ἕκαστον ἄνθρωπον λαμβάνειν τῶν εἰρημένων δύναμιν, οὐκ ἀπορήσει πάντως καλῶν καὶ εὐσεβῶν θεωρημάτων. Λυχνίαν γὰρ δυνήσεται νοεῖν τὴν ἑκάστου ψυχήν[24], χρυσῆν ὅλην, ὡς κατὰ φύσιν νοεράν τε καὶ λογικήν, ἄφθαρτόν τε καὶ ἀθάνατον καὶ τῷ βασιλικωτάτῳ κράτει τῆς αὐτεξουσιότητος τετιμημένην, ἔχουσαν ἐφ' ἑαυτῆς τὸ λαμπάδιον τῆς πίστεως, ἤγουν τὸν σάρκα γενόμενον Λόγον πιστευόμενον αὐτῇ βεβαίως καὶ ἀληθῶς ὑπ' αὐτῆς λατρευόμενον, ἐφ' ἣν ὁ λύχνος τοῦ λόγου τῆς γνώσεως ἀναπτόμενος τίθεται, κατὰ τὴν αὐτοῦ τοῦ Θεοῦ καὶ Λόγου διδαχὴν καὶ παραίνεσιν. Φησὶ γάρ· «οὐδεὶς ἅπτει λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῷ οἴκῳ», λύχνον λέγων τυχὸν[25] τὸν κατὰ πρᾶξιν ἐν πνεύματι τῆς γνώσεως λόγον, ἤγουν τὸν νόμον τοῦ πνεύματος, μόδιον δὲ τὸ χοϊκὸν φρόνημα τῆς σαρκός, ἤγουν τὸν ἐμπαθῆ νόμον τοῦ σώματος, ὑφ' ὃν οὐ δεῖ ποιεῖσθαι τὸν νόμον τῆς χάριτος, ἀλλ' ἐπὶ τὴν ψυχήν, τὴν ὄντως χρυσῆν λυχνίαν, ἵνα λάμπων ταῖς ἀστραπαῖς τῶν ἔργων τῆς δικαιοσύνης καὶ τῶν σοφῶν νοημάτων, πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, τουτέστιν Ἐκκλησίᾳ, ἢ τῷδε τῷ κόσμῳ, μιμητὰς τοῦ καλοῦ τοὺς θεωμένους καθίστησι, δοξάζοντας καὶ αὐτοὺς διὰ

διαβιβάζει πρὸς τὴν ψυχή, διαμέσου τῶν ἀρετῶν, ἐμποδίζοντας τὸ νοῦ νὰ κατεβεῖ πρὸς τὸ σῶμα, ἐνῶ ἡ ἀρετὴ ἀνεβάζει πρὸς τὸ Θεό, φλογίζοντας τὸν ἄνθρωπο μὲ τὸ πῦρ τῆς ἀγάπης. Καὶ ἡ μία κάνει τὸ σῶμα ἴδιο μὲ τὸ νοῦ κατὰ τὴ θετικὴ κίνηση, ἐνῶ ἡ ἄλλη ταυτίζει τὸ νοῦ μὲ τὸ Θεὸ μὲ τὴν ἀπόκτηση τῆς χάριτος, καθιστώντας τον τόσο πολὺ ὅμοιο μὲ τὸ Θεό, ὥστε μέσω αὐτοῦ, ὅπως τὸ πρωτότυπο μὲ μιὰ εἰκόνα, γίνεται γνωστὸς ὁ Θεός, ποὺ σύμφωνα μὲ τὴ φύση του σὲ κανένα μὲ κανένα τρόπο δὲ γίνεται γνωστὸς ἀπὸ τὸν ἑαυτό του.

Ἔτσι λοιπὸν ἂς εἶναι αὐτὰ μ' αὐτὸν τὸν τρόπο. Ἂν ὅμως θέλει κανένας νὰ δεῖ τὸ νόημα ὅσων εἴπαμε καὶ στὸν καθένα ἄνθρωπο, δὲ θὰ τοῦ λείψουν ὁπωσδήποτε οἱ ὀρθὲς καὶ εὐσεβεῖς ἐξηγήσεις. Ὡς λυχνία λοιπὸν μπορεῖ νὰ νοήσει τὴν ψυχὴ τοῦ καθενός· ὁλόχρυση ἀφοῦ ὡς πρὸς τὴ φύση της εἶναι νοερὴ καὶ λογική, ἄφθαρτη κι ἀθάνατη καὶ τιμημένη μὲ τὴ βασιλικότατη δύναμη τοῦ αὐτεξούσιου κι ἔχοντας ἐπάνω της τὴ λαμπάδα τῆς πίστης, δηλαδὴ τὸ Λόγο ποὺ αὐτὴ πιστεύει σταθερὰ πὼς ἔγινε σάρκα γιὰ χάρη της καὶ ποὺ τὸν λατρεύει ἀληθινά. Σ' αὐτὴν ἐπάνω ἀνάβει καὶ μπαίνει ὁ λύχνος τοῦ λόγου τῆς γνώσης σύμφωνα μὲ τοῦ ἴδιου τοῦ Θεοῦ καὶ Λόγου τὴ διδαχὴ καὶ τὴν παραίνεση. Γιατὶ λέει· «κανένας ἀνάβοντας τὸ λύχνο δὲν τὸν τοποθετεῖ κάτω τὸν μόδιο, ἀλλὰ ἐπάνω στὸ λυχνοστάτη καὶ φέγγει γιὰ ὅλους μέσα στὸ σπίτι»[15]. Λύχνο ἴσως ὀνομάζει τὸν πνευματικὸ λόγο τῆς γνώσης ποὺ διέπει τὴν πράξη, δηλαδὴ τὸ νόμο τοῦ πνεύματος· μόδιο ὀνομάζει τὸ χοϊκὸ φρόνημα τῆς σάρκας, δηλαδὴ τὸν ἐμπαθὴ νόμο τοῦ σώματος, ποὺ κάτω ἀπὸ αὐτὸν δὲν πρέπει νὰ βάζομε τὸ νόμο τῆς χάριτος ἀλλὰ ἐπάνω στὴν ψυχή, τὴν ἀληθινὴ χρυσὴ λυχνία, γιὰ νὰ λάμπει μὲ τὶς ἀστραπὲς τῶν ἔργων τῆς δικαιοσύνης καὶ τὰ σοφὰ νοήματα γιὰ ὅλους μέσα στὸ σπίτι, δηλαδὴ τὴν Ἐκκλησία, ἡ ὁποία μέσα σ' αὐτὸν τὸν κόσμο κάνει ὅσους βλέπουν μιμητὲς τοῦ καλοῦ, δοξάζοντας κι

15. Ματθ. 5,15.

τῶν ἔργων τῆς ἀρετῆς[26], ἀλλ' οὐ ψιλῇ προφορᾷ λόγων, τὸν ἐν οὐρανοῖς Πατέρα, τουτέστι τὸν Θεόν, τὸν ἐν τοῖς ὑψώμασι τῶν μυστικῶν θεωρημάτων τῆς γνώσεως τὴν τῶν κατὰ τὴν ἀρετὴν φαινομένων ἔργων τῆς δικαιοσύνης ἐν τοῖς ἁγίοις γεννῶντα μεγαλοπρέπειαν. «Ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα», φησί, «καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν οὐρανοῖς».

Οὕτω μὲν οὖν νοήσει κατὰ τὸν ἀποδοθέντα τρόπον τὴν ὁραθεῖσαν λυχνίαν καὶ τὸ λαμπάδιον· τοὺς ἑπτὰ δὲ λύχνους ἐκδέξεται[27] τὴν τῶν διαφόρων χαρισμάτων τοῦ Πνεύματος εἶναι διαίρεσιν, κατὰ τὴν προαποδοθεῖσαν ἐξήγησιν, ἣν μυστικῶς ἐπιλάμπειν καὶ ἐπαναπαύεσθαι τῷ κατὰ Χριστὸν δι' ἀρετῆς τελειουμένῳ καὶ γνώσεως, ἐπειδὴ Χριστὸν οἶδεν ὁ λόγος τὸν ζῶντα κατὰ Χριστὸν καὶ τοῖς αὐτοῖς τρόποις καὶ λόγοις, καθώς ἐστιν ἀνθρώπῳ θεμιτόν, διαφαινόμενον· οἷα δὴ καὶ αὐτὸν ἔχοντα σοφίαν τε σύνεσιν, βουλήν τε καὶ ἰσχὺν καὶ γνῶσιν καὶ εὐσέβειαν καὶ φόβον, δι' ὧν ὡς δι' ὀφθαλμῶν νοητῶν ἐπιβλέπειν λέγεται πᾶσαν τῆς ἑκάστου καρδίας τὴν γῆν ὁ Θεός. «Ἑπτὰ γάρ εἰσιν οὗτοι ὀφθαλμοὶ Κυρίου», φησίν, «οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν».

«Καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς». Ἐπαρυστρίδες εἰσὶν[28] αἱ κατὰ πρᾶξιν καὶ θεωρίαν ἕξεις τῶν ἀξίων τῆς ἐν τοῖς θείοις χαρίσμασι διαιρέσεως, ἀφ' ὧν, ὡς ἐξ ἀγγείων τινῶν, ἐπιχέοντες καθάπερ ἔλαιον τῶν μυστικῶν νοημάτων τὴν δύναμιν, τὸ φῶς χαρισμάτων τοῦ Πνεύματος φυλάττουσιν ἄσβεστον.

Τὰς δὲ δύο ἐλαίας νοήσει[29], καθὼς προέφην, τὰς δύο Διαθήκας· τὴν μὲν Παλαιὰν[30] ἐξ εὐωνύμων τοῦ λαμπαδίου, τὴν τῷ γνωστικῷ τῆς ψυχῆς[31], ἤγουν θεωρητικῷ, καθάπερ ἔλαιον γεννῶσαν τοὺς κατὰ τὴν πρᾶξιν τρόπους τῶν ἀρετῶν, τὴν δὲ νέαν ἐκ δεξιῶν, τὴν τῷ παθητικῷ τῆς ψυχῆς, ἤγουν πρακτικῷ, καθάπερ ἔλαιον ἀενάως γεννῶσαν τοὺς κατὰ τὴν

αὐτοὶ μὲ τὰ ἔργα τῆς ἀρετῆς κι ὄχι μὲ τὴν προφορὰ ἁπλῶν λόγων τὸν Πατέρα στὸν οὐρανό, δηλαδὴ τὸ Θεό, ποὺ στὸ ὕψος τῶν μυστικῶν συλλήψεων τῆς γνώσης γεννᾶ στοὺς ἁγίους τὴ μεγαλοπρέπεια τῶν ἔργων τῆς δικαιοσύνης ποὺ προβάλλουν μὲ τὴν ἀρετή. «Γιὰ νὰ δοῦν», λέει, «τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ εἶναι στοὺς οὐρανούς»[16].

Ἔτσι θὰ ἐννοήσει λοιπόν, μὲ τὸν τρόπο ποὺ ἀναφέρθηκε, τὴ λυχνία καὶ τὴ λαμπάδα τοῦ ὁράματος. Ὅσο γιὰ τοὺς ἑφτὰ λύχνους θὰ θεωρήσει πὼς εἶναι ἡ διαίρεση τῶν διάφορων χαρισμάτων τοῦ Πνεύματος, σύμφωνα μὲ τὴν προηγούμενη ἐξήγηση, ποὺ φωτίζει μυστικὰ κι ἐπαναπαύεται σ' ὅποιον γίνεται τέλειος μὲ τὴν ἀρετὴ καὶ τὴ γνώση ὅπως ὁρίζει ὁ Χριστός. Ἐπειδὴ ἡ Γραφὴ θεωρεῖ Χριστὸν ὅποιον ζεῖ σύμφωνα μὲ τὸ Χριστὸ καὶ διακρίνεται ἀπὸ τοὺς ἴδιους τρόπους καὶ λόγους, ὅσο εἶναι δυνατὸ στὸν ἄνθρωπο, ἀφοῦ βέβαια κι αὐτὸς ἔχει σοφία καὶ σύνεση, βουλὴ καὶ ἰσχύ, γνώση κι εὐσέβεια καὶ φόβο, μὲ τὰ ὁποῖα λέγεται ὅτι ὁ Θεός, σὰν μὲ νοητὰ μάτια, ἐπιβλέπει ὅλη τὴ γῆ τῆς καρδιᾶς τοῦ καθενός μας. Γιατὶ λέει, «ἑφτὰ ὀφθαλμοὶ εἶναι αὐτοὶ τοῦ Κυρίου ποὺ βλέπουν ἀπὸ ψηλὰ σ' ὅλη τὴ γῆ»[17].

«Καὶ ἑφτὰ ἐλαιοδοχεῖα γιὰ τοὺς λύχνους ποὺ ἦταν ἐπάνω της». Ἐλαιοδοχεῖα εἶναι οἱ ἱκανότητες στὴν πράξη καὶ τὴ θεωρία τῶν ἄξιων γιὰ τὴ διαίρεση τῶν θείων χαρισμάτων, ἀπὸ τὰ ὁποῖα χύνοντας, σὰν ἀπὸ κάποια ἀγγεῖα, λάδι, τὴ δύναμη τῶν μυστικῶν νοημάτων, φυλάγουν ἄσβηστο τὸ φῶς τῶν χαρισμάτων τοῦ Πνεύματος.

Ὡς δύο ἐλιὲς θὰ ἐννοήσεις, ὅπως προεῖπα, τὶς δύο Διαθῆκες· τὴν Παλαιὰ στ' ἀριστερὰ τῆς λαμπάδας, ἡ ὁποία στὸ γνωστικὸ τῆς ψυχῆς, δηλαδὴ τὸ θεωρητικό, γεννᾶ, σὰν λάδι, τοὺς τρόπους τῶν ἀρετῶν στὴν πράξη· τὴ Νέα πάλι στὰ δεξιά, ποὺ γεννᾶ ἀδιάκοπα στὸ πρακτικὸ μέρος, σὰν λάδι, τοὺς θεωρητικοὺς πνευματικοὺς λόγους τῶν γνώσεων, ὥστε καὶ μὲ τὶς

16. Ματθ. 5,16. 17. Ζαχ. 4,10.

θεωρίαν πνευματικοὺς λόγους τῶν γνώσεων, ἵνα δι᾽ ἀμφοῖν καλῶς κατακριβωθῇ τὸ τῆς σωτηρίας ἡμῶν μυστήριον, ἐπίδειξιν μὲν λόγου[32] *τὸν βίον, δόξαν δὲ βίου τὸν λόγον ποιούμενον· καὶ τὴν μὲν πρᾶξιν θεωρίαν ἐνεργουμένην, τὴν δὲ θεωρίαν πρᾶξιν μυσταγωγουμένην· καὶ συντόμως εἰπεῖν, τὴν μὲν ἀρετὴν φανέρωσιν γνώσεως, τὴν δὲ γνῶσιν ἀρετῆς συντηρητικὴν ἐργαζόμενον δύναμιν, καὶ δι᾽ ἀμφοῖν, ἀρετῆς λέγω καὶ γνώσεως, μίαν σοφίαν συνισταμένην ἐπιδεικνύμενον, ἵνα γνῶμεν*[33]*, ὅτι συμφωνοῦσιν ἀλλήλαις διὰ πάντων αἱ δύο Διαθῆκαι κατὰ τὴν χάριν πλέον εἰς ἑνὸς μυστηρίου συμπλήρωσιν, ἢ ὅσον ψυχὴ καὶ σῶμα εἰς ἑνὸς ἀνθρώπου γένεσιν κατὰ τὴν σύνθεσιν ἀλλήλοις συμβαίνουσιν.*

Εἰ δέ τις, ταῖς κατὰ νοῦν θεωρίαις φιλοτιμούμενος, ἐκλαβὼν εἴποι τὰς δύο ἐλαίας εἶναι τοὺς δύο νόμους, τόν τε φυσικὸν λέγω καὶ τὸν πνευματικόν, οὐκ ἔξω βέβηκε τῆς ἀληθείας. Ὁ μὲν γὰρ φυσικὸς νόμος[34]*, ὡς ἐξ ἀριστερῶν τοῦ λαμπαδίου, τουτέστι τοῦ σαρκωθέντος Θεοῦ Λόγου, διὰ τῆς συγγενοῦς αἰσθήσεως τοὺς ἐν τοῖς αἰσθητοῖς πρὸς ἀρετὴν τρόπους νοηθήσεται τῷ λόγῳ προσάγων, ὁ δὲ νοερός, ἤγουν πνευματικός, ἐκ δεξιῶν, διὰ τῆς συγγενοῦς νοήσεως τοὺς ἐν τοῖς οὖσι πρὸς γνῶσιν πνευματικὴν λόγους ἀναλεγόμενος, δι᾽ ὧν τὰς διαφόρους ἕξεις τῶν πνευματικῶν χαρισμάτων καθάπερ λύχνων ἐπαρυστρίδας, πρακτικῶν καὶ γνωστικῶν θεωρημάτων πληρώσαντες, ἄσβεστον τὸ φῶς τῆς ἀληθείας φυλάττομεν.*

Γνωστικώτερον δὲ τυχὸν ὁ τόπος οὗτος τῆς Γραφῆς κατανοούμενος, διὰ τῶν δύο ἐλαιῶν τῶν ἐκ δεξιῶν τοῦ λαμπαδίου καὶ ἐξ εὐωνύμων τὴν πρόνοιαν δηλοῖ καὶ τὴν κρίσιν, ὧν ἕστηκε μέσος ὡς ἐπὶ λυχνίας χρυσῆς, τῆς ἁγίας Καθολικῆς Ἐκκλησίας, ἤτοι τοῦ καθ᾽ ἕκαστον ἁγίου ψυχῆς, πᾶσιν πυρσεύων τῆς ἀληθείας τὸ φῶς, ὁ τὸ πᾶν ὡς Θεὸς περιέχων Λόγος, καὶ τοὺς κατὰ πρόνοιαν καὶ κρίσιν ἀληθινοὺς καὶ γενικωτάτους τῆς τῶν ὄντων συνοχῆς ἀποκαλύπτων λόγους, καθ᾽ οὕς, τὸ πρὸ πάντων τῶν αἰώνων προωρισμένον, ἐπ᾽ ἐσχάτων δὲ τῶν χρόνων ἐπι-

δύο νὰ διακριβωθεῖ τέλεια τὸ μυστήριο τῆς σωτηρίας μας, ποὺ ἔχει ἐπισφράγιση τοῦ λόγου τὸ βίο, καὶ δόξα τοῦ βίου τὰ λόγια, καθὼς καὶ τὴν πράξη θεωρία ποὺ πράττεται καὶ τὴ θεωρία πράξη ποὺ διδάσκει. Καὶ γιὰ νὰ τὸ ποῦμε μὲ συντομία, τὴν ἀρετὴ τὴν καθιστᾶ φανέρωση τῆς γνώσης, ἐνῶ τὴ γνώση τὴν κάνει δύναμη συντηρητικὴ τῆς ἀρετῆς, ἀποδεικνύοντας καὶ μὲ τὶς δύο, ἐννοῶ τὴν ἀρετὴ καὶ τὴ γνώση, ὅτι ὑπάρχει μία σοφία, ὥστε νὰ γνωρίσομε ὅτι οἱ δύο Διαθῆκες συμφωνοῦν μεταξύ τους σὲ ὅλα κατὰ τὴ χάρη, πρὸς συμπλήρωση ἑνὸς μυστηρίου περισσότερο ἀπὸ ὅ,τι συμφωνοῦν ἑνωνόμενα μαζὶ στὴ γένεση ἑνὸς ἀνθρώπου ἡ ψυχὴ καὶ τὸ σῶμα.

Ἂν τώρα κάποιος, δείχνοντας ζῆλο γιὰ τὶς θεωρίες τοῦ νοῦ, ἐννοήσει καὶ πεῖ ὅτι οἱ δύο ἐλιὲς εἶναι οἱ δύο νόμοι, ἐννοῶ ὁ φυσικὸς καὶ ὁ πνευματικός, δὲν βγῆκε ἔξω ἀπὸ τὴν ἀλήθεια. Ὁ φυσικὸς δηλαδὴ νόμος, ἐπειδὴ εἶναι στ' ἀριστερὰ τῆς λαμπάδας, δηλαδὴ τοῦ Θεοῦ Λόγου ποὺ σαρκώθηκε, θὰ ἐννοήσομε ὅτι μὲ τὴ συγγενή του αἴσθηση προσάγει στὸ λόγο τοὺς τρόπους τῶν αἰσθητῶν γιὰ τὴν ἀπόκτηση τῆς ἀρετῆς. Ὁ νοερός, δηλαδὴ ὁ πνευματικός, ὄντας στὰ δεξιά, μὲ τὴ συγγενή του νόηση ἀναλογίζεται τοὺς λόγους τῶν ὄντων γιὰ γνώση πνευματική. Μὲ αὐτοὺς (δηλαδὴ τοὺς δύο νόμους), ἀφοῦ γεμίσομε τὶς διάφορες ἕξεις τῶν πνευματικῶν χαρισμάτων, σὰν μὲ ἐλαιοδοχεῖα τῶν λυχναριῶν, μὲ θεωρίες πρακτικὲς καὶ γνωστικές, διατηροῦμε ἄσβηστο τὸ φῶς τῆς ἀλήθειας.

Ἂν τὸ σημεῖο αὐτὸ τῆς Γραφῆς τὸ δοῦμε προσεκτικότερα, ἴσως μὲ τὶς δύο ἐλιὲς δεξιὰ κι' ἀριστερὰ στὴ λαμπάδα, δηλώνει τὴν πρόνοια καὶ τὴν κρίση, ὅπου ἀνάμεσά τους στέκεται, στὴν ἁγία καθολικὴ Ἐκκλησία, σὰν ἐπάνω σὲ λυχνία χρυσή, δηλαδὴ στὴν ψυχὴ τοῦ καθενὸς ἁγίου, σκορπίζοντας σ' ὅλους τὸ φῶς τῆς ἀλήθειας, ὁ Θεὸς Λόγος ποὺ περιέχει τὸ πᾶν καὶ ἀποκαλύπτει τοὺς λόγους τῆς πρόνοιας καὶ τῆς κρίσης τοὺς ἀληθινοὺς καὶ γενικότατους τῆς συνοχῆς τῶν ὄντων, σύμφωνα μὲ τοὺς ὁποίους συντελέστηκε τὸ μυστήριο τῆς σωτηρίας μας ποὺ προ-

τελεσθὲν τῆς σωτηρίας ἡμῶν μυστήριον συνέστηκεν· ὧν, τὴν μὲν πρόνοιαν[35], καθάπερ ἐλαίαν ἐκ δεξιῶν τοῦ λαμπαδίου τυγχάνουσαν, ἐν τῷ ἀφράστῳ τρόπῳ τῆς τοῦ Λόγου πρὸς τὴν λογικῶς ἐψυχωμένην σάρκα καθ' ὑπόστασιν ἑνώσεως, διὰ μόνης καθορῶμεν τῆς πίστεως, τὴν δὲ κρίσιν ἐξ εὐωνύμων ὑπάρχουσαν, ἐν τῷ μυστηρίῳ τῶν ὑπὲρ ἡμῶν τοῦ σαρκωθέντος Θεοῦ ζωοποιῶν παθημάτων ἀρρήτως κατανοοῦμεν. Τὸ μὲν γὰρ ὡς ἀγαθὸς προηγουμένως κατὰ θελησιν γέγονεν[36], οἷα δὴ φύσει πάντων ὑπάρχων Σωτήρ, τὸ δὲ καθ' ἑκούσιον ἀνοχὴν ἑφεπομένως ὑπέμεινεν, ὡς Λυτρωτής. Οὐ γὰρ ἵνα πάθῃ προηγουμένως ὁ Θεὸς γέγονεν ἄνθρωπος, ἀλλ' ἵνα τὸν ἄνθρωπον σώσῃ διὰ παθημάτων, ὑφ' ἅ, διὰ τὴν παράβασιν τῆς θείας ἐντολῆς, ἑαυτόν, ὁ κατ' ἀρχὰς ἀπαθὴς ὑπάρχων, πεποίηκεν ἄνθρωπος.

Δεξιὸν οὖν τὸ κατὰ πρόνοιαν τῆς τοῦ Λόγου σαρκώσεως ὑπάρχει μυστήριον, ὡς ἐνεργητικὸν τῆς ὑπὲρ φύσιν χάριτι πρὸ τῶν αἰώνων προωρισθείσης τῶν σωζομένων θεώσεως, ἧς οὐδεὶς τὸ παράπαν κατὰ φύσιν τῶν ὄντων ἐφικέσθαι δυνήσεται λόγος, εὐώνυμον δὲ τὸ κατὰ τὴν κρίσιν τοῦ ζωοποιοῦ πάθους τοῦ κατὰ σάρκα παθεῖν βουληθέντος Θεοῦ, σαφῶς ὑπάρχει μυστήριον[37], ὡς ἐνεργητικὸν μὲν τῆς τῶν ἐπεισαχθέντων ἐκ τῆς παρακοῆς τῇ φύσει παρὰ φύσιν πάντων ἰδιωμάτων καὶ κινημάτων παντελοῦς ἀναιρέσεως, ποιητικὸν δὲ τῆς τῶν προηγουμένως κατὰ φύσιν ἁπάντων ἰδιωμάτων τε καὶ κινημάτων ἀνελλιποῦς ἀποκαταστάσεως, καθ' ἣν οὐδεὶς τὸ παράπαν τῶν ὄντων κίβδηλος εὑρεθήσεται λόγος, ἐξ ὧν, προνοίας τέ φημι καὶ κρίσεως, ἤγουν σαρκώσεώς τε καὶ πάθους, διὰ τὸ στερρόν τε καὶ καθαρὸν καὶ ἀδιάφθορον τῆς κατὰ τὴν πρᾶξιν ἀνδρικῆς ἀρετῆς καὶ ἀτρεψίας, διά τε τὸ διαφανὲς καὶ λαμπρὸν τῆς μυστικῆς θεωρίας καὶ γνώσεως, ὡς ἐκ μέσου δύο χαλκῶν ὀρέων ἐκβέβηκεν, ἱππείων ἁρμάτων δίκην[38], ἡ ἁγία τετρὰς τῶν

18. Ζαχ. 6,1.

ορίστηκε πρὶν ἀπὸ ὅλους τοὺς αἰῶνες καὶ πραγματοποιήθηκε στοὺς τελευταίους καιρούς. Ἀπὸ αὐτὰ τὴν πρόνοια, σὰν ἐλιὰ ἀπὸ τὰ δεξιὰ τῆς λαμπάδας, τὴ βλέπομε μόνο μὲ τὴν πίστη στὸν ἀνείπωτο τρόπο τῆς ὑποστατικῆς ἕνωσης τοῦ Λόγου μὲ τὴ σάρκα ποὺ ἔχει λογικὴ ψυχή, ἐνῶ τὴν κρίση, ὄντας στ' ἀριστερά, τὴν κατανοοῦμε ἀνείπωτα στὸ μυστήριο τῶν ζωοποιῶν παθημάτων τοῦ Θεοῦ ποὺ σαρκώθηκε γιὰ χάρη μας. Καὶ τὴ σάρκωση βέβαια τὴ δέχτηκε μὲ τὴ θέλησή του πρῶτα ὡς ἀγαθός, ἐπειδὴ ἀπὸ τὴ φύση του εἶναι Σωτήρας ὅλων, ἐνῶ τὸ πάθος τὸ ὑπέμεινε στὴ συνέχεια μ' ἑκούσια ἀνεκτικότητα ὡς λυτρωτής. Δὲν ἔγινε δηλαδὴ ὁ Θεὸς ἄνθρωπος γιὰ νὰ πάθει πρῶτα ἀλλὰ γιὰ νὰ σώσει μὲ τὰ παθήματά του τὸν ἄνθρωπο, στὰ ὁποῖα πάθη, ἐξαιτίας τῆς παράβασης τῆς θείας ἐντολῆς, ὁδήγησε τὸν ἑαυτό του ὁ ἴδιος ὁ ἄνθρωπος ποὺ ἦταν ἀπὸ τὴν ἀρχὴ ἀπαθής.

Στὰ δεξιὰ λοιπὸν βρίσκεται τὸ σύμφωνο μὲ τὴν πρόνοια μυστήριο τῆς σάρκωσης τοῦ Λόγου, ἐπειδὴ ἐνεργεῖ μὲ τὴ χάρη πάνω ἀπὸ τὴ φύση τὴ θέωση τῶν σωζομένων ποὺ ἀποφασίστηκε πρὶν ἀπὸ τοὺς αἰῶνες καὶ ποὺ κανένας ἀπολύτως λόγος δὲ θὰ μπορέσει νὰ τὴν πλησιάσει σύμφωνα μὲ τὴ φύση τῶν ὄντων. Στ' ἀριστερὰ βρίσκεται σαφῶς τὸ ἀντίστοιχο στὴν κρίση μυστήριο τοῦ ζωοποιοῦ πάθους τοῦ Θεοῦ ποὺ θέλησε νὰ πάθη κατὰ σάρκα, ἐνεργώντας τὴν τέλεια ἀναίρεση ὅλων τῶν ἰδιωμάτων καὶ κινημάτων ποὺ ἐπεισῆλθαν παρὰ φύση στὴ φύση ἀπὸ τὴν παρακοὴ καὶ δημιουργώντας τὴν πλήρη ἀποκατάσταση ὅλων τῶν ἰδιωμάτων καὶ κινημάτων ποὺ ὑπῆρχαν προηγουμένως στὴ φύση μας, καὶ στὴν ὁποία ἀποκατάσταση κανένας ἀπολύτως ἀπὸ τοὺς λόγους τῶν ὄντων δὲ θὰ βρεθεῖ κίβδηλος. Ἀπὸ αὐτὰ λοιπόν, ἐννοῶ τὴν πρόνοια καὶ τὴν κρίση, δηλαδὴ τὴ σάρκωση καὶ τὸ πάθος, ἐξαιτίας τῆς στερεότητας καὶ καθαρότητας καὶ τοῦ ἀδιάφθορου τῆς ἀνδρικῆς στὴν πράξη ἀρετῆς καὶ σταθερότητας, καθὼς καὶ ἐξαιτίας τῆς διαύγειας καὶ λαμπρότητας τῆς μυστικῆς θεωρίας καὶ γνώσης, σὰν ἀνάμεσα ἀπὸ δύο χάλκινα ὄρη βγῆκε σὰν τέθριππο ἅρμα[18] ἡ ἁγία τετράδα τῶν Εὐαγγε-

εὐαγγελίων, τῶν πᾶσαν διειληφότων καὶ περιοδευσάντων τὴν γῆν, καὶ τὴν πληγὴν τῆς παραβάσεως τοῦ Ἀδὰμ ἰασαμένων, καὶ ἀναπαυσάντων τὸ Πνεῦμα τοῦ Θεοῦ διὰ πίστεως, καὶ τῆς ἐπ' αὐτῇ κατὰ τὸν βίον καλῆς πολιτείας, ἐν γῇ Βορρᾷ([39]), τουτέστιν ἐν τοῖς ἔθνεσιν, ἐν οἷς ὁ ζόφος ἐκράτει τῆς ἀγνοίας καὶ τῆς ἁμαρτίας τὴν φύσιν ἐτυράννει τὸ σκότος.

Ἢ πάλιν ἡ τοῖς ἁγίοις Εὐαγγελίοις τῶν τεσσάρων γενικῶν ἀρετῶν ἰσάριθμος δύναμις([40]), πᾶσαν διαλαβοῦσα, καθάπερ γῆν, τῶν πιστῶν τὴν καρδίαν καὶ περιοδεύσασα τὴν ἐγγενομένην αὐτοῖς ἐκ τῶν παθῶν τῆς ἀτιμίας πληγήν, καὶ ἀναπαύσασα τὸ Πνεῦμα τοῦ Θεοῦ διὰ τῆς πρακτικῆς τῶν ἐντολῶν ἐνεργείας ἐν γῇ Βορρᾷ, τουτέστιν ἐν τῇ σαρκί, διὰ τῶν ἔργων τῆς δικαιοσύνης φαινόμενον δείξασα τὸν νόμον τοῦ Πνεύματος.

Ἢ πάλιν τὰς δύο ἐλαίας νοητέον([41]) τὴν θεωρίαν καὶ τὴν πρᾶξιν, ὧν, τῆς μὲν θεωρίας([42]) ἡ κατὰ σάρκωσιν πρόνοια δίδωσι φαίνεσθαι τὸν λόγον, τῆς δὲ πράξεως ἡ κατὰ τὸ πάθος κρίσις δίδωσιν ἐνεργεῖσθαι τὸν τρόπον, ὡς τῆς μὲν κατὰ ψυχὴν ἐκ δεξιῶν οὔσης τοῦ Λόγου, τῆς δὲ κατὰ σῶμα ἐξ εὐωνύμων ὑπαρχούσης· καὶ τῆς μὲν τὸν νοῦν πρὸς τὴν τοῦ Θεοῦ καλούσης συγγένειαν, τῆς δὲ τῷ Πνεύματι τὴν αἴσθησιν ἁγιαζούσης καὶ τῶν παθῶν αὐτῆς, τοὺς τύπους ἀφαιρουμένης.

Ἢ πάλιν, πίστιν καὶ ἀγαθὴν συνείδησιν τὰς δύο νοητέον ἐλαίας([43]), ὧν ἕστηκε μέσος ὁ Λόγος, κατὰ μὲν τὴν πίστιν ὀρθῶς παρὰ τῶν πιστῶν προσκυνούμενος, κατὰ δὲ τὴν ἀγαθὴν συνείδησιν διὰ τῆς εἰς ἀλλήλους εὐαρεστήσεως εὐσεβῶς λατρευόμενος.

Ἢ τοὺς δύο λαούς, τὸν ἐξ ἐθνῶν λέγω καὶ τὸν ἐξ Ἰουδαίων([44]), ἐλαίαις δύο παρείκασεν ὁ Λόγος, οὓς καὶ πιότητος υἱούς, ὥσπερ ἑρμηνεύων τὰς ἐλαίας, διὰ τὴν ἐν Πνεύματι γέννησιν καὶ τὴν πρὸς θέωσιν χάριν τῆς υἱοθεσίας προσηγόρευσεν, ὧν μέσος ἕστηκε ὁ σαρκωθεὶς Θεός, ὡς ἐπὶ λυχνίας, τῆς μιᾶς

19. **Περιοδευταί**: περιόδευαν τὶς περιοχές, καταρτίζοντας τούς πιστούς.

λίων, ποὺ ἀγκάλιασαν καὶ περιόδευσαν[19] ὅλη τὴ γῆ καὶ θεράπευσαν τὸ τραῦμα τοῦ Ἀδὰμ ἀπὸ τὴν παράβαση καὶ ἀνάπαυσαν τὸ Πνεῦμα τοῦ Θεοῦ μὲ τὴν πίστη τους καὶ τὴν σύμφωνη μ' αὐτὴ καλὴ πολιτεία στὴ ζωή τους, στὴ 'γῆ τοῦ Βορρᾶ', δηλαδὴ στὰ ἔθνη, ὅπου ἐπικρατοῦσε ὁ ζόφος τῆς ἄγνοιας καὶ τυραννοῦσε τὴ φύση τὸ σκότος τῆς ἁμαρτίας.

Ἢ πάλι ἡ ἰσάριθμη μὲ τὰ τέσσερα Εὐαγγέλια δύναμη τῶν γενικῶν ἀρετῶν ἀφοῦ ἀγκάλιασε, σὰν γῆ, ἀκέραιη τὴν καρδιὰ τῶν πιστῶν, κι ἀφοῦ περιοδεύοντας θεράπευσε τὸ τραῦμα τῆς ἀτιμίας τῶν παθῶν ποὺ προκλήθηκε σ' αὐτοὺς κι ἀφοῦ ἀνάπαυσε τὸ Πνεῦμα τοῦ Θεοῦ μὲ τὴν πρακτικὴ ἐνέργεια τῶν ἐντολῶν, ἔδειξε τὸ νόμο τοῦ Πνεύματος φανερώνοντάς τον μὲ τὰ ἔργα δικαιοσύνης 'στὴ γῆ τοῦ Βορρᾶ', δηλαδὴ στὴ σάρκα.

Ἢ ἀλλιῶς, τὶς δύο ἐλιὲς πρέπει νὰ τὶς ἐκλάβομε ὡς τὴ θεωρία καὶ τὴν πράξη, ἀπὸ τὶς ὁποῖες ἡ πρόνοια γιὰ τὴ σάρκωση ἐπιτρέπει νὰ φανεῖ ὁ λόγος τῆς θεωρίας, ἐνῶ ἡ κρίση γιὰ τὸ πάθος ἐπιτρέπει νὰ ἐνεργεῖται ὁ τρόπος τῆς πράξης, γιατὶ ἐκείνη ποὺ ἀφορᾶ τὴν ψυχὴ εἶναι στὰ δεξιὰ τοῦ Λόγου, ἐνῶ αὐτὴ ποὺ ἀφορᾶ στὸ σῶμα εἶναι στ' ἀριστερά. Καὶ ἡ μία καλεῖ τὸ νοῦ πρὸς τὴ συγγένεια τοῦ Θεοῦ, ἐνῶ ἡ ἄλλη ἁγιάζει τὴν αἴσθηση μὲ τὸ Πνεῦμα καὶ ἀφαιρεῖ τοὺς τύπους τῶν παθῶν της.

Ἢ ἀκόμα, τὶς δύο ἐλιὲς πρέπει νὰ τὶς θεωρήσομε ὡς τὴν πίστη καὶ τὴν ἀγαθὴ συνείδηση, ποὺ ἀνάμεσά τους στέκει ὁ Λόγος καὶ ὅσον ἀφορᾶ στὴν πίστη προσκυνεῖται ὀρθὰ ἀπὸ τοὺς πιστούς, ἐνῶ ὅσον ἀφορᾶ στὴν ἀγαθὴ συνείδηση λατρεύεται μ' εὐσέβεια μὲ τὴν ἀγάπη τοῦ ἑνὸς πρὸς ἄλλον.

Ἢ μποροῦμε νὰ θεωρήσομε ὅτι μὲ τὶς ἐλιὲς παρομοίασε ὁ λόγος τοὺς δύο λαούς, τὰ ἔθνη ἐννοῶ καὶ τοὺς Ἰουδαίους, τοὺς ὁποίους, ἑρμηνεύοντας κατὰ κάποιο τρόπο τὶς ἐλιές, τοὺς ὀνόμασε καὶ «υἱοὺς πιότητος»[20] (θαλεροὺς υἱούς), ἐξαιτίας τῆς πνευματικῆς γέννησης καὶ τῆς χάριτος τῆς υἱοθεσίας γιὰ θέω-

20. Ζαχ. 4,14.

καὶ μόνης καθολικῆς Ἐκκλησίας, καταλλάσσων αὐτοὺς ἑαυτῷ τε καὶ ἀλλήλοις καὶ ποιῶν φωτὸς τοῦ κατ' ἀρετήν τε καὶ γνῶσιν γεννητικούς.

Τυχὸν δὲ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα διὰ τῶν δύο ἐλαιῶν παρῃνίξατο μυστικῶς ὁ λόγος[45]*, τὴν μὲν ὡς λόγοις ἀληθοῦς γνώσεως κομῶσαν κατὰ τὴν ἐλαίαν, τὸ δὲ ὡς ἀρετῶν πράξεσι πεπυκασμένον.*

Εἰ δὲ καὶ τοὺς δύο κόσμους διὰ τῶν δύο ἐλαιῶν ὁ τῆς Γραφῆς αἰνίττεται λόγος[46]*, καλῶς ἂν ἔχοι καὶ οὕτω νοούμενος, ὧν ἵσταται μέσος ὡς Θεὸς ὁ Λόγος, τὸν μὲν νοητὸν ἐν τῷ αἰσθητῷ φαίνεσθαι τοῖς τύποις μυστικῶς διαγράφων*[47]*, τὸν δὲ αἰσθητὸν ἐν τῷ νοητῷ τοῖς λόγοις ὄντα νεοῖσθαι διδάσκων.*

Εἰ δὲ καὶ τὴν παροῦσαν ζωὴν καὶ τὴν μέλλουσαν ἡ κατὰ τὰς ἐλαίας διετύπωσεν ὅρασις[48]*, καλῶς ἂν ἔχοι καὶ οὕτω τῆς θεωρίας ὁ τρόπος, ὧν ἵσταται μέσος ὁ Λόγος, τῆς μὲν ἀπάγων διὰ τῆς ἀρετῆς, πρὸς δὲ τὴν ἐπανάγων διὰ τῆς γνώσεως. Ὅπερ νοήσας τυχὸν ὁ θαυμαστὸς Ἀμβακούμ, φησίν· «ἐν μέσῳ δύο ζώων γνωσθήσῃ», ζωὰς λέγων, ὥσπερ τὰ ὄρη τὰ χαλκᾶ καὶ τὰς ἐλαίας ὁ μέγας Ζαχαρίας, τοὺς δύο κόσμους, ἤγουν αἰῶνας, ἢ τὰς προσφυεῖς αὐτῶν ζωάς, ἢ τὴν ψυχὴν καὶ τὸ σῶμα, ἢ τὴν πρᾶξιν καὶ τὴν θεωρίαν, ἢ τὴν ἕξιν τοῦ καλοῦ καὶ τὴν ἐνέργειαν, ἢ τὸν νόμον καὶ τοὺς προφήτας, ἢ τὴν Παλαιὰν ὅλην καὶ τὴν Νέαν Διαθήκην, ἢ τοὺς δύο νόμους, τὸν ἐξ ἐθνῶν καὶ τὸν ἐξ Ἰουδαίων, ἢ τοὺς δύο νόμους, τὸν φυσικὸν καὶ τὸν πνευματικόν, ἢ τὴν πίστιν καὶ τὴν ἀγαθὴν συνειδήσιν, ὧν μέσος ἵσταται διὰ πάντων ὑμνούμενος καὶ δοξαζόμενος ὁ Λόγος, καὶ πρὸς μίαν τοῦ καλοῦ τὰ πάντα σύμπνοιαν ἄγων, ὡς πάντων Θεός, καὶ διὰ τοῦτο πάντα ποιήσας, ἵνα πάντων γένηται τῆς καθ' ἕνωσιν πρὸς ἄλληλα τοῦ καλοῦ ταυτότητος δεσμὸς ἀδιάλυτος.*

ση, στοὺς ὁποίους ἀνάμεσα στέκει ὁ Θεὸς ποὺ σαρκώθηκε, σὰν ἐπάνω σὲ λυχνία, στὴ μία καὶ μόνη καθολικὴ Ἐκκλησία, συνδιαλλάσσοντάς τους μὲ τὸν ἑαυτό του καὶ μεταξύ τους καὶ κάνοντάς τους νὰ παράγουν τὸ φῶς τῆς ἀρετῆς καὶ τῆς γνώσης.

Ἴσως ὅμως μὲ τὶς δυὸ ἐλιὲς ὁ λόγος τῆς Γραφῆς ὑπαινίχθηκε μυστικὰ τὴν ψυχὴ καὶ τὸ σῶμα· τὴν ψυχή, γιατὶ εἶναι φορτωμένη, ὅπως ἡ ἐλιά, μὲ λόγους ἀληθινῆς γνώσης, καὶ τὸ σῶμα, γιατὶ εἶναι στολισμένο μὲ τὶς πράξεις τῆς ἀρετῆς.

Ἂν ὅμως μὲ τὶς δύο ἐλιὲς ὁ λόγος τῆς Γραφῆς ὑπαινίσσεται τοὺς δύο κόσμους, εἶναι σωστὸς καὶ μ' αὐτὸ τὸ νόημα, ἀνάμεσα στοὺς ὁποίους στέκεται ὁ Λόγος ὡς Θεός, παρουσιάζοντας τὸ νοητὸ νὰ φαίνεται μυστικὰ μὲ τοὺς τύπους μέσα στὸν αἰσθητό, καὶ διδάσκοντας νὰ νοοῦμε ὅτι ὁ αἰσθητὸς βρίσκεται μέσα στοὺς λόγους.

Ἂν πάλι τὸ ὅραμα μὲ τὶς ἐλιὲς παρουσίασε καὶ τὴν παροῦσα καὶ τὴ μέλλουσα ζωή, εἶναι σωστὸς κι αὐτὸς ὁ τρόπος τῆς ἑρμηνείας. Κι ἀνάμεσα σ' αὐτὲς στέκει ὁ Λόγος ἀπὸ τὴ μιὰ ἀπομακρύνοντάς τοὺς πιστοὺς μὲ τὴν ἀρετή, καὶ πρὸς τὴν ἄλλη ἐπαναφέροντας τους μὲ τὴ γνώση. Αὐτὸ ἴσως κατανόησε ὁ θαυμάσιος Ἀμβακοὺμ καὶ λέει· «θὰ γνωσθεῖ ἀνάμεσα σὲ δύο ζωές»[21], λέγοντας ζωὲς τοὺς δύο κόσμους, δηλαδὴ τοὺς αἰῶνες, ὅπως τὰ χάλκινα ὄρη καὶ τὶς ἐλιὲς ὁ μέγας Ζαχαρίας, ἢ τὶς ταιριαστὲς σ' αὐτὰ ζωές, ἢ τὴν ψυχὴ καὶ τὸ σῶμα, ἢ τὴν πράξη καὶ τὴ θεωρία, ἢ τὴν δυνατότητα γιὰ τὸ καλὸ καὶ τὴν ἐνέργειά του, ἢ τὸ νόμο καὶ τοὺς προφῆτες, ἢ ὅλη τὴν Παλαιὰ καὶ τὴ Νέα Διαθήκη, ἢ τοὺς δύο λαούς, τὰ ἔθνη καὶ τοὺς Ἰουδαίους, ἢ τοὺς δύο νόμους, τὸ φυσικὸ καὶ τὸν πνευματικό, ἢ τὴν πίστη καὶ τὴν ἀγαθὴ συνείδηση, ἀνάμεσα στὰ ὁποῖα στέκει ὁ Λόγος ποὺ ὅλα τὸν ὑμνοῦν καὶ τὸν δοξάζουν καὶ ποὺ ὁδηγεῖ τὰ πάντα σὲ μιὰ σύμπνοια τοῦ καλοῦ ὡς Θεὸς τῶν πάντων καὶ ποὺ γι' αὐτὸ τὰ δημιούργησε ὅλα, γιὰ νὰ γίνει ὅλων δεσμὸς ἀδιάλυτος τῆς ταυτότητας τοῦ καλοῦ μὲ τὴν ἕνωση μεταξύ τους.

21. Ἀββακ. 3,2.

Λυχνίαν δὲ κατὰ τὴν ὅρασιν τυχὸν τὴν Ἐκκλησίαν καὶ τὴν ψυχὴν εἶπεν ὁ λόγος, ὡς ἐπίκτητον φύσει τὸ τῆς χάριτος φῶς ἔχουσαν καὶ ἐπισκευαστόν, διότι μόνου τοῦ Θεοῦ κατὰ φύσιν ἐστὶ τὸ ἀγαθόν, ἐξ οὗ κατὰ μετοχὴν πάντα φωτίζεταί τε καὶ ἀγαθύνεται, τὰ φωτὸς κατὰ φύσιν καὶ ἀγαθότητος δεκτικά.

Καὶ ταῦτα μὲν περὶ τούτων, συμμετρίας φροντίζων διῆλθεν ὁ λόγος, αὐτὸς δὲ παρ' ἑαυτοῦ σὺν Θεῷ τὰ κρείττω τούτοις ἐπιθεωρήσας, φαίδρυνον, ὅσιε πάτερ, ταῖς ἀειφανέσι τῆς σῆς διανοίας ἀκτῖσι τὴν ἀμβλυωποῦσάν μου ψυχήν.

ΣΧΟΛΙΑ

1 *Τίς ἡ λυχνία.*

2 *Πῶς ἀκίβδηλος χρυσός ἐστιν ἡ Ἐκκλησία.*

3 *Πῶς καθαρά.*

4 *Πῶς ἀμίαντος.*

5 *Πῶς ἄχραντος.*

6 *Τί τὸ λαμπάδιον τῆς λυχνίας.*

7 *Οὐ πᾶς ἄνθρωπος εἰς τοῦτον ἐρχόμενος τὸν κόσμον, φησίν, ὑπὸ τοῦ Λόγου πάντως φωτίζεται· πολλοὶ γὰρ ἀφώτιστοι διαμένουσι καὶ τοῦ κατ' ἐπίγνωσιν ἀμέτοχοι φωτός, ἀλλὰ δῆλον ὅτι, πᾶς ἄνθρωπος κατ' οἰκείαν γνώμην εἰς τὸν ἀληθῆ κόσμον τῶν ἀρετῶν ἐρχόμενος· πᾶς γὰρ ὁ κατ' ἀλήθειαν διὰ τῆς αὐθαιρέτου γεννήσεως εἰς τοῦτο ἐρχόμενος τῶν ἀρετῶν τὸν κόσμον, ὑπὸ τοῦ Λόγου πάντως φωτίζεται, λαμβάνων ἕξιν ἀρετῆς ἀμετακίνητον καὶ γνώσεως ἀληθοῦς ἐπιστήμην ἄπταιστον.*

9 *Πῶς καὶ λύχνος ἐστὶν ὁ σαρκωθεὶς Θεὸς Λόγος.*

10 *Τίς ὁ μόδιος, ὑφ' ὃν ὁ λύχνος οὐ γίνεται καλυπτόμενος.*

Λυχνία στὸ ὅραμα ἴσως εἶπε ὁ Λόγος τὴν Ἐκκλησία καὶ τὴν ψυχή, ἐπειδὴ ἔχουν στὴ φύση τους τὸ φῶς τῆς χάριτος ἐπίκτητο καὶ δυνάμενο νὰ φανερωθεῖ. Γιατὶ τὸ ἀγαθὸ κατὰ φύση ἀνήκει μόνο στὸ Θεὸ κι ἀπὸ αὐτὸν κατὰ μετοχὴ φωτίζονται τὰ πάντα καὶ ἀγαθύνονται, ὅσα ἀπὸ τὴ φύση τους μποροῦν νὰ δεχτοῦν τὸ φῶς καὶ τὴν ἀγαθότητα.

Αὐτὲς τὶς ἑρμηνεῖες γιὰ τὰ θέματα αὐτὰ ἔδωσε ὁ λόγος μου φροντίζοντας τὴ συμμετρία. Ὁ ἴδιος τώρα ἀπὸ μόνος σου μὲ τὴ βοήθεια τοῦ Θεοῦ πρόσθεσέ τους τὰ σπουδαιότερα καὶ φαίδρυνε, ὅσιε πατέρα, μὲ τὶς ἀείφωτες ἀκτίνες τῆς διάνοιάς σου τὴ θαμποβλέπουσα ψυχή μου.

ΣΧΟΛΙΑ

1. Τί εἶναι ἡ λυχνία.
2. Πῶς ἡ Ἐκκλησία εἶναι γνήσιος χρυσός.
3. Πῶς εἶναι καθαρή.
4. Πῶς εἶναι ἀμίαντη.
5. Πῶς εἶναι ἄχραντη.
6. Πῶς εἶναι ἀμείωτη.
7. Τί εἶναι ἡ λαμπάδα τῆς λυχνίας.
8. Δὲ φωτίζεται, λέει, ὁπωσδήποτε ἀπὸ τὸ Λόγο κάθε ἄνθρωπος, ποὺ ἔρχεται στὸν κόσμο. Πολλοὶ παραμένουν δίχως φωτισμὸ καὶ ἀμέτοχοι ἀπὸ τὸ φῶς τῆς ἐπίγνωσης. Ἀλλὰ εἶναι φανερὸ ὅτι φωτίζεται κάθε ἄνθρωπος ποὺ ἔρχεται μὲ δική του γνώμη στὸν κόσμο τῶν ἀρετῶν. Καθένας λοιπὸν ποὺ ἀληθινὰ μὲ αὐτόγνωμη γέννηση ἔρχεται σ' αὐτὸν τὸν κόσμο τῶν ἀρετῶν δέχεται ὁπωσδήποτε τὸ φῶς ἀπὸ τὸ Λόγο, λαμβάνοντας ἀμετακίνητη ἕξη τῆς ἀρετῆς καὶ ἄσφαλτη ἐπιστήμη τῆς ἀληθινῆς γνώσης.
9. Πῶς συμβαίνει νὰ εἶναι λύχνος ὁ Θεὸς Λόγος ποὺ σαρκώθηκε.
10. Τί εἶναι ὁ μόδιος ποὺ δὲν μπορεῖ νὰ καλυφθεῖ ὁ λόγος μπαίνοντας ἀπὸ κάτω.

11 Εἰς τὴν αἴσθησιν τὴν γυναῖκα καὶ εἰς τὴν ἡδονὴν τὸν ὄφιν ἐθεώρησεν· ἄμφω γὰρ πρὸς τὸν λόγον κατὰ διάμετρον ἀφεστήκασιν.

12 Ὅτι, λαβοῦσα τὸν νοῦν ἡ αἴσθησις ὑποχείριον, διδάσκει πολύθεον, δι᾿ ἑκάστης αἰσθήσεως τῇ περὶ τὰ πάθη δουλείᾳ ὡς θεῖον τὸ προσφυὲς αἰσθητὸν θεραπεύουσα.

13 Τίνας τοὺς λύχνους ὁ Λόγος φησίν;

14 Βλέπε τῆς χάριτος τὸ μέγεθος, βλέπε θεολογίας ἀπέραντον τὸ πέλαγος.

15 Τίνων εἰσὶ κατορθωτικὰ τοῦ Πνεύματος τὰ χαρίσματα.

16 Τίνες εἰσὶ κατ᾿ ἄλλον θεωρίας τρόπον οἱ λύχνοι.

17 Τὴν πρακτικὴν φιλοσοφίαν φόβος, εὐσέβειά τε καὶ γνῶσις ἐργάζονται, τὴν δὲ φυσικὴν ἐν πνεύματι θεωρίαν ἰσχὺς καὶ βουλὴ καὶ σύνεσις κατορθοῦσι, τὴν δὲ μυστικὴν θεολογίαν σοφία μόνη θεία χαρίζεται.

18 Μέσα καλεῖ τὴν τῶν αἰσθητῶν καὶ τῶν νοητῶν οὐσίαν, δι᾿ ὧν πρὸς τὸν Θεὸν ὡς αἰτίαν τῶν ὄντων ὁ ἀνθρώπινος νοῦς ἀνάγεσθαι πέφυκεν.

19 Τίνες εἰσὶ κατὰ τὴν ἀναγωγὴν αἱ τῶν λύχνων ἐπαρυστρίδες.

20 Τίνες αἱ δύο τυγχάνουσιν ἐλαῖαι.

21 Ἀνακεφαλαίωσις τῶν θεωρηθέντων ὁριστικὴ καὶ σύντομος.

22 Τί τὸ δεξιὸν καὶ τὸ ἀριστερόν.

23 Ἡ Παλαιά, φησίν, Διαθήκη, πράξεως καὶ ἀρετῆς ὑπάρχουσα σύμβολον, συμφωνεῖν τὸ σῶμα τῷ νοΐ παρασκευάζει κατὰ τὴν κίνησιν, ἡ δὲ Νέα, θεωρίας καὶ γνώσεως οὖσα ποιητική, τὸν μυστικῶς αὐτῆς ἀντεχόμενον νοῦν τοῖς θείοις καταφαιδρύνει χαρίσμασιν.

24 Ἄλλης θεωρίας τρόπος ἰδικός, εἰς τὴν ἑκάστου ψυχὴν ἀναφέρων τήν τε λυχνίαν καὶ τὰ τῆς λυχνίας.

25 Τίς ὁ λύχνος.

26 Ἐκείνων ὁ Θεός, φησίν, λέγεταί τε καὶ γίνεται κατὰ τὴν χάριν Πατήρ, τῶν μόνην ἐχόντων καθαρὰν τὴν γνωμικὴν ἐν πνεύματι γέννησιν, καθ᾿ ἥν, ὥσπερ ψυχῆς πρόσωπον τὸν

11. Στὴν αἴσθηση εἶδε τὴν γυναίκα καὶ στὴν ἡδονὴ τὸ φίδι, γιατὶ καὶ τὰ δύο εἶναι διαμετρικὰ ἀντίθετα πρὸς τὸ λόγο.
12. Κάνοντας ἡ αἴσθηση ὑποχείριό της τὸ νοῦ, διδάσκει τὴν πολυθεΐα, λατρεύοντας μὲ κάθε αἴσθηση, ἐξαιτίας τῆς δουλείας της στὰ πάθη, τὸ ἀνάλογο αἰσθητὸ ὡς θεῖο.
13. Γιὰ ποιούς λύχνους μιλάει ὁ Λόγος.
14. Πρόσεχε τὸ μέγεθος τῆς χάριτος, πρόσεχε τὸ ἀπέραντο πέλαγο τῆς θεολογίας.
15. Ποιοί εἶναι ἐκεῖνοι ποὺ κατορθώνουν τὰ χαρίσματα τοῦ Πνεύματος.
16. Ποιοί εἶναι ἀπὸ ἄλλη θεωρητικὴ ἄποψη οἱ λύχνοι.
17. Τὴν πρακτικὴ φιλοσοφία τὴν πραγματοποιοῦν ὁ φόβος, ἡ εὐσέβεια καὶ ἡ γνώση, τὴ φυσικὴ πνευματικὴ θεωρία τὴν κατορθώνει ἡ ἰσχὺς καὶ ἡ βουλὴ καὶ ἡ σύνεση, ἐνῶ τὴ μυστικὴ θεολογία τὴ χαρίζει μόνο ἡ θεία σοφία.
18. Ἐνδιάμεσα καλεῖ τὴν οὐσία τῶν αἰσθητῶν καὶ τῶν νοητῶν, μέσω τῶν ὁποίων ὁ ἀνθρώπινος νοῦς, ὡς ἀπὸ τὴ φύση του, ὑψώνεται στὸ Θεὸ ὡς αἰτία τῶν ὄντων.
19. Ποιά εἶναι μεταφορικὰ τὰ ἐλαιοδοχεῖα τῶν λυχναριῶν.
20. Ποιές εἶναι οἱ δύο ἐλιές.
21. Ὁριστικὴ καὶ σύντομη ἀνακεφαλαίωση ὅσων εἰπώθηκαν.
22. Ποιό εἶναι τὸ ἀριστερὸ καὶ ποιό τὸ δεξιό.
23. Ἡ Παλαιὰ Διαθήκη ποὺ εἶναι τὸ σύμβολο τῆς πράξης τῆς ἀρετῆς κάνει τὸ σῶμα κατάλληλο νὰ ἐναρμονίζει τὴν κίνησή του μὲ τὸ νοῦ, ἐνῶ ἡ Νέα Διαθήκη, ἐπειδὴ πραγματοποιεῖ τὴ θεωρία καὶ τὴ γνώση χαροποιεῖ μὲ θεῖα χαρίσματα τὸ νοῦ ποὺ ἐπιμένει μυστικὰ στὴ μελέτη της.
24. Εἰδικὸς τρόπος ἄλλης θεωρίας ἀναφερόμενος στὴν ψυχὴ τοῦ καθενός, στὴ λυχνία καὶ στὰ σχετικὰ μὲ τὴ λυχνία.
25. Ποιός εἶναι ὁ λύχνος.
26. Πατέρας κατὰ χάρη λέγεται καὶ γίνεται ὁ Θεὸς ἐκείνων ποὺ ἔχουν καθαρὴ τὴν ἑκούσια πνευματικὴ γέννησή τους, σύμφωνα μὲ τὴν ὁποία ἔχουν σὰν πρόσωπο τῆς ψυχῆς νὰ φαί-

ἐν ἀρεταῖς τοῦ γεννήσαντος Θεοῦ χαρακτῆρα φαινόμενον ἔχοντες κατὰ τὸν βίον, τοὺς θεωμενους τῇ μεταβολῇ τῶν τρόπων δοξάζειν τὸν Θεὸν παρασκευάζουσι, τὸν οἰκεῖον βίον πρὸς μίμησιν παρέχοντες· αὐτοῖς ἐξαίρετον ἀρετῆς ἐξεμπλάριον. Οὐ γὰρ λόγῳ ψιλῷ Θεὸς δοξάζεσθαι πέφυκεν, ἀλλ' ἔργοις δικαιοσύνης πολλῷ πλείονα λόγου βρῶσι τὴν θείαν μεγαλοπρέπειαν.

27 *Τίνας εἶναι δεῖ νοεῖν τοὺς ἑπτὰ λύχνους;*

28 *Τίνες αἱ ἐπαρυστρίδες;*

29 *Τίνες αἱ δύο ἐλαῖαι;*

30 *Ἡ μὲν Παλαιά, φησί, τῷ γνωστικῷ χορηγεῖ τοὺς τρόπους τῶν ἀρετῶν, ἡ δὲ Νέα τῷ πρακτικῷ γνώσεως ἀληθοῦς λόγους χαρίζεται.*

31 *Ὅτι τὸ πρακτικὸν τὸ τῆς ψυχῆς παθητικὸν λέγει.*

32 *Ὁ τῇ πράξει σωματουμένην, φησί, τὴν γνῶσιν καὶ τῇ γνώσει ψυχουμένην τὴν πρᾶξιν δεικνύς, τὸν ἀκριβῆ τρόπον εὗρε τῆς ἀληθοῦς θεουργίας. Ὁ δ' ὁποτέραν τούτων τῆς ἑτέρας ἔχων διεζευγμένην, ἢ τὴν γνῶσιν ἀνυπόστατον ἐποίησε φαντασίαν, ἢ τὴν πρᾶξιν ἄψυχον κατέστηκεν εἴδωλον· γνῶσις γὰρ ἄπρακτος, φαντασίας οὐδὲν διενήνοχεν, ὑφεστῶσαν αὐτὴν τὴν πρᾶξιν οὐκ ἔχουσα· καὶ πρᾶξις ἀλόγιστος ἀψύχῳ ταυτὸν εἰδώλῳ καθέστηκε, ψυχοῦσαν αὐτὴν γνῶσιν οὐκ ἔχουσα.*

33 *Ὥσπερ ψυχὴ καὶ σῶμα ποιεῖ κατὰ σύνθεσιν ἄνθρωπον, οὕτω πρᾶξις καὶ θεωρία μίαν κατὰ σύνοδον σοφίαν ἀποτελεῖ γνωστικήν· καὶ Παλαιὰ καὶ Νέα Διαθήκη μυστήριον ἓν ἀπεργάζεται.*

34 *Ἀριστερὸς μὲν ὁ φυσικὸς νόμος διὰ τὴν αἴσθησιν, προσάγει δὲ τῷ Λόγῳ τοὺς τρόπους τῶν ἀρετῶν καὶ ποιεῖ γνῶσιν ἐνεργουμένην. Ὁ δὲ πνευματικὸς νόμος ὡς δεξιὸς μέν ἐστι*

νεται στὸ βίο τους μὲ τὶς ἀρετὲς τὸ χαρακτήρα τοῦ Θεοῦ ποὺ τοὺς γέννησε, παρασκευάζουν ἐκείνους ποὺ τοὺς βλέπουν νὰ δοξάζουν τὸ Θεὸ μὲ τὴ μεταβολὴ τῆς συμπεριφορᾶς τους, προτείνοντάς τους ὡς ἐξαίρετο παράδειγμα πρὸς μίμηση τὸν ἴδιο τους βίο. Γιατὶ δὲν θέλει ὁ Θεὸς νὰ δοξάζεται μὲ ἁπλὰ λόγια ἀλλὰ μὲ ἔργα δικαιοσύνης ποὺ διαλαλοῦν πολὺ περισσότερο ἀπο ὅσο ὁ λόγος τὴ θεία μεγαλοπρέπεια.

27. Τί πρέπει νὰ ἐννοήσομε πὼς εἶναι οἱ ἑφτὰ λύχνοι.

28. Τί εἶναι τὰ ἑφτὰ ἐλαιοδοχεῖα.

29. Τί εἶναι οἱ δύο ἐλιές.

30. Ἡ Παλαιὰ Διαθήκη χορηγεῖ, λέει, στὸ γνωστικὸ τοὺς τρόπους τῶν ἀρετῶν, ἐνῶ ἡ Νέα χαρίζει στὸν πρακτικὸ τοὺς λόγους τῆς ἀληθινῆς γνώσης.

31. Μὲ τὸ πρακτικὸ ἐννοεῖ τὸ παθητικὸ τῆς ψυχῆς.

32. Ὅποιος δείχνει τὴ γνώση νὰ ὑλοποιεῖται μὲ τὴν πράξη καὶ τὴν πράξη νὰ πνευματίζεται μὲ τὴ γνώση, βρῆκε τὸν ἀκριβὴ τρόπο τῆς ἀληθινῆς θεοπραξίας. Ὅποιος ὅμως ἔχει αὐτὲς χωρισμένη τὴ μιὰ ἀπὸ τὴν ἄλλη ἢ ἔκανε τὴ γνώση ἀνυπόστατη φαντασία ἢ κατάντησε τὴν πράξη ἄψυχο εἴδωλο. Γιατὶ γνώση ποὺ δὲ γίνεται πράξη, δὲν διαφέρει καθόλου ἀπὸ τὴ φαντασία, ἀφοῦ δὲν ἔχει σὰν ὑπόβαθρό της τὴν ἴδια τὴν πράξη. Καὶ πράξη πάλι χωρὶς σκέψη καταντᾶ τὸ ἴδιο μὲ τὸ ἄψυχο εἴδωλο, ἀφοῦ δὲν ἔχει τὴ γνώση νὰ τὴν κάμνει πνευματική.

33. Ὅπως ὅταν συνενωθοῦν ἡ ψυχὴ καὶ τὸ σῶμα ἀποτελοῦν τὸν ἄνθρωπο, ἔτσι καὶ ἡ πράξη καὶ ἡ θεωρία ὅταν ἑνωθοῦν κάνουν μιὰ σοφία πνευματική. Καὶ ἡ Παλαιὰ καὶ ἡ Νέα Διαθήκη πραγματοποιοῦν ἕνα μυστήριο.

34. Ὁ φυσικὸς νόμος ἐξαιτίας τῆς αἴσθησης εἶναι στ' ἀριστερά, προσφέρει στὸ Λόγο τοὺς τρόπους τῶν ἀρετῶν καὶ παρέχει γνώση ἔμπρακτη. Ὁ πνευματικὸς πάλι νόμος, ἐπειδὴ βρίσκεται στὰ δεξιά, ἀνήκει στὸ νοῦ, ἀναμιγνύει στὴν αἴσθη-

διὰ τὸν νοῦν, μίγνυσι δὲ τῇ αἰσθήσει τοὺς ἐν τοῖς οὖσι πνευματικοὺς λόγους καὶ ποιεῖ πρᾶξιν λελογισμένην.

35 Ἡ πρόνοια, φησίν, ἐν τῷ καθ' ὑπόστασιν ἑνωθῆναι σαρκὶ τὸν Λόγον δείκνυται, ἡ δὲ κρίσις ἐν τῷ παθεῖν ὑπὲρ ἡμῶν σαρκὶ καταδέξασθαι φαίνεται, δι' ὧν, ἑνώσεως καὶ πάθους, ἡ τοῦ παντὸς σωτηρία συνέστηκεν.

36 Ἡ μὲν σάρκωσις, φησίν, εἰς τὴν τῆς φύσεως σωτηρίαν γέγονε, τὰ δὲ πάθη πρὸς λύτρωσιν τῶν διὰ τὴν ἁμαρτίαν τῷ θανάτῳ κατεχομένων.

37 Τὸ μυστήριον, φησί, τῆς ἐνανθρωπήσεως, τὰ μὲν παρὰ φύσιν ἀφίστησιν ἰδιώματα τῆς ἀνθρωπίνης φύσεως, τὰ δὲ κατὰ φύσιν ἀποκαθίστησιν.

38 Πρόνοιαν καὶ κρίσιν, σάρκωσίν τε καὶ πάθος, ὄρη χαλκᾶ νενόηκεν, ἐξ ὧν ἡ τῶν Εὐαγγελίων ἐκβαίνει τετράς.

39 Γῆν Βορρᾶ τὰ ἔθνη νενόηκεν, ἅτινα ὡς ἐν χώρᾳ σκότους ὑπῆρχόν ποτε τῇ πλάνῃ τῆς ἀγνοίας· νῦν δὲ γεγόνασιν ἐν χώρᾳ φωτός, τῇ ἐπιγνώσει τῆς ἀληθείας, κατὰ τὴν χάριν τῆς ἁγίας τῶν Εὐαγγελίων τετράδος, ὡς στοιχείων ἀφθάρτων, κατὰ τὸν ἔσω καὶ νοερὸν ἄνθρωπον εἰς ζωὴν αἰώνιον ἀναπλασθέντες διὰ τῆς πίστεως.

40 Ἄλλη θεωρία τῶν τεσσάρων ἁρμάτων.

41 Ἄλλη θεωρία τῶν ἐλαιῶν.

42 Ὁ μὲν θεωρητικός, φησί, τὸν κατὰ τὴν πρόνοιαν λόγον τῆς σαρκώσεως ἔχει φαινόμενον, ὁ δὲ πρακτικὸς τὸν κατὰ τὴν κρίσιν τῶν παθηματων τοῦ Λόγου τρόπον ἐνεργούμενον δείκνυσιν.

43 Εἰς τὰς ἐλαίας ἄλλη θεωρία.

44 Εἰς τὰς αὐτὰς ἄλλη θεωρία.

45 Ἄλλη περὶ τῶν αὐτῶν θεωρία.

46 Ἄλλη περὶ τῶν δύο ἐλαιῶν θεωρία.

ση τοὺς πνευματικοὺς λόγους τῶν ὄντων καὶ παρέχει πράξη ἔλλογη.

35. Ἡ πρόνοια, λέει, φανερώνεται μὲ τὴν ὑποστατικὴ ἕνωση τοῦ Λόγου μὲ τὴ σάρκα, ἐνῶ ἡ κρίση καταφαίνεται μὲ τὴ συγκατάθεσή του νὰ πάθει κατὰ σάρκα γιὰ χάρη μας. Μ' αὐτά, τὴν ἕνωση καὶ τὸ πάθος, πραγματοποιήθηκε ἡ σωτηρία τῶν ὅλων.

36. Ἡ σάρκωση, λέει, ἔγινε γιὰ τὴ σωτηρία τῆς φύσης, ἐνῶ τὰ παθήματα γιὰ τὴ λύτρωση ἐκείνων ποὺ κατέχονται ἐξαιτίας τῆς ἁμαρτίας ἀπὸ τὸ θάνατο.

37. Τὸ μυστήριο, λέει, τῆς ἐναθρώπησης ἀπομακρύνει τὰ παραφύση ἰδιώματα τῆς ἀνθρώπινης φύσης καὶ ἀποκαθιστᾶ τὰ κατὰ φύση.

38. Τὴν πρόνοια καὶ τὴν κρίση, τὴ σάρκωση καὶ τὸ πάθος, τὰ θεώρησε ὡς ὄρη χάλκινα, ἀπὸ τὰ ὁποῖα προέρχεται ἡ τετράδα τῶν Εὐαγγελίων.

39. 'Γῆ τοῦ Βορρᾶ' ἐννοεῖ τὰ ἔθνη, τὰ ὁποία κάποτε βρίσκονταν στὴν πλάνη τὴν ἄγνοιας, σὰν σὲ χώρα τοῦ σκότους, ἐνῶ τώρα εἶναι στὴ χώρα τοῦ φωτὸς μὲ τὴν ἐπίγνωση τῆς ἀλήθειας, σύμφωνα μὲ τὴ χάρη τῆς ἅγιας τετράδας τῶν Εὐαγγελίων, ποὺ εἶναι στοιχεῖα ἄφθαρτα, καὶ ἔγινε μέσα τους ἡ ἀνάπλαση τοῦ νοεροῦ ἀνθρώπου μὲ τὴν πίστη γιὰ τὴν αἰώνια ζωή.

40. Ἄλλη θεωρία γιὰ τὰ τέσσερα ἅρματα.

41. Ἄλλη θεωρία γιὰ τὶς ἐλιές.

42. Ὁ θεωρητικός, λέει, φανερώνει τὸν σύμφωνο μὲ τὴν πρόνοια λόγο τῆς σάρκωσης, ἐνῶ ὁ πρακτικὸς δείχνει τὸν τρόπο τοῦ Λόγου ποὺ πραγματοποιεῖται κατὰ τὴν κρίση τῶν παθημάτων.

43. Ἄλλη θεωρία γιὰ τὶς ἐλιές.

44. Ἄλλη θεωρία γιὰ τὶς ἴδιες.

45. Κι ἄλλη θεωρία γι' αὐτές.

46. Ἄλλη θεωρία γιὰ τὶς δύο ἐλιές.

47 *Ὁ τὸν φαινόμενον κόσμον νοῶν, θεωρεῖ τὸν νοούμενον· τυποῖ γὰρ τῇ αἰσθήσει τὰ νοητὰ φανταζόμενος καὶ κατὰ νοῦν σχηματίζει τοὺς θεαθέντας λόγους, καὶ μεταφέρει πρὸς μὲν αἴσθησιν πολυειδῶς τοῦ νοητοῦ κόσμου τὴν σύστασιν, πρὸς δὲ νοῦν τοῦ αἰσθητοῦ κόσμου πολυπλόκως τὴν σύνθεσιν· καὶ νοεῖ, ἐν μὲν τῷ νοητῷ τὸν αἰσθητόν, μετενέγκας πρὸς τὸν νοῦν τοῖς λόγοις τὴν αἴσθησιν, ἐν δὲ τῷ αἰσθητῷ τὸν νοητόν, πρὸς τὴν αἴσθησιν ἐπιστημόνως τοῖς τύποις μετεγκλώσας τὸν νοῦν.*

48 *Ἄλλη περὶ τῶν αὐτῶν θεωρία.*

47. Ὅποιος νοεῖ τὸν κόσμο τῶν φαινομένων, θεωρεῖ τὸν νοούμενο κόσμο. Γιατὶ φαντάζεται τὰ νοητὰ καὶ τ' ἀποτυπώνει στὴν αἴσθηση καὶ σχηματίζει στὸ νοῦ τοὺς λόγους ποὺ θεάστηκε, μεταφέροντας ἔτσι μὲ πολλὰ εἴδη στὴν αἴσθηση τὴ σύσταση τοῦ νοητοῦ κόσμου καὶ στὸ νοῦ τὴ σύνθεση τὴν πολύπλοκη τοῦ αἰσθητοῦ κόσμου. Μέσα στὸν νοητὸ κόσμο νοεῖ τὸν αἰσθητό, ἔχοντας μεταφέρει μὲ τοὺς λόγους τὴν αἴσθηση στὸ νοῦ, καὶ μέσα στὸν αἰσθητὸ τὸ νοητὸ μεταπλάθοντας μέσω τῶν τύπων καὶ μὲ ἐπιστήμη τὸ νοῦ πρὸς τὴν αἴσθηση.

48. Ἄλλη θεωρία γιὰ τὰ ἴδια.

ΕΡΩΤΗΣΙΣ ΞΔ'

Ποίαν ἔννοιαν ἔχει τὸ ρητὸν τὸ ἐν τῷ Ἰωνᾷ τῷ προφήτῃ περὶ τῆς Νινευῆ φάσκον· «Ἐν ᾗ κατοικοῦσιν πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν οὐδὲ ἀριστερὰν αὐτῶν», ἐπειδὴ ἀπὸ τοῦ γράμματος οὐχ εὑρίσκω μίαν παραμυθίαν; Οὐ γὰρ εἶπε παῖδας, ἵνα περὶ νηπίων νομίσω, ἀλλ' ἄνδρας (ποῖος δὲ ἀνήρ, ἔχων ἀβλαβεῖς τὰς φρένας, ἀγνοεῖ δεξιὰν αὐτοῦ ἢ ἀριστερὰν αὐτοῦ;), ἀλλ' εἰπὲ τίνες οἱ ἄνδρες, καὶ τίς ἡ δεξιά, καὶ τίς ἡ ἀριστερά, κατὰ τὸν τῆς ἀναγωγῆς λόγον.

ΑΠΟΚΡΙΣΙΣ

Οὐδὲν τῶν ἀναγεγραμμένων τῇ Γραφῇ προσώπων ἢ τόπων ἢ χρόνων ἢ ἑτέρων πραγμάτων, ἐμψύχων τε καὶ ἀψύχων, αἰσθητῶν τε καὶ νοητῶν, κατὰ τὸν αὐτὸν ἀεὶ νοούμενον τρόπον ἔχει συμβαίνουσαν ἑαυτῇ δι' ὅλου τὴν ἱστορίαν καὶ τὴν θεωρίαν. Διὸ χρὴ τὸν ἀπταίστως τὴν θείαν τῆς ἁγίας Γραφῆς ἐξασκούμενον εἴδησιν ταῖς διαφοραῖς τῶν γινομένων ἢ λεγομένων διαφόρως ἐκδέχεσθαι τῶν ἀπηριθμημένων ἕκαστον, καὶ τὴν ἁρμόζουσαν αὐτῷ κατὰ τὸν τόπον ἢ τὸν χρόνον δεόντως θεωρίαν προσνέμειν. Πολύσημον γάρ ἐστι ἑκάστου τῶν ἐν τῇ Γραφῇ σημαινομένων τὸ ὄνομα κατὰ τὴν δύναμιν τῆς Ἑβραΐδος φωνῆς, ὅπερ κἀνταῦθα σαφῶς εὑρίσκομεν.

Ἑρμηνεύεται γὰρ Ἰωνᾶς κατὰ διαφόρους ἐκφωνήσεις(1)·

ΕΡΩΤΗΣΗ 64

Ποιά ἔννοια ἔχει τὸ ρητὸ τοῦ προφήτη Ἰωνᾶ ποὺ λέει γιὰ τὴ Νινευή, «στὴν ὁποία κατοικοῦν περισσότεροι ἀπὸ δώδεκα μυριάδες ἄνδρες, ποὺ δὲ γνωρίζουν οὔτε τὴ δεξιὰ οὔτε τὴν ἀριστερά τους»[1], γιατὶ τὸ γράμμα δὲν μοῦ παρέχει καμμιὰ βοήθεια. Γιατὶ δὲν εἶπε 'παιδιά', γιὰ νὰ νομίσω ὅτι πρόκειται γιὰ νήπια, ἀλλὰ «ἄνδρες». Ποιός εἶναι ἐπίσης ὁ ἄνδρας ποὺ ἔχει σωστὸ τὸ μυαλό του κι ἀγνοεῖ τὸ δεξὶ ἢ τὸ ἀριστερό του χέρι. Πὲς λοιπὸν ποιοί εἶναι οἱ ἄνδρες καὶ ποιό τὸ δεξὶ καὶ ποιό τὸ ἀριστερὸ χέρι, σύμφωνα μὲ τὸν τρόπο τῆς μεταφορᾶς.

ΑΠΟΚΡΙΣΗ

Κανένα ἀπὸ ὅσα ἀναγράφονται στὴ Γραφὴ πρόσωπα, τόποι, χρόνοι ἢ ἄλλα πράγματα ἔμψυχα καὶ ἄψυχα, αἰσθητὰ καὶ νοητά, δὲν ἔχουν κατὰ τὸν ἴδιο πάντοτε τρόπο σκέψης σύμφωνη ἐξολοκλήρου μὲ τὸν ἑαυτό τους τὴν ἱστορία καὶ τὴ θεωρία (τὴν ἀφήγηση καὶ τὴν ἑρμηνεία). Γι' αὐτὸ ὅποιος ἐξασκεῖται νὰ λάβει σωστὰ τὴ θεία γνώση τῆς ἁγίας Γραφῆς, πρέπει, ἀνάλογα μὲ τὶς διαφορὲς ὅσων γίνονται καὶ λέγονται, διαφορετικὰ νὰ δέχεται καθένα ἀπὸ ὅσα ἀναφέρονται καὶ νὰ τοῦ ἀποδίδει τὴν κατάλληλη ἑρμηνεία ποὺ ἀπαιτεῖται σύμφωνα μὲ τὸν τόπο καὶ τὸ χρόνο. Γιατὶ τὸ ὄνομα καθενὸς ἀπὸ ὅσα σημαίνονται στὴ Γραφὴ ἔχει πολλὲς σημασίες, σύμφωνα μὲ τὶς δυνατότητες τῆς ἑβραϊκῆς γλώσσας, πράγμα ποὺ τὸ βρίσκομε σαφῶς καὶ ἐδῶ.

Τὸ ὄνομα λοιπὸν Ἰωνᾶς ἐπιδέχεται πολλὲς ἑρμηνεῖες·

1. Ἰωνᾶς 4,4.

'ἀνάπαυσις' καὶ 'δόμα Θεοῦ', 'ἴαμα Θεοῦ' καὶ 'Θεοῦ χάρις αὐτοῖς' καὶ 'πόνος Θεοῦ', καὶ 'περιστερὰ' καὶ 'φυγὴ κάλλους' καὶ 'διαπόνησις αὐτῶν'. Γίνεται δὲ οὗτος καὶ ἐν Ἰόππῃ καὶ ἐν θαλάσσῃ καὶ ἐν κήτει καὶ ἐν Νινευῇ καὶ ὑπὸ τὴν κολόκυνταν. Ἑρμηνεύεται δὲ Ἰόππη[2] 'κατασκοπὴ χαρᾶς' καὶ 'καλλονὴ θαυμαστή', καὶ 'χαρὰ δυνατή'. Οὐκοῦν Ἰωνᾶς ὁ προφήτης[3] τύπον φέρει καὶ τοῦ Ἀδὰμ καὶ τῆς κοινῆς φύσεως καὶ τοῦ Χριστοῦ καὶ τῆς προφητικῆς χάριτος καὶ τοῦ ἀγνώμονος καὶ ἐπὶ παντὶ καλῷ διαπονουμένου καὶ ταῖς θείαις ἀεὶ βασκαίνοντος χάρισι λαοῦ τῶν Ἰουδαίων. Οἷον, τοῦ μὲν Ἀδὰμ φέρει τύπον καὶ τῆς κοινῆς φύσεως φεύγων ἐξ Ἰόππης εἰς θάλασσαν καὶ διὰ τοῦτο κατὰ τὴν τῆς προσηγορίας αὐτοῦ δύναμιν 'φυγὴ κάλλους' καλούμενος. Ἰόππη δὲ δηλοῖ τυπούμενον ἐν αὐτῇ τὸν παράδεισον[4], τὸν ὄντως κατασκοπὴν χαρᾶς καὶ ὄντα καὶ ὀνομαζόμενον, καὶ 'χαρὰν δυνατὴν' καὶ 'καλλονὴν θαυμασίαν', διὰ τὸν ἐν αὐτῷ πλοῦτον τῆς ἀφθαρσίας, ὅστις ποτ' ἂν ἦν ὁ παράδεισος οὗτος ὁ χειρὶ Θεοῦ φυτευθείς. «Ἐφύτευσε». γάρ φησι, «Κύριος ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε»· καὶ τίνα τὰ ξύλα τὰ ἐν αὐτῷ, εἴτε θεωρούμενα εἴτε νοούμενα, καὶ τί τὸ ἐν μέσῳ τοῦ παραδείσου ξύλον τῆς ζωῆς, ὧν πάντων ἐσθίειν πρόσταγμα λαβὼν ὁ Ἀδάμ, τυχὸν οὐδὲ ἥψατο· «ἀπὸ παντὸς γὰρ ξύλου», φησί, «τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ».

Σημαίνει δὲ πάλιν ἡ Ἰόππη[5] τὴν ἀρετὴν καὶ τὴν γνῶσιν καὶ τὴν ἐπ' αὐταῖς σοφίαν· τὴν ἀρετὴν μὲν ὅταν ἑρμηνεύεται 'καλλονὴ θαυμαστή', τὴν δὲ γνῶσιν ὅταν ὡς 'κατασκοπὴ χαρᾶς' λαμβάνεται, τὴν δὲ σοφίαν ὁπηνίκα τὴν 'δυνατὴν' σημαίνει 'χαράν', καθ' ἣν τελειούμενος ἄνθρωπος τὴν ἀνεκλάλητον λαμβάνει χαράν, τὴν δυνατὴν καὶ ὄντως συνεκτικὴν τῆς κατὰ Θεὸν καὶ θείας τοῦ ἀνθρώπου συστάσεως, εἴπερ ἡ σοφία ξύλον ζωῆς

'ἀνάπαυση' γιὰ παράδειμα καὶ 'δῶρο Θεοῦ', 'θεραπεία Θεοῦ', 'χάρη Θεοῦ πρὸς αὐτοὺς' καὶ 'πόνος Θεοῦ' καὶ 'περιστέρι' καὶ 'φυγὴ τῆς ὀμορφιᾶς' καὶ 'καταπόνηση αὐτῶν'. Ὁ Ἰωνᾶς βρίσκεται καὶ στὴν Ἰόππη καὶ στὴ θάλασσα καὶ στὸ κῆτος καὶ στὴ Νινευὴ καὶ κάτω ἀπὸ τὴν κολοκυθιά. Ἰόππη ἑρμηνεύεται 'κατόπτευση χαρᾶς', 'καλλονὴ θαυμαστὴ' καὶ 'χαρὰ δυνατή'. Ὁ ποιμένας ὁ Ἰωνᾶς ὁ προφήτης ἔχει τὸν τύπο καὶ τοῦ Ἀδὰμ καὶ τῆς κοινῆς φύσης καὶ τοῦ Χριστοῦ καὶ τῆς προφητικῆς χάριτος καὶ τοῦ ἀγνώμονα κι ἐκείνου ποὺ κοπιάζει γιὰ κάθε καλὸ καὶ φθονεῖ τὴ θεϊκὴ εὔνοια στὸ λαὸ τῶν Ἰουδαίων. Συγκεκριμένα· ἔχει τὸν τύπο τοῦ Ἀδὰμ καὶ τῆς κοινῆς μας φύσης ὅταν φεύγει ἀπὸ τὴν Ἰόππη στὴ θάλασσα καὶ γι' αὐτὸ σύμφωνα μὲ τὴ σημασία τοῦ ὀνόματός του λέγεται 'φυγὴ ὀμορφιᾶς'. Ἡ Ἰόππη δηλώνει ὅτι ἀποτυπώνει τὸν παράδεισο, ποὺ εἶναι πραγματικὰ καὶ ὀνομάζεται 'κατόπτευση χαρᾶς' καὶ 'δυνατὴ χαρά' καὶ 'ὀμορφιὰ θαυμάσια', μὲ τὸν πλοῦτο τῆς ἀφθαρσίας ποὺ περικλείει, ὅποιος κι ἂν ἦταν αὐτὸς ὁ παράδεισος ποὺ τὸν φύτεψε τὸ χέρι τοῦ Θεοῦ. Γιατὶ λέει· «φύτεψε ὁ Κύριος ὁ Θεὸς παράδεισο στὴν Ἐδὲμ καὶ ἔβαλε ἐκεῖ τὸν ἄνθρωπο ποὺ ἔπλασε»[2]. Καὶ ποιά εἶναι τὰ δέντρα τοῦ παραδείσου ποὺ βλέπουν τὰ μάτια ἢ νοεῖ ὁ νοῦς, καθὼς καὶ τί εἶναι τὸ δέντρο τῆς ζωῆς στὸ μέσο τοῦ παραδείσου. Ἀπὸ ὅλα αὐτὰ ὁ Ἀδὰμ ἔλαβε ἄδεια νὰ φάει καὶ ἴσως οὔτε κὰν τὰ ἄγγιξε· γιατὶ λέει «ἀπὸ κάθε δέντρο ποὺ εἶναι μέσα στὸν παράδεισο θὰ πάρεις καὶ θὰ φᾶς»[3].

Σημαίνει ἀκόμα ἡ Ἰόππη τὴν ἀρετὴ καὶ τὴ γνώση καὶ τὴ σοφία ποὺ ἀποτελοῦν τὴν ἀρετή, ὅταν ἑρμηνεύεται θαυμαστὴ ὀμορφιά, καὶ τὴ γνώση, ὅταν θεωρεῖται κατόπτευση χαρᾶς. Σημαίνει τὴ σοφία, ὅταν δηλώνει τὴ δυνατὴ χαρά, σύμφωνα μὲ τὴν ὁποία τελειούμενος ὁ ἄνθρωπος δέχεται τὴν ἀνεκλάλητη χαρά, τὴ δυνατή, ποὺ ἀληθινὰ δίνει τὴ συνοχὴ στὴν κατὰ Θεὸν καὶ θεία σύσταση τοῦ ἀνθρώπου, ἐφόσον βέβαια «ἡ σοφία εἶναι

2. Γεν. 2,8. 3. Γεν. 2,16.

ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, κατὰ τὸ γεγραμμένον· «καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτήν, ὡς ἐπὶ Κύριον, ἀσφαλής». Φεύγουσαν γὰρ ἀεὶ τὴν Ἰόππην, τουτέστι τὴν ἕξιν τῆς ἀρετῆς καὶ τῆς γνώσεως καὶ τῆς ἐπ' αὐταῖς σοφίας τὴν χάριν, ὥσπερ ὁ Ἀδὰμ τὸν παράδεισον διὰ τῆς παρακοῆς, ὁρῶμεν τὴν φύσιν τῶν ἀνθρώπων, διὰ τὸ τὴν διάνοιαν αὐτῆς ἐπιμελῶς ἐγκεῖσθαι τοῖς πονηροῖς, καὶ εἰς τὴν θάλασσαν, λέγω δὲ τὴν ἅλμην τῆς ἁμαρτίας, ἑκουσίως κατασυρομένην, ὡς πρὸς τοῦτον τὸν κόσμον ἐκπεσὼν τοῦ παραδείσου ὁ προπάτωρ Ἀδὰμ κατεκυλίσθη, καὶ τὴν ἄστατον τῶν ὑλικῶν καὶ ἅλμην ἄλλως φέρουσάν τε καὶ φερομένην πλάνην τε καὶ σύγχυσιν ἐπιμελῶς περιέπουσαν, ἧς τοσοῦτόν ἐστι τὸ κέρδος τοῖς ἀντεχομένοις αὐτῆς, ὅσον μόνον ποντισθῆναι καὶ ὑπὸ τοῦ κήτους καταποθῆναι καὶ περιχυθῆναι ὕδωρ ἕως ψυχῆς, καὶ ἀπὸ τῆς ἐσχάτης ἀβύσσου κυκλωθῆναι καὶ δῦναι τὴν κεφαλὴν εἰς σχισμὰς ὀρέων καὶ κατελθεῖν εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι, ὡς πυθμένα δῆλον ὅτι τῆς ἐσχάτης ἀβύσσου τυγχάνουσαν, τὴν γῆν τὴν σκοτεινὴν ὄντως καὶ γνοφεράν, γῆν σκότους αἰωνίου, ἐν ᾗ οὐκ ἔστι φέγγος, οὐδὲ ὁρᾷν ζωὴν βροτῶν, ὥς πού φησιν ὁ μέγας καὶ τοῖς μεγάλοις ὑπὲρ ἀληθείας ἄθλοις διηγωνισμένος Ἰώβ.

Σημαίνει γοῦν τὸν Ἀδὰμ ὁ προφήτης, ἤγουν τὴν κοινὴν φύσιν τῶν ἀνθρώπων, ἐν ἑκάστῳ ταῦτα τυπῶν μυστικῶς, τήν, ὡς ἐξ Ἰόππης, τῶν θείων ἐξολισθήσασαν ἀγαθῶν καὶ πρὸς τήνδε τοῦ βίου καθάπερ θάλασσαν τὴν ταλαιπωρίαν κατενεχθεῖσαν, καὶ τῷ ἀστάστῳ καὶ πολυφλοίσβῳ πελάγει τῆς τῶν ὑλικῶν προσπαθείας καταποντισθεῖσαν(⁶), καὶ ὑπὸ τοῦ κήτους τοῦ νοητοῦ καὶ ἀπλήστου θηρὸς τοῦ διαβόλου καταποθεῖσαν, καὶ τὸ ὕδωρ πανταχόθεν τῶν ἐν κακίᾳ πειρασμῶν περιχυθὲν

τὸ δέντρο τῆς ζωῆς γιὰ ὅλους ὅσοι τὴ λαμβάνουν», σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «καὶ εἶναι ἀσφάλεια γιὰ ὅσους στηρίζονται σ' αὐτήν, σὰν πάνω στὸν Κύριο»[4]. Βλέπομε δηλαδὴ τὴ φύση τῶν ἀνθρώπων νὰ ἀποφεύγει πάντοτε, ὅπως ὁ Ἀδὰμ τὸν παράδεισο ἐξαιτίας τῆς παρακοῆς του, τὴν Ἰόππη, δηλαδὴ τὴν ἀρετὴ καὶ τὴ γνώση καὶ τὴ χάρη τῆς σοφίας ποὺ αὐτὲς δίνουν, ἐπειδὴ ἡ διάνοιά της τριγυρίζει μ' ἐπιμονὴ στὰ πονηρὰ καὶ κατασύρεται μὲ τὴ θέλησή της στὴ θάλασσα, δηλαδὴ στὸ ἁρμυρὸ νερὸ τῆς ἁμαρτίας, ὅπως ξεπέφτοντας ἀπὸ τὸν παράδεισο ὁ προπάτοράς μας Ἀδὰμ κατακυλίστηκε στὸν κόσμο τοῦτο, καὶ νὰ φροντίζει μ' ἐπιμέλεια τὴν ἄστατη τῶν ὑλικῶν πραγμάτων θάλασσα ποὺ πηγαινοφέρνει ἐδῶ κι ἐκεῖ μαζὶ σὰν ἄλλη ἁρμύρα καὶ τὴν πλάνη καὶ τὴ σύγχυση, τῆς ὁποίας τὸ κέρδος γιὰ ἐκείνους ποὺ τὴν ἐγκολπώνονται εἶναι τόσο, ὅσο νὰ καταποντιστοῦν μονάχα καὶ νὰ τοὺς καταπιεῖ τὸ κῆτος καὶ νὰ τοὺς κατακλύσουν τὰ νερὰ ὡς τὸ μεδούλι, νὰ τοὺς περικυκλώσει ἡ ἔσχατη ἄβυσσος, νὰ βουλιάξει τὸ κεφάλι τους σὲ σχισμὲς βουνῶν καὶ νὰ κατεβοῦν στὴ γῆ ποὺ αἰώνιοι μοχλοὶ τὴν κρατοῦν, γιατὶ εἶναι ὁλοφάνερα πυθμένας τῆς ἔσχατης ἀβύσσου, τὴ γῆ πραγματικὰ τὴ σκοτεινὴ καὶ ζοφερή, τὴ γῆ τοῦ αἰώνιου σκότους, ὅπου δὲν ὑπάρχει φεγγοβολή, οὔτε φαίνεται κάποια ζωὴ θνητῶν, ὅπως λέει κάπου ὁ μέγας Ἰὼβ ποὺ ἀγωνίστηκε τοὺς μεγάλους ἄθλους γιὰ χάρη τῆς ἀλήθειας.

Δηλώνει λοιπὸν ὁ προφήτης τὸν Ἀδάμ, δηλαδὴ τὴν κοινὴ φύση τῶν ἀνθρώπων, ἐντυπώνοντας ὅλα αὐτὰ μυστικὰ στὸν καθένα. Τὴ φύση, πού, σὰν ἀπὸ τὴν Ἰόππη, ξεγλίστρησε ἀπὸ τὰ θεῖα ἀγαθὰ καὶ σύρθηκε στὴν ταλαιπωρία τῆς ζωῆς αὐτῆς σὰν μέσα στὴ θάλασσα καὶ καταποντίσθηκε στὸ ἄστατο καὶ τρικυμισμένο πέλαγος τῆς προσκόλλησης στὰ ὑλικὰ καὶ ποὺ τὴν κατάπιε τὸ κῆτος, τὸ νοητὸ κι ἀχόρταγο θηρίο, ὁ διάβολος. Τὰ νερὰ τῶν πειρασμῶν τῆς κακίας τὴν κατάκλυσαν ὡς τὸ κόκκα-

4. Παροιμ. 3,18.

δεξαμένην ἕως ψυχῆς· ὡς περιχεθεῖσαν δηλαδὴ τοῖς πειρασμοῖς τῆς ζωῆς καὶ ὑπὸ τῆς ἐσχάτης ἀβύσσου κυκλωθῆναι, τουτέστιν ὑπὸ τῆς παντελοῦς ἀγνοίας καταδεθεῖσαν τὸν νοῦν καὶ περικλυσθῆναι τῷ πολλῷ βάρει τῆς κακίας τὸν λογισμόν, καὶ καταδῦσαι τὴν κεφαλὴν εἰς σχισμὰς ὀρέων, τουτέστι τὸν πρῶτον κατὰ τὴν πίστιν περὶ μονάδος Λόγον[7] ὡς κεφαλὴν τοῦ παντὸς σώματος τῶν ἀρετῶν, ὡς εἴς τινας σχισμὰς ἀφεγγεῖς ὀρέων τὰς διανοίας τῶν πονηρῶν δυνάμεων κατακλεισθεῖσαν καὶ εἰς πολλὰς δόξας καὶ φαντασίας καταμερισθεῖσαν. Σχισμὰς γὰρ ὀρέων τῶν ἐν τῷ βάθει που τῆς ἐσχάτης ἀβύσσου τῆς ἀγνοίας κειμένων τῆς πονηρίας πνευμάτων περὶ πλάνην ἐνοίας εἶπεν ὁ λόγος, καὶ κατελθοῦσαν εἰς τὴν τῆν[8], ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι, τουτέστι πρὸς τὴν πάσης αἰσθήσεως θείας ἔρημον καὶ ζωτικῆς κινήσεως ἀρετῶν ἐστερημένην ἕξιν κατενεχθεῖσαν, τὴν μηδεμίαν παντελῶς ἔχουσαν αἴσθησιν ἀγαθότητος καὶ Θεοῦ κατ' ἔννοιαν ἐφέσεως κίνησιν, ἐφ' ἧς βέβηκεν καθάπερ ἄβυσσος[9] τῆς ἀγνοίας ὁ ζόφος καὶ τὸ ἀνήκεστον βάθος τῆς κακιάς, καὶ τὰ ὄρη τῆς πλάνης ἐρρίζωται, τὰ πνευματικὰ λέγω τῆς πονηρίας, ὧν πρότερον ταῖς σχισμαῖς εἰσδῦσα, γέγονεν ὕστερον βάσις διὰ τὴν κακίστην ἕξιν ἡ φύσις τῶν ἀνθρώπων, ὡς δεκτικὴ τῆς αὐτῶν πλάνης καὶ πονηρίας. Τὴν ἔχουσαν καθάπερ αἰωνίους μοχλοὺς[10] τὰς ἐνδιαθέτους προσπαθείας τῶν ὑλικῶν τὰς οὐκ ἐώσας τὴν διάνοιαν, τοῦ σκότους τῆς ἀγνοίας ἀπαλλαγεῖσαν, τὸ φῶς ἰδεῖν τῆς ἀληθοῦς ἐπιγνώσεως, ἥντινα τυχὸν ἕξιν, ὡς μικρῷ πρόσθεν ἔφην, ὁ μέγας Ἰὼβ αἰνιττόμενος ἔφη, «γῆν σκοτεινὴν καὶ γνοφεράν», γῆν σκότους αἰωνίου. Σκοτεινὴν μὲν ὡς πάσης ἀληθοῦς ἔρημον γνώσεώς τε καὶ θεωρίας, γνοφερὰν δὲ ὡς πάσης ἀρετῆς ἐστερημένην καὶ πράξεως, ἐν ᾗ, φησίν, «οὐκ ἔστι φέγγος», δηλαδὴ γνώσεως καὶ ἀληθείας[11], «οὐδὲ ὁρᾶν ζωὴν βροτῶν», τὴν λογικοῖς δηλονότι πρέπουσαν ἀγωγήν.

λο, κατακλύσθηκε δηλαδὴ ἀπὸ τοὺς πειρασμοὺς τῆς ζωῆς καὶ τὴν περικύκλωσε ἡ ἔσχατη ἄβυσσος. Ὅτι δηλαδὴ δεσμεύτηκε ὁ νοῦς της ἀπὸ τὴν πλήρη ἄγνοια καὶ ὁ λογισμός της βούλιαξε ἀπὸ τὸ πολὺ βάρος τῆς κακίας καὶ τὸ κεφάλι βουτήχτηκε στὶς σχισμὲς τῶν βουνῶν, δηλαδὴ ὁ πρῶτος λόγος τῆς πίστης μας περὶ μονάδας, ὡς κεφάλι τοῦ ὅλου σώματος τῶν ἀρετῶν, φυλακίστηκε σὲ κάποιες ἀφώτιστες σχισμὲς βουνῶν, τὶς σκέψεις τῶν πονηρῶν δυνάμεων καὶ διαμερίστηκε σὲ πολλὲς γνῶμες καὶ φαντασίες. Σχισμὲς βουνῶν εἶπε βέβαια ὁ λόγος τὶς πλανημένες ἔννοιες τῶν πονηρῶν πνευμάτων ποὺ κείτονται στὸ βάθος τῆς ἔσχατης ἀβύσσου τῆς ἄγνοιας. Κι ἀφοῦ κατέβηκε στὴ γῆ, ποὺ οἱ μοχλοί της τὴν κατέχουν αἰώνια, δηλαδὴ ὅταν κατασύρθηκε στὴν ἕξη τὴν ἔρημη ἀπὸ κάθε θεία αἴσθηση καὶ στερημένη ἀπὸ κάθε ζωτικὴ κίνηση τῶν ἀρετῶν, ποὺ δὲν ἔχει ἀπολύτως καμμιὰ αἴσθηση τῆς ἀγαθότητας καὶ δὲν κινεῖται μέσα της κανένας πόθος Θεοῦ, ὅπου πάνω της ἁπλώθηκε σὰν ἄβυσσος ὁ ζόφος τῆς ἄγνοιας καὶ τὸ ἀθεράπευτο πάθος τῆς κακίας. Κι ὅπου ἔχουν ριζώσει τὰ ὄρη τῆς πλάνης, ἐννοῶ τὰ πνεύματα τῆς πονηρίας[5], στῶν ὁποίων τὶς σχισμὲς εἰσχώρησε πρῶτα κι ἔγινε ὕστερα ἡ φύση τῶν ἀνθρώπων βάση γιὰ τὴν κάκιστη ἕξη, ἐπειδὴ ἐπιδέχεται τὴν πλάνη καὶ τὴν πονηρία τους. Αὐτὴ ἔχει σὰν αἰώνιους μοχλοὺς κάθε ἐνδιάθετη προσκόλληση στὰ ὑλικὰ ποὺ δὲν ἀφήνουν τὴ διάνοια, ἀπαλλαγμένη ἀπὸ τὸ σκότος τῆς ἄγνοιας, νὰ δεῖ τὸ φῶς τῆς ἀληθινῆς ἐπίγνωσης, γιὰ τὴν ὁποία ἕξη ἴσως, ὅπως εἶπα λίγο πιὸ πρίν, κάνοντας ὑπαινιγμὸ ὁ μέγας Ἰὼβ τὴν εἶπε «γῆ σκοτεινὴ καὶ ζοφερή»[6], γῆ τοῦ αἰώνιου σκότους. Σκοτεινή, γιατὶ εἶναι ἔρημη ἀπὸ κάθε ἀληθινὴ γνώση καὶ θεωρία· ζοφερή, ἐπειδὴ εἶναι στερημένη ἀπὸ κάθε ἀρετὴ καὶ πράξη. «Σ' αὐτή», λέει, «δὲν ὑπάρχει φέγγος», δηλαδὴ φέγγος γνώσης κι ἀλήθειας, «οὔτε βλέπεις τὴ ζωὴ τῶν θνητῶν»[7], τὴ ζωὴ δηλαδὴ ποὺ ἁρμόζει σὲ λογικὰ ὄντα.

5. Ἐφ. 6,12. 6. Ἰὼβ 10,21. 7. Ἰὼβ 10,21.

Ἐν τούτοις μὲν γίνεται τυχόν, ὁπηνίκα τὰ πάθη τυπῶν ἐν ἑαυτῷ τῆς ἀνθρωπότητος ὁ προφήτης, εἰς ἅπερ ἐλεεινῶς ἑαυτὴν κατεσκεύασε, τὰ τῆς κοινῆς οἰκειούμενος φύσεως, καὶ ἐφαρμόζεται δεόντως αὐτῷ, τυποῦντι τὸν Ἀδάμ, τῆς προσηγορίας ὁ νοῦς, «φυγὴ κάλλους' ἑρμηνευόμενος. Ἡνίκα δὲ τὸν δι' ἡμᾶς ἐν τοῖς ἡμῶν καθ' ἡμᾶς διὰ σαρκὸς νοερῶς ἐψυχωμένης χωρὶς μόνης ἁμαρτίας γενόμενον Θεὸν προδιατυποῖ καὶ τὸ τῆς οἰκονομίας καὶ τῶν κατ' αὐτὴν παθημάτων προδιαγράφει μυστήριον, τὴν μὲν ἀπ' οὐρανῶν εἰς τὸν κόσμον τοῦτον σημαίνει κάθοδον διὰ τῆς ἐξ Ἰόππης εἰς τὴν θάλασσαν μεταβάσεως[12], τὸ δὲ τοῦ θανάτου καὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως μυστήριον ὑπὸ τοῦ κήτους δηλοῖ καταπινόμενος καὶ μετὰ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἀπαθὴς ἐκδιδόμενος. Καὶ διὰ τοῦτο προσφόρως κατὰ τὴν τῆς κλήσεως δύναμιν 'ἀνάπαυσις' καὶ 'ἴασις Θεοῦ' καὶ 'Θεοῦ χάρις αὐτοῖς', τυχὸν δὲ 'καὶ πόνος Θεοῦ', διὰ τὸ πάθος τὸ ἑκούσιον, καλῶς ὀνομαζόμενος. Τὴν γὰρ ἀληθινὴν τῶν ἐν ὀδύναις κεκοπωμένων ἀνάπαυσιν[13] καὶ τὴν ἴασιν τῶν συντετριμμένων καὶ τὴν χάριν τῆς τῶν ἁμαρτημάτων ἀφέσεως, Χριστὸν Ἰησοῦν τὸν ἀληθινὸν Θεὸν ὁ προφήτης διὰ τῶν οἰκείων δραμάτων μυστικῶς προδιέγραψεν. Αὐτὸς γὰρ ὁ Κύρος ἡμῶν καὶ Θεὸς γενόμενος ἄνθρωπος καὶ τῷ πελάγει τοῦ βίου τοῦ καθ' ἡμᾶς ἐνδημήσας, ὡς ἀπ' οὐρανοῦ, τῆς Ἰόππης ἑρμηνευομένης 'κατασκοπὴ χαρᾶς', εἰς τὴν θάλασσαν τοῦδε τοῦ κόσμου, κατὰ τὸ γεγραμμένον, «ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμενε σταυρόν, αἰσχύνης καταφρονήσας», καὶ εἰς τὴν καρδίαν τῆς γῆς, ἔνθα διὰ τοῦ θανάτου καταπιὼν ἡμᾶς εἶχεν ὁ πονηρὸς καθειργμένους, καταβὰς ἑκουσίως, καὶ διὰ τῆς ἀναστάσεως ἀνασπάσας, πρὸς οὐρανὸν ὅλην τὴν κεκρατημένην φύσιν ἀναγαγών, ἀνάπαυσις ἡμῶν κατ' ἀλήθειαν ὑπάρχει καὶ ἴασις καὶ χάρις[14]· ἀνάπαυσις μέν, ὡς τὸν νόμον τῆς ἐν σαρκὶ

Σ' αὐτὰ ἴσως ἔρχεται ὁ προφήτης ὅταν, δίνοντας μὲ τὸν ἑαυτό του τὸν τύπο τῶν παθῶν τῆς ἀνθρωπότητας, στὰ ὁποῖα αὐτὴ ὑποτάχθηκε μὲ τρόπο ἐλεεινό, κάνει δικά του ὅλα ὅσα ἀνήκουν στὴν κοινή μας φύση, κι ἐφαρμόζεται πολὺ ταιριαστὰ σ' αὐτόν, ποὺ ἀποτελεῖ τὸν τύπο τοῦ Ἀδάμ, τὸ νόημα τοῦ ὀνόματος ποὺ ἑρμηνεύεται 'φυγὴ ὀμορφιᾶς'. Ὅταν ὅμως προτυπώνει τὸ Θεὸ ποὺ ἦρθε σ' ἐμᾶς γιὰ χάρη μας σύμφωνα μ' ἐμᾶς, μὲ σάρκα δηλαδὴ ποὺ εἶχε ψυχὴ νοερή, χωρὶς ἁμαρτία μόνο, προδιαγράφει καὶ τὸ μυστήριο τῆς οἰκονομίας καὶ τὰ παθήματα ποὺ τὴ συνοδεύουν. Καὶ τὴν κάθοδο βέβαια ἀπὸ τὸν οὐρανὸ στὸν κόσμο τοῦτο τὴ σημαίνει μὲ τὴ μετάβαση στὴ θάλασσα ἀπὸ τὴ Ἰόππη, ἐνῶ τὸ μυστήριο τοῦ θανάτου καὶ τῆς ταφῆς καὶ τῆς ἀνάστασης τὸ δηλώνει, ὅταν τὸν καταπίνει τὸ κῆτος καὶ βγαίνει ἀπαθὴς μετὰ τρεῖς μέρες καὶ τρεῖς νύχτες. Καὶ γι' αὐτὸ πρόσφορα καὶ καλὰ ὀνομάζεται αὐτὸ ποὺ σημαίνει ἡ ὀνομασία, 'ἀνάπαυση' δηλαδὴ καὶ 'θεραπεία τοῦ Θεοῦ' καὶ 'δωρεὰ τοῦ Θεοῦ' σ' αὐτούς, καὶ ἴσως 'πόνος Θεοῦ' ἐξαιτίας τοῦ ἑκούσιου πάθους. Γιατὶ ὁ προφήτης μὲ τὰ ὁράματά του προδιέγραψε μυστικὰ τὴν ἀληθινὴ ἀνάπαυση ἐκείνων ποὺ ἐξάντλησαν οἱ ὀδύνες καὶ τὴν θεραπεία ἐκείνων ποὺ ἔχουν ὑποστεῖ τὴ συντριβὴ καὶ τὴ χάρη τῆς ἄφεσης τῶν ἁμαρτημάτων, δηλαδὴ τὸν Χριστὸ Ἰησοῦ, τὸν ἀληθινὸ Θεό. Γιατὶ ὁ ἴδιος ὁ Κύριος καὶ Θεός μας, ὅταν ἔγινε ἄνθρωπος καὶ βρέθηκε μέσα στὸ πέλαγος τῆς ζωῆς μας, σὰν κατόπτευση χαρᾶς ἀπὸ τὸν οὐρανό, ὅπως ἑρμηνεύεται ἡ Ἰόππη, ἀφοῦ κατέβηκε θέλοντας στὴ θάλασσα τοῦ κόσμου τούτου σύμφωνα μὲ τὸ χωρίο, «ὁ ὁποῖος ἀντὶ τὴ χαρὰ ποὺ ἦταν μπροστά του ὑπέμεινε τὸ σταυρό, καταφρονώντας τὴν αἰσχύνη»[8] καὶ στὴν καρδιὰ τῆς γῆς, ὅπου ἀφοῦ μᾶς κατάπιε μὲ τὸ θάνατο μᾶς εἶχε φυλακίσει ὁ πονηρός, καὶ ἀφοῦ μᾶς ἅρπαξε μὲ τὴν ἀνάσταση καὶ ἀνέβασε στὸν οὐρανὸ ὅλη τὴ φυλακισμένη φύση μας, εἶναι ἀληθινὰ ἀνάπαυσή μας καὶ θεραπεία καὶ χάρη· ἀνάπαυση,

8. Ἑβρ. 12,2.

διὰ τὴν πρόσκαιρον ζωὴν περιστατικῆς λύων δουλείας· ἴασις δέ, ὡς τὸ σύντριμμα τοῦ θανάτου καὶ τῆς φθορᾶς διὰ τῆς ἀναστάσεως ἐξιασάμενος· χάρις δέ, ὡς τῆς ἐν πνεύματι διὰ πίστεως υἱοθεσίας καὶ τῆς ἐπαξίως ἑκάστου κατὰ τὴν θέωσιν χάριτος διανομεύς. Ἔδει γάρ, ἔδει κατὰ ἀλήθειαν εἰς ἐκείνην γενέσθαι τὴν γῆν τὸ φῶς καὶ τὴν δύναμιν τοῦ Θεοῦ καὶ Πατρός, ἐν ᾗ τὸ σκότος ὑπῆρχε καὶ οἱ μοχλοὶ αἰώνιοι, ἵνα, τὸ σκότος λύσας τῆς ἀγνοίας, οἷα δὴ πνευματικὸν φῶς ὑπάρχων, καὶ τοὺς μοχλοὺς τῆς κακίας συντρίψας, ὡς ἐνυπόστατος Θεοῦ δύναμις, τὴν τούτοις δεινῶς ὑπὸ τοῦ πονηροῦ κατησφαλισμένην ἐλευθερώσῃ φύσιν, δωρούμενος αὐτῇ φῶς ἀληθοῦς γνώσεως ἄσβεστον καὶ δύναμιν ἀρετῶν ἀναφαίρετον.

Ὁπηνίκα δὲ τὴν προφητικὴν χάριν, ὡς ἔκ τινος Ἰόππης[15]*, τῆς τέως ἐνδόξου νομιζομένης τῆς τοῦ νόμου λατρείας, εὐαγγελικῶς εἰς τὰ ἔθνη μεταβαίνουσαν καὶ τὸν ἰουδαϊκὸν λαὸν διὰ τὴν αὐτῶν ἀπιστίαν τῆς κατ' αὐτὴν χαρᾶς ἔρημον καταλιμπάνουσαν, καὶ διὰ πολλῶν θλίψεων, κινδύνων τε καὶ περιστάσεων, καὶ πόνων καὶ διωγμῶν καὶ θανάτων, τὴν τῶν ἐθνῶν, καθάπερ Νινευή, πρὸς τὸν Θεὸν ἐπιστρέφουσαν Ἐκκλησίαν ἑαυτῷ τυποῖ, μυστικῶς ὁ προφήτης τὴν Ἰόππην ἀφίησι, τῆς κατὰ νόμον δηλαδὴ λατρείας ἀφιστάμενος, τὴν χάριν σημαίνων τῆς προφητείας καὶ ἐν τῇ θαλάσσῃ γινομένην τῶν ἀκουσίων περιστάσεων καὶ τῶν ἐπ' αὐταῖς ἀγώνων καὶ πόνων καὶ κινδύνων, καὶ ὑπὸ τοῦ κήτους τοῦ θανάτου καταπινομένην μέν, οὐδαμῶς δὲ παντελῶς διαφθειρομένην. Οὐ γὰρ ἴσχυσε τὸν δρόμον τῆς εὐαγγελικῶς τοῖς ἔθνεσι καταγγελθείσης κωλῦσαι χάριτος τῶν ὄντων οὐδέν· οὐ θλῖψις, οὐ στενοχωρία, οὐ διωγμός, οὐ λιμός, οὐ κίνδυνος, οὐ μάχαιρα· τοὐναντίον μὲν οὖν διὰ τούτων ἡ χάρις ἐβεβαιώθη, πάντων τῶν ἐπαναστάντων κρατήσασα, καὶ ἐν τῷ πάσχειν, πλέον τοὺς δρῶντας νικήσασα, καὶ τὴν φύσιν πλανωμένην ἐπέστρεψεν ἐπὶ Θεὸν ζῶντα καὶ ἀληθινόν,*

ἐπειδὴ καταργεῖ τὸ νόμο τῆς περιστασιακῆς δουλείας στὴ σάρκα γιὰ τὴν πρόσκαιρη ζωή· θεραπεία, ἐπειδὴ θεράπευσε μὲ τὴν ἀνάσταση τὴ συντριβὴ τοῦ θανάτου καὶ τῆς φθορᾶς· καὶ χάρη, ἐπειδὴ αὐτὸς μοιράζει μὲ τὴν πίστη τὴν πνευματικὴ υἱοθεσία καὶ τὴ δωρεὰ τῆς θέωσης ὅπως ἀξίζει στὸν καθένα. Γιατὶ ἔπρεπε, πραγματικὰ ἔπρεπε νὰ φτάσει στὴ χώρα ἐκείνη τὸ φῶς καὶ ἡ δύναμη τοῦ Θεοῦ καὶ Πατέρα, ὅπου βασίλευε τὸ σκότος καὶ οἱ μοχλοὶ οἱ αἰώνιοι, γιὰ νὰ διαλύσει τὸ σκότος τῆς ἄγνοιας, σὰν πνευματικὸ φῶς ποὺ ἦταν, καί, συντρίβοντας τοὺς μοχλοὺς τῆς κακίας, σὰν ἐνυπόστατη δύναμη Θεοῦ, νὰ ἐλευθερώσει τὴ φύση ποὺ ἦταν μ' αὐτοὺς σκληρὰ ἀσφαλισμένη ἀπὸ τὸν πονηρό, χαρίζοντας σ' αὐτὴ τὸ ἄσβηστο φῶς τῆς ἀληθινῆς γνώσης καὶ τὴν ἀναφαίρετη δύναμη τῶν ἀρετῶν.

Ὅταν ὅμως ὁ προφήτης εἰκονίζει μὲ τὸν ἑαυτό του τόσο τὴν προφητικὴ χάρη, πού, σὰν ἀπὸ κάποια Ἰόππη, τὴν παλιὰ λατρεία τοῦ νόμου ποὺ νομιζόταν ἔνδοξη, μεταβαίνει μὲ τὸ Εὐαγγέλιο στὰ ἔθνη, ὅσο κι ὅταν ἐγκαταλείπει γιὰ τὴν ἀπιστία του τὸν Ἰουδαϊκὸ λαὸ ἀπὸ τὴ χαρὰ ποὺ τοῦ ἔδινε, καὶ τὴν Ἐκκλησία τῶν ἐθνῶν ποὺ σὰν τὴ Νινευὴ ἐπιστρέφει στὸ Θεὸ μὲ πολλὲς θλίψεις καὶ κινδύνους καὶ δυσκολίες καὶ πόνους καὶ διωγμοὺς καὶ θανάτους, τότε ὁ προφήτης ἀφήνει μυστικὰ τὴν Ἰόππη, ἀπομακρύνεται δηλαδὴ ἀπὸ τὴ νομικὴ λατρεία, δηλώνοντας τὴ χάρη τῆς προφητείας, ποὺ ρίχνεται καὶ στὴ θάλασσα τῶν ἀκουσίων περιστάσεων καὶ στοὺς ἀγῶνες καὶ τοὺς κόπους καὶ τοὺς κινδύνους τους, καὶ ποὺ τὸ κῆτος τοῦ θανάτου τὴν καταπίνει, δὲν μπορεῖ ὅμως νὰ τὴν ἀφανίσει ὁλότελα μὲ κανένα τρόπο. Γιατὶ δὲν μπόρεσε κανένα ἀπὸ τὰ ὄντα νὰ ἐμποδίσει τὴν πορεία τῆς χάριτος ποὺ κηρύχτηκε στὰ ἔθνη, οὔτε θλίψη, οὔτε στενοχώρια, οὔτε διωγμός, οὔτε πείνα, οὔτε κίνδυνος, οὔτε μάχαιρα, ἀλλὰ τὸ ἀντίθετο, μὲ αὐτὰ ὅλα ἡ χάρη στερεώθηκε ὑπερισχύοντας σὲ ὅλα ποὺ τῆς ἐπιτέθηκαν. Καὶ ἐνῶ ὑφίστατο παθήματα, νίκησε ἀκόμα περισσότερο τοὺς δράστες κι ἐπέστρεψε τὴ φύση μας, ποὺ πλανιόταν, στὸ Θεὸ τὸν ζῶντα κι ἀληθινό,

ὥσπερ Ἰωνᾶς τὴν Νινευή. Κἂν ἐδόκει διὰ τῆς ἐπηρείας τῶν διωγμῶν καλύπτειν τὴν χάριν ὁ πονηρός, ὡς τὸν προφήτην τὸ κῆτος, ἀλλ' εἰς τέλος κατέχειν οὐκ ἠδυνήθη, τῆς ἐνεργούσης τὴν χάριν δυνάμεως ἀλλοιῶσαι τὴν ἰσχὺν οὐ δυνάμενος· ὅθεν καὶ λαμπροτέραν μᾶλλον ἐποίει μετὰ τὴν πεῖραν τῶν ἐναντίων τὴν χάριν ἐν τοῖς αὐτῆς φοιτηταῖς διαφαίνεσθαι, τοσοῦτον, ὅσον αὐτὸς ταῖς προβολαῖς τὴν οἰκείαν ἐπεφθείρετο δύναμιν[16]*, ὁρῶν ἑαυτῷ παντάπασιν τὴν χάριν οὐ μόνον ἀνάλωτον, ἀλλὰ καὶ τὴν φυσικὴν τῶν καταγγελλόντων αὐτὴν τοῖς ἔθνεσι ἁγίων ἀσθένειαν, ἰσχὺν τῆς αὐτοῦ καθαιρετικὴν δυνάμεως γενομένην καὶ παντὸς ὕψους ἐπαιρομένου κατὰ τῆς γνώσεως τοῦ Θεοῦ παντελῶς ἀφανιστικήν, καὶ τῷ δοκεῖν σωματικῶς ἁλῶναι ταῖς ἐπηρείαις μᾶλλον πνευματικῶς δυναμουμένην.*

Ὅπερ ἐκ τοῦ παθεῖν τῇ πείρᾳ μαθὼν ὁ ἐν καινότητι τοῦ Πνεύματος, ἀλλ' οὐ παλαιότητι γράμματος, τῆς ἐν Χριστῷ πρὸς τὰ ἔθνη διάκονος προφητικῆς γενόμενος χάριτος, Παῦλος ἡ μεγάλη σάλπιγξ τῆς ἀληθείας, «ἔχομεν», φησί, «τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι», θησαυρὸν λέγων τὸν λόγον τῆς χάριτος, ὀστράκινον δὲ σκεῦος τὸ σῶμα τοῦτο τὸ παθητόν, ἢ τὴν ἐν τῷ λόγῳ τῷ κατὰ προφορὰν νομιζομένην ἰδιωτείαν, τὴν πᾶσαν τοῦ κόσμου τὴν σοφίαν νικήσασαν, ἢ χωρήσασαν, καθὼς ἐστιν ἐφικτόν, τὴν ἀχώρητον τῷ κόσμῳ παντάπασιν τοῦ Θεοῦ σοφίαν καὶ τοῦ κατ' αὐτὴν φωτὸς τῆς ἀληθοῦς ἐπιγνώσεως τὴν οἰκουμένην ὅλην πληρώσασαν. «Ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν· ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. Πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ

ὅπως ὁ Ἰωνᾶς τὴ Νινευή. Ἂν καὶ νόμιζε ὁ πονηρὸς ὅτι μὲ τὴ δοκιμασία τῶν διωγμῶν θὰ κάλυπτε τὴ χάρη, ὅπως τὸ κῆτος τὸν προφήτη, δὲν μπόρεσε ὅμως νὰ τὴν κρατήσει ὡς τὸ τέλος, γιατὶ τοῦ ἦταν ἀδύνατο νὰ ἐπηρεάσει τὴ δύναμη ποὺ ἐνεργοῦσε τὴ χάρη. Γι' αὐτὸ κι ἔκανε τὴ χάρη νὰ διαλάμπει στοὺ μαθητὲς πολὺ πιὸ λαμπρὴ μετὰ τὴν ἐπιδρομὴ τῶν ἀντίθετων, τόσο, ὅσο ὁ ἴδιος μὲ τὶς προσβολὲς κατέστρεφε τὴ δική του δύναμη βλέποντας τὴ χάρη νὰ μένει ὄχι μόνο τελείως ἀνάλωτη, ἀλλὰ καὶ τὴ φυσικὴ ἀδυναμία τῶν ἁγίων ποὺ τὴν κήρυτταν στὰ ἔθνη νὰ γίνεται δύναμη ποὺ καθαιροῦσε τὴ δική του δύναμη κι ἀφάνιζε τελείως κάθε ὕψος ποὺ ἐπαιρόταν εἰς βάρος τῆς γνώσης τοῦ Θεοῦ. Καὶ νομίζοντας ὅτι τοὺς αἰχμαλώτιζε σωματικὰ μὲ τοὺς πειρασμούς, τοὺς δυνάμωνε πνευματικὰ περισσότερο.

Αὐτὸ μαθαίνοντας μὲ τὰ παθήματα, αὐτὸς ποὺ μὲ τὸ καινὸ Πνεῦμα κι ὄχι μὲ τὴν παλαιότητα τοῦ γράμματος, αὐτὸς ποὺ ἔγινε διάκονος τῆς προφητικῆς χάριτος τοῦ Χριστοῦ πρὸς τὰ ἔθνη, ὁ Παῦλος, ἡ μεγάλη σάλπιγγα τῆς ἀλήθειας, λέει· «ἔχομε τὸ θησαυρὸ τοῦτο σὲ σκεύη πήλινα»[9]· θησαυρὸ λέει τὸ λόγο τῆς χάριτος, πήλινο σκεῦος τὸ σῶμα τοῦτο μὲ τὰ πάθη του ἢ τὴν νομιζόμενη ἀπειρία στὸν προφορικὸ λόγο, ποὺ νίκησε ὅλη τὴ σοφία τοῦ κόσμου, ἢ ποὺ χώρεσε, ὅσο εἶναι δυνατό, τὴν τελείως ἀχώρητη στὸν κόσμο σοφία τοῦ Θεοῦ καὶ γέμισε ὅλη τὴν οἰκουμένη μὲ τὸ φῶς τῆς ἀληθινῆς ἐπίγνωσης. «Γιὰ νὰ προέρχεται ἡ ὑπερβολὴ τῆς δύναμης ἀπὸ τὸ Θεὸ καὶ ὄχι ἀπὸ ἐμᾶς. Κι ἐνῶ ἀντιμετωπίζομε ἀπὸ παντοῦ θλίψεις, ὅμως δὲν στενοχωρούμαστε. Βρισκόμαστε σὲ ἀδιέξοδο, ὅμως δὲν ἀπελπιζόμαστε. Μᾶς καταδιώκουν, ἀλλὰ ὁ Θεὸς δὲ μᾶς ἐγκαταλείπει. Φαίνεται νὰ καταβαλλόμαστε καὶ νὰ πέφτομε, ἀλλὰ δὲν χανόμαστε. Περιφέρομε πάντοτε στὸ σῶμα μας τὴ νέκρωση τοῦ Ἰησοῦ, γιὰ νὰ φανερωθεῖ στὸ σῶμα μας καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ. Πάντοτε δηλαδὴ ἐμεῖς οἱ ζωντανοὶ παραδίνομε τὸν ἑαυτό μας στὸ θάνατο γιὰ

9. Β' Κορ. 4,7.

ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Ὥστε ὁ θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν». Ὑπὲρ ἀληθείας γὰρ τὸν ἐν τοῖς παθήμασι καθ' ἑκούσιον γνώμην ἀνευθύνως ὑπομένοντες θάνατον[17]*, οἱ τοῦ λόγου τῆς χάριτος γενόμενοι κήρυκες, τὴν ἐν Πνεύματι κατ' ἐπίγνωσιν ἀληθείας ζωὴν ἐνήργουν τοῖς ἔθνεσιν, ὥσπερ δὴ καὶ ὁ ταύτην τὴν χάριν προδιατυπώσας ἐν ἑαυτῷ μυστικῶς πέπονθεν Ἰωνᾶς, τοὺς τοσούτους αὐτὸς ἀνατλὰς κινδύνους, ἵνα πρὸς τὸν Θεὸν ἐκ πλάνης ἐπιστρέψῃ τοὺς Νινευΐτας, καὶ διὰ τοῦτο κατὰ τὴν ἐνοῦσαν τῷ ὀνόματι δύναμιν, 'Θεοῦ δόμα' καὶ 'Θεοῦ πόνος' καλῶς ἑρμηνευόμενος. Δόμα γὰρ Θεοῦ καὶ δῶρον ὡς ἀληθῶς προσφιλὲς καὶ φιλάθρωπον, καὶ θεῖος πόνος καὶ ἐπαινούμενος ἡ πρὸς τὰ ἔθνη χάρις τῆς προφητείας ἐστίν. Δόμα μέν, ὡς φῶς δωρουμένη γνώσεως ἀληθοῦς καὶ ζωῆς ἀφθαρσίαν περεχομένη τοῖς ὑποδεχομένοις αὐτήν· Θεοῦ δὲ πόνος, ὡς πείθουσα τοῖς ὑπὲρ ἀληθείας ἐγκαλλωπίζεσθαι πόνοις τοὺς αὐτῆς διακόνους, καὶ πλέον ἐμπλατύνεσθαι διδάσκουσα τοῖς παθήμασιν, ἢ ταῖς ἀνέσεσιν, τοὺς τῆς ἐν σαρκὶ ζωῆς ἄγαν φροντίζοντας ὑπόστασιν αὐτοῖς ὑπερβαλλούσης κατὰ πνεῦμα δυνάμεως*[18] *ποιουμένη τὴν κατὰ φύσιν τῆς σαρκὸς περὶ τὸ πάσχειν ἀσθένειαν.*

Ὁ γὰρ λόγος τῆς χάριτος διὰ πολλῶν πειρασμῶν πρὸς τὴν τῶν ἀνθρώπων φύσιν, ἤγουν τὴν τῶν ἐθνῶν Ἐκκλησίαν, ὥσπερ Ἰωνᾶς διὰ πολλῶν θλίψεων πρὸς Νινευὴ διαβὰς τὴν πόλιν τὴν μεγάλην, ἔπεισε τὸν βασιλεύοντα νόμον τῆς φύσεως ἐξαναστῆναι τοῦ θρόνου[19]*, τῆς προτέρας περὶ τὸ κακὸν δηλαδὴ κατα τὴν αἴσθησιν ἕξεως, καὶ περιελέσθαι τὴν στολὴν αὐτοῦ, τὸν ἐπὶ τοῖς ἤθεσιν λέγω τῆς κοσμικῆς δόξης ἀποθέσθαι*

τὸν Ἰησοῦ, γιὰ νὰ φανερωθεῖ καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ στὸ θνητό μας σῶμα. Ὥστε ἐμεῖς βρισκόμαστε συνέχεια κάτω ἀπὸ τὸν κίνδυνο τοῦ θανάτου, ἐνῶ σ' ἐσᾶς παρέχεται ἡ ζωή»[10]. Ὑπομένοντας δηλαδὴ μὲ ἑκούσια γνώμη γιὰ χάρη τῆς ἀλήθειας ἐκεῖνοι ποὺ ἔγιναν κήρυκες τοῦ λόγου τῆς χάριτος τὸ θάνατο μὲ βασανιστήρια χωρὶς ὅμως νὰ εἶναι ἔνοχοι σὲ κάτι, πραγματοποιοῦσαν μέσα στὰ ἔθνη τὴν πνευματικὴ ζωὴ κατ' ἐπίγνωση τῆς ἀλήθειας. Ὅπως ἀκριβῶς βέβαια ἔπαθε κι αὐτὸς ποὺ προτύπωσε τὴ δωρεὰ αὐτὴ μυστικὰ μὲ τὸν ἑαυτό του, δηλαδὴ ὁ Ἰωνᾶς, ὑποφέροντας κι αὐτὸς τοὺς τόσο πολλοὺς κινδύνους, γιὰ νὰ ἐπιστρέψει στὸ Θεὸ ἀπὸ τὴν πλάνη τοὺς Νινευίτες, καὶ γι' αὐτό, σύμφωνα μὲ τὴ σημασία τοῦ ὀνόματος, ἑρμηνεύεται σωστὰ ὡς 'δῶρο Θεοῦ' καὶ 'Θεοῦ κόπος'. Γιατὶ εἶναι ἀληθινὰ δόση καὶ δῶρο Θεοῦ, προσφιλὲς καὶ φιλάνθρωπο, καὶ πόνος θεῖος καὶ ἐπαινούμενος εἶναι ἡ δωρεὰ τῆς προφητείας στὰ ἔθνη. Εἶναι δῶρο, γιατὶ δωρίζει τὸ φῶς τῆς ἀληθινῆς γνώσης καὶ παρέχει σ' ἐκείνους ποὺ τὴν ὑποδέχονται ἀφθαρσία ζωῆς. Ἐνῶ κόπος τοῦ Θεοῦ εἶναι, ἐπειδὴ πείθει νὰ ἔχουν καύχησή τους τοὺς κόπους γιὰ χάρη τῆς ἀλήθειας οἱ διάκονοί της καὶ διδάσκοντάς τους νὰ καυχιοῦνται ἀκόμα περισσότερο γιὰ τὰ παθήματά τους παρὰ γιὰ τὶς ἀνέσεις τους, ἐκείνους ποὺ φροντίζουν ὑπερβολικὰ γιὰ τὴ ζωὴ τῆς σάρκας κάνοντας πραγματικότητα ὑπερβολικῆς πνευματικῆς δύναμης τὴ φυσικὴ ἀδυναμία τῆς σάρκας στὰ παθήματα.

Ὁ λόγος δηλαδὴ τῆς χάριτος ἀφοῦ μέσω πολλῶν πειρασμῶν πέρασε στὴ φύση τῶν ἀνθρώπων, δηλαδὴ στὴν Ἐκκλησία τῶν ἐθνῶν, ὅπως ὁ Ἰωνᾶς μέσω πολλῶν θλίψεων στὴ Νινευή, τὴν πόλη τὴ μεγάλη, ἔπεισε τὸ νόμο τῆς φύσης ποὺ βασίλευε νὰ σηκωθεῖ ἀπὸ τὸ θρόνο, ἀπὸ τὴν προηγούμενη δηλαδὴ σωματικὴ ἕξη τοῦ κακοῦ, καὶ νὰ ἀφαιρέσει τὴ στολή του, ν' ἀποθέσει ἐννοῶ τὴν ἔπαρση τῆς κοσμικῆς δόξας ποὺ εἶχε στὴ

10. Β' Κορ. 4,2-12.

τύφον, καὶ περιβαλέσθαι σάκκον, τὸ πένθος δηλαδὴ καὶ τὴν δυσχερῆ καὶ τραχεῖαν τῆς κακοπαθείας καὶ βίῳ τῷ κατὰ Θεὸν πρέπουσαν ἀναγωγήν, καὶ καθῆσαι ἐπὶ σποδοῦ. Σποδός ἐστιν ἡ πτωχεία τοῦ πνεύματος, ἐφ' ἧς καθέζεται πᾶς εὐσεβῶς ζῆν διδασκόμενος καὶ τὴν μάστιγα τῆς συνειδήσεως ἔχων ἐπὶ τοῖς πλημμεληθεῖσιν αὐτὸν καταικίζουσαν. Καὶ οὐ μόνον τὸν βασιλέα πείθει πιστεῦσαι τῷ Θεῷ κηρυττόμενος ὁ λόγος τῆς χάριτος, ἀλλὰ καὶ τοὺς ἄνδρας, τοὺς συμπληροῦντας δηλαδὴ τὴν φύσιν ἀνθρώπους, ἕνα πληροφορῶν ὁμολογεῖν εἶναι Θεὸν τῶν πάνων ποιητὴν καὶ κριτήν, καὶ κηρύξαι πιστῶς παρασκευάζων, τὴν τελείαν δηλαδὴ τῶν προτέρων ἀποχὴν πονηρῶν ἐπιτηδευμάτων, καὶ ἐνδύσασθαι σάκκους ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, τὴν νεκρωτικὴν δηλαδὴ τῶν παθῶν κακοπάθειαν προθύμως μετελθεῖν· μικροὺς δὲ καὶ μεγάλους ἐνταῦθα κατὰ τὸν τῆς ἀναγωγῆς λόγον ὑπονοῶ κεκκλῆσθαι τοὺς ἐν ἥττονι κακίᾳ καὶ μείζονι φωραθέντας ὑπὸ τοῦ λόγου.

«Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευῆ», φησί, «τῷ Θεῷ, καὶ ἐκήρυξαν νηστείαν, καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μικροῦ καὶ ἕως μεγάλου αὐτῶν. Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευῆ, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ περιείλετο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ καὶ περιεβάλετο σάκκον καὶ ἐκάθησεν ἐπὶ σποδοῦ. Καὶ ἐκηρύχθη καὶ ἐρρέθη ἐν τῇ Νινευῆ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ, λεγόντων· Οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν μηδέν, μηδὲ νεμέσθωσαν, καὶ ὕδωρ μὴ πιέτωσαν». Βασιλεύς ἐστιν, τῆς φύσεως ἔφην, ὁ νόμος τῆς φύσεως· ἄρχοντες δὲ τούτου τυγχάνουσι τό τε λογικὸν καὶ θυμικὸν καὶ ἐπιθυμητικόν· οἱ ἄνδρες δὲ τυγχάνουσι ταύτης τῆς πόλεως(20)*, τουτέστι τῆς φύσεως κατὰ μίαν ἐπιβολήν, οἱ περὶ τὸν λόγον πταίοντες καὶ περὶ Θεοῦ καὶ τῶν θείων ἐσφαλμένην γνῶσιν κατέχοντες· κτήνη δὲ οἱ κατὰ τὴν ἐπιθυμίαν διαμαρτάνοντες καὶ διὰ τῶν σωματικῶν παθημάτων ἀχθοφοροῦντες τὴν ἡδονήν· βόες δὲ οἱ πᾶσαν τοῦ θυμοῦ τὴν κίνησιν πρὸς τὴν τῶν γηΐνων κατα-*

συμπεριφορά του, καὶ νὰ φορέσει σάκκο, δηλαδὴ τὸ πένθος καὶ τὴ δύσκολη καὶ τραχιὰ τῆς κακουχίας διαγωγὴ πρὸς ἐκεῖνο ποὺ ἁρμόζει στὸ βίο τοῦ πνεύματος, ὅπου κάθεται καθένας ποὺ διδάσκεται νὰ ζεῖ μ' εὐσέβεια κι ἔχει τὴ μάστιγα τῆς συνείδησης νὰ τὸν καταξεσκίζει γιὰ τὰ πλημμελήματά του. Καὶ δὲν πείθει τὸ βασιλιά μόνο νὰ πιστέψει στὸ Θεό, ὅταν κηρύττεται ὁ λόγος τῆς χάριτος, ἀλλὰ πείθει καὶ τοὺς ἄνδρες, τοὺς ἀνθρώπους δηλαδὴ ποὺ ὁλοκληρώνουν τὴ φύση, διδάσκοντάς τους νὰ ὁμολογοῦν ὅτι ἕνας εἶναι ὁ Θεὸς τῶν πάντων, ποιητὴς καὶ κριτής, καὶ κάνοντάς τους νὰ κηρύξουν μὲ πίστη τὴν τέλεια ἀποχή τους ἀπὸ τὶς προηγούμενες πονηρές τους πράξεις, καὶ νὰ ντυθοῦν σάκκους ἀπὸ τὸ μικρὸ ὡς τὸ μεγάλο τους, ν' ἀσκήσουν δηλαδὴ πρόθυμα τὴν νεκρωτικὴ τῶν παθῶν κακοπάθεια. Μικροὶ καὶ μεγάλοι ἐδῶ ὑποθέτω ὅτι ὀνομάστηκαν μεταφορικὰ αὐτοὶ ποὺ ὁ λόγος τοὺς συνέλαβε σὲ κάποια μικρὴ ἢ μεγαλύτερη κακία.

«Καὶ πίστεψαν», λέει, «οἱ Νινευίτες στὸ Θεὸ καὶ κήρυξαν νηστεία καὶ φόρεσαν σάκκους ἀπὸ τὸν μικρὸ ὡς τὸν μεγάλο τους. Κι ἔφτασε ὁ λόγος στὸ βασιλιὰ τῆς Νινευὴ καὶ σηκώθηκε ἀπὸ τὸ θρόνο του καὶ ξεντύθηκε τὶς βασιλικὲς στολές του καὶ φόρεσε σάκκο καὶ κάθισε πάνω στὴν τέφρα. Καὶ κήρυξαν καὶ εἶπαν στὴ Νινευὴ ὁ βασιλιὰς κι οἱ μεγιστάνες του, λέγοντας· 'Οἱ ἄνθρωποι καὶ τὰ ζῶα καὶ τὰ βόδια καὶ τὰ πρόβατα νὰ μὴ βάλουν τίποτε στὸ στόμα τους οὔτε νὰ βοσκήσουν οὔτε νὰ πιοῦν νερό'»[11]. Βασιλιὰς τῆς φύσης εἶναι, εἶπα, ὁ νόμος τῆς φύσης. Ἄρχοντές του εἶναι τὸ λογικό, τὸ συναισθηματικὸ καὶ τὸ ἐπιθυμητικο. Οἱ ἄνδρες, κατὰ μιὰ ἄποψη τῆς πόλης αὐτῆς εἶναι ὅσοι κάνουν λάθος στὸ λόγο καὶ ἔχουν γιὰ τὸ Θεὸ καὶ τὰ θεῖα σφαλερὴ γνώση: Ζῶα εἶναι ὅσοι κάνουν λάθος στὴν ἐπιθυμία καὶ μὲ σωματικὰ παθήματα σηκώνουν σὰν ἀχθοφόροι τὴν ἡδονή. Βόδια εἶναι ὅσοι ἔδωσαν ὅλη τὴ δύναμη τῆς ψυχῆς τους γιὰ τὴν ἀπόκτηση τῶν γήινων· γιατὶ λένε ὅτι τὸ αἷμα τοῦ βοδιοῦ

11. Ἰω. 3,5,7.

βαλόντες κτῆσιν· φασὶν γὰρ τὸ αἷμα τοῦ βοὸς πινόμενον θάνατον ἐπάγειν παραυτίκα τῷ πίνοντι· θυμοῦ δὲ προδήλως σύμβολον ὑπάρχει τὸ αἷμα. Πρόβατα δέ φασιν εἶναι, ψεκτὰ δηλαδή, τοὺς ἀνοήτως κατὰ μόνην τὴν αἴσθησιν πρὸς πάθος νεμομένους ὡς πόαν τὴν τῶν ὁρατῶν θεωρίαν.

Ψεκτῶς γὰρ κεῖσθαι ταῦτα πάντα κατὰ τοῦτον τῆς Γραφῆς τὸν τόπον ὑπονοοῦμεν, ἕως ὁ λόγος λαβών, πρὸς τὸ κρεῖττον αὐτὰ μεταβάλοι. Ὅθεν τούτοις ἐπάγει φάσκων ὁ Λόγος· «μὴ γευσάσθωσαν, μηδὲ νεμέσθωσαν· καὶ ὕδωρ μὴ πιέτωσαν»· λύων δηλαδὴ τὰς προτέρας ἐφ' ἑκάστῳ τῶν εἰρημένων συστατικὰς τῶν παθῶν αἰτίας, μεθ' ἃς ἀναιρουμένας τὴν πρὸς τὸ κρεῖττον μεταβολὴν τῶν ποτε τοῖς κακοῖς ἐπιτηδεύμασιν ἐνεσχημένων, ἐπιδεικνύμενος, ἐπιφέρει· «καὶ περιεβάλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς Κύριον τὸν Θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψεν ἕκαστος ἐκ τῆς ὁδοῦ αὐτοῦ πονηρᾶς, καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσίν». Ἀνθρώπους, ὡς ἔφην, λέγεσθαι νοήσομεν τοὺς ἐνεχομένους κατὰ ἐσφαλμένην τοῦ λόγου κρίσιν ὑπὸ τῶν ψυχικῶν παθημάτων, κτήνη δὲ τοὺς καθ' ἡδονὴν κατὰ τὴν τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας παράχρησιν τοῖς σωματικοῖς προσηλωμένους παθήμασιν, πάντας καθάπερ σάκκους περιβαλλομένους τὴν νέκρωσιν τῶν ἐπὶ γῆς μελῶν, ἤγουν παντὸς τοῦ χοϊκοῦ νόμου τε καὶ φρονήματος, καὶ ἀναβοῶντας ἐκτενῶς, τουτέστι μεγάλῃ τῇ φωνῇ, ἤγουν τῇ κατὰ τῆς ἀνομίας παρρησίᾳ ἐξαγορεύοντας τῶν προτέρων ἁμαρτημάτων τὴν ἄδειαν, καὶ ἀφισταμένους, ὡς ὁδοῦ τινος, τοῦ κατὰ συνήθειαν δρόμου καὶ τῆς, ὡς ἐν χερσίν, ταῖς πράξεσιν ἐνεργουμένης ἀδικίας.

Οὕτω μὲν οὖν εἰς τὴν κοινὴν φύσιν, ἤτουν τὴν τῶν ἐθνῶν Ἐκκλησίαν ἡ Νινευὴ νοουμένη, διὰ παντὸς δείκνυσιν ἐν αὐτῇ κηρύττοντα τὸν Ἰωνᾶν, τουτέστι τὸν λόγον τῆς προφητικῆς χάριτος, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς τὸν Θεὸν ἐπιστρέφοντα τοὺς πεπλανημένους. Εἰ δὲ πρὸς τὴν τοῦ καθ' ἕκαστον θεωρίαν τὴν Νινευὴ νοοῦμεν[21]*, τὴν ἑκάστου ψυχὴν εἶναί φαμεν τὴν πό-*

ὅταν πίνεται προκαλεῖ ἀμέσως τὸ θάνατο σ' ἐκεῖνον ποὺ τὸ πίνει, καὶ τὸ αἷμα εἶναι προφανῶς σύμβολο τοῦ θυμοῦ. Πρόβατα, λένε, εἶναι, δηλαδὴ ἄξια κατηγορίας, ὅσοι βόσκουν ἀνόητα μὲ τὴν αἴσθηση μόνο, γιὰ τὴν ἱκανοποίηση κάποιου πάθους, σὰ νὰ εἶναι γρασίδι τὸ κοίταγμα τῶν ὁρατῶν.

Ὅλα αὐτὰ νομίζομε ὅτι λέγονται στὸ σημεῖο τοῦτο τῆς Γραφῆς πρὸς κατηγορία, ὥσπου ν' ἀσχοληθεῖ μαζί τους ὁ λόγος καὶ νὰ τὰ μεταβάλει πρὸς τὸ καλύτερο. Γι' αὐτὸ ἡ Γραφὴ συμπληρώνει καὶ λέει· «οὔτε νὰ βάλουν τίποτε στὸ στόμα τους οὔτε νὰ βοσκήσουν, οὔτε νὰ πιοῦν νερό». Διαλύει δηλαδὴ γιὰ καθένα ἀπ' ὅσα εἴπαμε τὶς προηγούμενες αἰτίες ποὺ συνιστοῦν τὰ πάθη καί, μετὰ τὴν ἀναίρεσή τους δείχνοντας τὴ μεταβολὴ πρὸς τὸ καλύτερο ὅσων εἶχαν αἰχμαλωτιστεῖ στὴν κακὴ συμπεριφορά, προσθέτει· «καὶ φόρεσαν σάκκους οἱ ἄνθρωποι καὶ τὰ ζῶα ὕψωσαν φωνὲς δυνατὲς στὸν Κύριο τὸ Θεὸ κι ἐγκατέλειψε καθένας τὸ δρόμο τῆς κακίας καὶ τὶς ἀδικίες τῶν χεριῶν τους». Ἄνθρωποι, ὅπως εἶπα, πρέπει νὰ ἐννοήσομε ὅτι λέγονται ὅσοι ἀπὸ πλανημένη κρίση τοῦ λόγου ἔχουν συλληφθεῖ ἀπὸ ψυχικὰ πάθη· ζῶα, ὅσοι κάνουν κατάχρηση τοῦ συναισθηματικοῦ καὶ τοῦ ἐπιθυμητικοῦ γιὰ ἡδονή, προσκολημμένοι στὰ σωματικὰ πάθη, φορώντας, σὰν τρίχινους σάκκους, τὴ νέκρωση τῶν γήινων μελῶν τους, δηλαδὴ κάθε χοϊκοῦ νόμου καὶ φρονήματος. Καὶ φώναξαν ἐκτενῶς, δηλαδὴ μὲ μεγάλες φωνές, ἤτοι ὁμολογώντας μὲ τὴν παρρησία κατὰ τῆς ἀνομίας τὴν ἐλευθερία τους στὰ προηγούμενα ἁμαρτήματα, καὶ σὰν ἀπὸ κάποιο δρόμο ξεκλίνοντας ἀπὸ τὴ συνηθισμένη πορεία τους κι ἀπὸ τὴν ἀδικία ποὺ σὰ νὰ ἐνεργεῖται μὲ τὶς πράξεις τους μέσα στὰ χέρια τους.

Μὲ τὸ νόημα λοιπὸν τῆς κοινῆς φύσης, δηλαδὴ τῆς Ἐκκλησίας τῶν ἐθνῶν, ἡ Νινευὴ παρουσιάζει μὲ τὸν ἑαυτό της τὸν Ἰωνᾶ νὰ κηρύττει πάντοτε, δηλαδὴ τὸ λόγο τῆς προφητικῆς χάριτος, καὶ καθημερινὰ νὰ ἐπιστρέφει στὸ Θεὸ τοὺς πλανημένους. Ἂν ὅμως ἐφαρμόσομε τὴν ἔννοια τῆς Νινευὴ στὸν κάθε ἄνθρωπο, λέμε πὼς ἡ μεγάλη πόλη εἶναι ἡ ψυχὴ τοῦ καθενός,

λιν τὴν μεγάλην, πρὸς ἣν ἀποστέλλεται παρανομοῦσαν ὁ τοῦ Θεοῦ λόγος, κηρύττων μετάνοιαν πρὸς ζωήν. Ταύτης δὲ βασιλέα νοοῦμεν τὸν νοῦν, ἄρχοντας δὲ τὰς ἐμφύτους δυνάμεις, ἀνθρώπους δὲ τοὺς ἐμπαθεῖς λογισμούς, κτήνη δὲ τὰ περὶ τὸ σῶμα κατ' ἐπιθυμίαν κινήματα, βόας δὲ τὰς κατὰ τὸν θυμὸν περὶ τὰ ὑλικὰ πλεονεκτικὰς κινήσεις, πρόβατα δὲ τὰ κατὰ τὴν αἴσθησιν χωρὶς διανοίας ἀντιληπτικὰ τῶν αἰσθητῶν κινήματα. Καὶ τὸν μὲν βασιλέα νοῦν ὡς ἀπὸ θρόνου τινὸς τῆς κατὰ τὴν προτέραν ἄγνοιαν ἐξανιστάμενον ἕξεως, καὶ ὥσπερ στολὴν τὴν ψευδῆ περὶ τῶν ὄντων δόξαν ἀποτιθέμενον, καὶ ὡς σάκκον περιβαλλόμενον τὸν ἐπὶ τοῖς κακῶς φρονεῖσι μετάμελον καὶ ἐπὶ σποδοῦ καθήμενον, τῆς κατὰ τὴν πτωχείαν τοῦ πνεύματος ἕξεως, καὶ προστάσσοντα τοῖς ἀνθρώποις καὶ τοῖς κτήνεσι καὶ τοῖς βουσὶ καὶ τοῖς προβάτοις νηστεύειν τῆς τε κατὰ κακίαν βρώσεως καὶ τῆς κατὰ τὴν ἄγνοιαν πόσεως, τουτέστι πράξεως κακῶν ἀποσχέσθαι καὶ τῆς κατ' αἴσθησιν πεπλανημμένης θεωρίας, καὶ περιβάλλεσθαι σάκκους, τουτέστι τὴν νεκρωτικὴν μὲν τῶν παρὰ φύσιν παθῶν, περιποιητικὴν δὲ τῶν κατὰ φύσιν ἀρετῶν τε καὶ γνώσεων ἕξιν, καὶ ἀναβοῆσαι πρὸς τὸν Θεὸν ἐκτενῶς ἐξαγορεῦσαι δῆλον ὅτι συντόνως τὰ πρότερα, καὶ ἱλεώσασθαι τῇ ταπεινώσει τὸν συγχώρησιν δοῦναι τῶν προλαβόντων δυνάμεων, καὶ αἰτῆσαι πρὸς τὴν τῶν κρειττόνων ἐνέργειαν καὶ φυλακὴν προαιρέσεως δύναμιν ἄτρεπτον, τὸν ἑτοίμως ταύτην τοῖς αἰτοῦσι δωρούμενον, καὶ ὥσπερ ὁδοῦ πονηρᾶς, τῆς προτέρας πλάνης κωλῦσαι τὴν διάνοιαν καὶ τὴν ἐπινοητικὴν τῆς κακίας ἕξιν, τῶν κατὰ ψυχὴν πρακτικῶν ἀποθέσθαι δυνάμεων.

Εἰς ταύτην δὲ τὴν πόλιν τὴν μεγάλην, τουτέστι τὴν κοινὴν φύσιν τῶν ἀνθρώπων καὶ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, ἢ τὴν τοῦ καθ' ἕκαστον ψυχήν, διὰ τοῦ λόγου τῆς ἀρετῆς καὶ τῆς γνώσεως, ἤγουν πίστεως καὶ ἀγαθῆς συνειδήσεως σωζομένην, ὑπάρχουσιν πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν. Δώδεκα μυριάδας ἐνταῦθα λέγειν ὑπονοῶ τὴν Γραφὴν κατὰ τοὺς τῆς ἀναγωγῆς

στὴν ὁποία, ὅταν παρανομεῖ, στέλνει τὸ Λόγο του ὁ Θεὸς κηρύττοντας τὴ ζωὴ τῆς μετάνοιας. Βασιλιά της ἐννοοῦμε τὸ νοῦ, ἄρχοντες τὶς ἔμφυτες δυνάμεις της, ἀνθρώπους τοὺς ἐμπαθεῖς λογισμούς, ζῶα τὶς σωματικὲς ὁρμὲς τῆς ἐπιθυμίας, βόδια τὶς ψυχικὲς τάσεις γι' ἀπόκτηση περισσότερων ὑλικῶν ἀγαθῶν, πρόβατα, τὶς λειτουργίες τῶν αἰσθήσεων γιὰ ν' ἀντιληφθοῦν τὰ κινήματα τῶν αἰσθητῶν χωρὶς ἀνάμιξη τοῦ νοῦ. Καὶ ὁ βασιλιὰς νοῦς σηκώνεται, σὰν ἀπὸ κάποιο θρόνο, ἀπὸ τὴν προηγούμενη κατάσταση ἄγνοιας, ἀποβάλλει, σὰν στολή, τὴν ψεύτικη ἀντίληψη γιὰ τὰ ὄντα καὶ φορᾶ, σὰν σάκκο, τὴ μεταμέλεια γιὰ ὅσα εἶχε πιστέψει ἀπὸ λάθος. Κάθεται πάνω στὴν τέφρα, τὴν ἕξη δηλαδὴ τῆς πνευματικῆς φτώχειας, καὶ ὁρίζει στοὺς ἀνθρώπους καὶ τὰ ζῶα καὶ τὰ βόδια καὶ τὰ πρόβατα νὰ νηστεύουν ἀπὸ τὴν τροφὴ τῆς κακίας καὶ τὸ νερὸ τῆς ἄγνοιας, ν' ἀπέχουν δηλαδὴ ἀπὸ τὴν διάπραξη τῶν κακῶν καὶ τὴν πλανημένη θεωρία τῶν αἰσθήσεων, καὶ νὰ ντύνονται σάκκους, δηλαδὴ τὴν ἕξη ποὺ νεκρώνει τὰ παραφύση πάθη καὶ φροντίζει τὶς καταφύση ἀρετὲς καὶ γνώσεις, καὶ νὰ φωνάξουν δυνατὰ στὸ Θεό, νὰ ἐξομολογηθοῦν δηλαδὴ μὲ συγκλονισμὸ τὰ προηγούμενα καὶ νὰ ἐξιλεώσουν μὲ τὴν ταπείνωσή τους αὐτὸν ποὺ μπορεῖ νὰ δώσει τὴ συγχώρηση στὰ προηγούμενα. Κι ἀκόμα νὰ ζητήσουν γιὰ τὴ διάπραξη τῶν ἀρετῶν καὶ τὴ φύλαξη τῆς προαίρεσης ἄτρεπτη τὴ δύναμη ἀπὸ ἐκεῖνον ποὺ πρόθυμα τὴ χαρίζει σ' αὐτοὺς ποὺ τὴ ζητοῦν, νὰ ἐμποδίσουν τὸ νοῦ τους, σὰν ἀπὸ κακὴ ὁδό, ἀπὸ τὴν προηγούμενη πλάνη, καὶ ν' ἀποθέσουν ἀπὸ τὶς πρακτικὲς δυνάμεις τῆς ψυχῆς τὴ δύναμη ποὺ ἐπινοεῖ τὴν κακία.

Σ' αὐτὴ τὴ μεγάλη πόλη, δηλαδὴ τὴν κοινὴ φύση τῶν ἀνθρωπων καὶ τὴν Ἐκκλησία τῶν ἐθνῶν ἢ τὴν ψυχὴ τοῦ καθενός, ποὺ διασώζεται μὲ τὸ λόγο τῆς ἀρετῆς καὶ τῆς γνώσης, δηλαδὴ τὴν πίστη καὶ τὴν ἀγαθὴ συνείδηση, ζοῦνε περισσότερο ἀπὸ δώδεκα μυριάδες ἄνθρωποι, οἱ ὁποῖοι δὲ γνωρίζουν ποιά εἶναι στὰ δεξιὰ καὶ ποιά στ' ἀριστερά τους. Ὑποθέτω ὅτι δώδεκα μυριάδες λέει ἡ Γραφὴ στὸ σημεῖο αὐτὸ μεταφορικὰ τοὺς λόγους

λόγους, τοὺς περὶ χρόνου καὶ φύσεως λόγους, ἤγουν τὴν μετὰ τῶν οὐκ ἄνευ εὐπεριληπτικὴν τῆς ὁρωμένης φύσεως γνῶσιν[22]. Εἰ γὰρ ὁ δώδεκα ἀριθμὸς ἐκ πέντε καὶ ἑπτὰ συντιθέμενος ἀποτελεῖται, ἡ δὲ φύσις ὑπάρχει πενταδικὴ διὰ τὴν αἴσθησιν, ὁ δὲ χρόνος ἐστὶν ἑβδοματικός, ἄρα φύσιν καὶ χρόνον ὁ δώδεκα δηλοῖ σαφῶς ἀριθμός. Σεσημειωμένως δὲ πλείους ἢ δώδεκα μυριάδας εἶπεν ἀνθρώπων, ἵνα γνῶμεν περιγραφέντα τοῦτον τὸν ἀριθμόν, καὶ ὑπερβαθέντα τοῖς πλείοσιν ἀορίστως, τὸ ὑπὲρ δώδεκα ἀριθμὸν δι' ἑαυτῶν ποιουμένοις ποσόν.

Οὐκοῦν ἡ τοῦ Θεοῦ πανεύφημος Ἐκκλησία[23], τοὺς κατὰ τὴν ἀρετὴν καὶ τὴν γνῶσιν, παρελθόντας μὲν τοὺς κατὰ χρόνον καὶ φύσιν λόγους, πρὸς δὲ τὴν τῶν αἰωνίων καὶ νοητῶν διαβάντας μεγαλοπρέπειαν ἔχουσα, πλείους ἢ δώδεκα μυριάδας ἀνδρῶν ἔχει, μὴ γινώσκοντας δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν. Ὁ γὰρ διὰ τὴν ἔννομον ἀρετὴν τῶν ἐν σαρκὶ παθῶν ὡς ἀριστερῶν ποιούμενος λήθην καὶ διὰ τὴν ἄπταιστον γνῶσιν ἐπὶ τοῖς κατορθώμασι, τῇ νόσῳ τῆς φυσιούσης οἰήσεως ὡς δεξιᾶς οὐχ ἁλισκόμενος, ἀνὴρ γέγονε μὴ γινώσκων δεξιὰν αὐτοῦ, ὡς δόξης οὐκ ἐρῶν λυομένης, οὐδὲ ἀριστεράν, ὡς τῆς σαρκὸς οὐκ ἐρεθιζόμενος πάθεσι.

Δεξιὰν οὖν, ὡς ἔοικεν, εἶπεν ὁ Λόγος, τὴν ἐπὶ τοῖς δῆθεν κατορθώμασι κενοδοξίαν, ἀριστερὰν δὲ τὴν ἐπὶ τοῖς αἰσχροῖς πάθεσιν ἀκολασίαν. Τούτους δὲ πᾶσα ψυχὴ ταῖς θεωρίαις τῶν νοητῶν λαμπρυνομένη κέκτηται τοὺς ἄνδρας, μὴ γινώσκοντας δεξιὰν αὐτῶν καὶ ἀριστεράν. Πᾶσα γὰρ ψυχὴ τῆς περὶ φύσιν καὶ χρόνον θεωρίας, τὴν διανοητικὴν συστείλασα δύναμιν, τὸν δώδεκα παρελθόντας ἀριθμὸν ἔχει καθάπερ ἄνδρας τοὺς φυσικοὺς λογισμούς, οἷα δὴ λοιπὸν μηκέτι τοῖς ὑπὸ φύσιν καὶ χρόνον πανουμένους λόγους, πρὸς δὲ τὴν τῶν θείων μυστηρίων κατανόησιν καὶ ἐπιστήμην ἀσχολουμένους καὶ διὰ τοῦτο μὴ γι-

περὶ χρόνου καὶ φύσεως δηλαδὴ τὴν περιληπτικὴ γνώση τῆς φύσης ποὺ βλέπομε μὲ αὐτὰ ποὺ ἀπαραίτητα τὴ συνοδεύουν. Ἂν δηλαδὴ ὁ ἀριθμὸς δώδεκα γίνεται ἀπὸ τὴν πρόσθεση τοῦ πέντε μὲ τὸ ἑφτὰ καὶ ἡ φύση ὅσον ἀφορᾶ τὴν αἴσθηση εἶναι πενταδική, ἐνῶ ὁ χρόνος εἶναι ἑβδομαδικός, τότε ὁ ἀριθμὸς δώδεκα δηλώνει φανερὰ φύση καὶ χρόνο. Καὶ τόνισε, ὅτι περισσότερο ἀπὸ δέκα μυριάδες ἄνθρωποι ζοῦνε, γιὰ νὰ ἀντιληφθοῦμε ὅτι ὁ ἀριθμὸς αὐτὸς καὶ ὁρισμένος εἶναι ἀλλὰ καὶ μὲ τὸ 'περισσότερο' γίνεται μιὰ ἀόριστη ὑπέρβασή του, κάνοντας αὐτοὶ τὸ ποσὸ πάνω ἀπὸ τὸν δώδεκα ἀριθμὸ γιὰ τὸν ἑαυτό τους.

Ἡ πανεύφημη λοιπὸν Ἐκκλησία τοῦ Θεοῦ ἔχοντας ἐκείνους ποὺ μὲ τὴν ἀρετὴ καὶ τὴ γνώση τους προσπέρασαν τοὺς λόγους τοῦ χρόνου καὶ τῆς φύσης κι ἔφτασαν στὴ μεγαλοπρέπεια τῶν αἰώνιων καὶ νοητῶν, ἔχει περισσότερους ἀπὸ δώδεκα μυριάδες ἄνδρες ποὺ δὲν γνωρίζουν ποιά εἶναι στὰ δεξιὰ καὶ ποιά στ' ἀριστερά τους. Ὅποιος δηλαδὴ γιὰ τὴν ἀρετὴ ποὺ ζητεῖ ὁ νόμος λησμονεῖ τὰ σαρκικὰ πάθη, γιατὶ βρίσκονται στ' ἀριστερά, καὶ ἐξαιτίας τῆς ἀλάνθαστης γνώσης δὲν παρασύρεται γιὰ τὰ ἐπιτεύγματά του, ἐπειδὴ τάχα εἶναι δεξιὰ ἀπὸ τὴ νόσο τῆς οἴησης ποὺ φουσκώνει τὸ μυαλό, ἔγινε ἄνδρας ποὺ δὲν γνωρίζει τὰ πρὸς τὰ δεξιά του ἐπειδὴ δὲν ἀγαπᾶ τὴ δόξα ποὺ διαλύεται, οὔτε τὰ πρὸς τὰ ἀριστερά του, ἐπειδὴ δὲν τὸν ἐρεθίζουν τὰ πάθη τῆς σάρκας.

Δεξιὰ λοιπόν, ὅπως φαίνεται, εἶπε ὁ Λόγος τὴν κενοδοξία γιὰ ἐπιτεύγματα τάχα ἀρετῆς, ἐνῶ ἀριστερά, τὴν ἀκολασία γιὰ αἰσχρὰ πάθη. Κάθε ψυχὴ ποὺ τὴ λαμπρύνουν οἱ θεωρίες τῶν νοητῶν ἔχει αὐτοὺς τοὺς ἄνδρες ποὺ δὲ γνωρίζουν τὰ πρὸς τὰ δεξιὰ καὶ πρὸς ἀριστερά. Γιατὶ κάθε ψυχή, περιορίζοντας τὴ διανοητικὴ δύναμη τῆς θεωρίας γιὰ τὴ φύση καὶ τὸ χρόνο, ἔχει τοὺς φυσικοὺς λογισμοὺς σὰν ἄνδρες ποὺ πέρασαν τὸν ἀριθμὸ δώδεκα, ἐπειδὴ δὲν ταλανίζονται πιὰ ἀπὸ τοὺς λόγους τῆς φύσης καὶ τοῦ χρόνου, ἀλλὰ ἀσχολοῦνται μὲ τὴν κατανόηση καὶ τὴ γνώση τῶν θείων μυστηρίων, καὶ γι' αὐτὸ δὲ γνωρίζουν οὔτε

νώσκοντας δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν. Ἡ γὰρ κατὰ λόγον γνῶσις τῶν ἀρετῶν, ἤγουν ἡ κατ' ἐνέργειαν ἀληθὴς τῆς τῶν ἀρετῶν αἰτίας ἐπίγνωσις[24], ἄγνοιαν παντελῆ πέφυκε ποιεῖν, τῆς ὡς δεξιᾶς καὶ ἀριστερᾶς ἑκατέρωθεν παρακειμένης τῇ μεσότητι τῶν ἀρετῶν ὑπερβολῆς καὶ ἐλλείψεως.

Εἰ γὰρ οὐδὲν ἐν τῷ λόγῳ παντελῶς πέφυκεν εἶναι παράλογον[25], σαφῶς ὁ πρὸς τὸν λόγον τῶν ἀρετῶν ἀναχθεὶς τὴν τῶν παραλόγων οὐδαμῶς ἐπιγνώσεται θέσιν. Οὐ γὰρ δυνατὸν ἄμφω κατ' αὐτὸν ἅμα καταθρῆσαι τὰ ἀντικείμενα καὶ θατέρῳ ἅμα τὸ ἕτερον γνῶναι συνεμφαινόμενον.

Εἰ γὰρ ἀπιστίας ἐν τῇ πίστει λόγος οὐδείς[26], οὐδὲ σκότους αἰτία κατὰ φύσιν ὑπάρχει τὸ φῶς, οὐδὲ Χριστῷ συνενδείκνυσθαι πέφυκεν ὁ διάβολος, δῆλον ὡς οὐδὲ τῷ λόγῳ τὸ παράπαν συνυπάρχει τι παράλογον. Εἰ δὲ τῷ λόγῳ συνεῖναι παντελῶς οὐ δύναται τὸ παράλογον, ὁ πρὸς τὸν λόγον τῶν ἀρετῶν ἀναχθεὶς τὴν τῶν παράλογων, ὡς ἔφην, οὐκ ἐπίσταται θέσιν, μόνην ὡς ἔστιν, ἀλλ' οὐχ ὡς νομίζεται, γινώσκων τὴν ἀρετήν[27]. Καὶ διὰ τοῦτο μήτε τὴν δεξιὰν διὰ τῆς ὑπερβολῆς, μήτε ἀριστερὰν διὰ τῆς ἐλλείψεως ἐπιστάμενος· ἐπ' ἀμφοῖν γὰρ θεωρεῖται σαφῶς τὸ παράλογον. Εἰ γὰρ ὅρος ὑπάρχει καὶ μέτρον τῶν ὄντων ὁ λόγος[28], ἶσον πρὸς ἀλογίαν ἐστί, καὶ διὰ τοῦτο παράλογον, τὸ παρὰ τὸν ὅρον καὶ παρὰ τὸ μέτρον· ἢ πάλιν ὑπὲρ τὸν ὅρον κεινεῖσθαι καὶ ὑπὲρ τὸ μέτρον. Ἐπίσης γὰρ ἄμφω τοῖς οὕτω κινουμένοις τοῦ κυρίως ὄντος φέρει τὴν ἔκπτωσιν. Τὸ μὲν ἄδηλον αὐτοὺς ποιεῖσθαι τοῦ δρόμου πεῖθον τὴν κίνησιν καὶ ἀόριστον[29], οὐκ ἔχουσαν σκοπὸν τὸν Θεὸν δι' ἀμετρίαν νοός, ὡς τέλος αὐτοῖς προεπινοούμενον, τοῦ δεξιοῦ δεξιώτερον ἀναπλαττομένους, τὸ δὲ παρὰ τὸν σκοπὸν πρὸς μόνην τὴν αἴσθησιν αὐτοὺς πεῖθον τοῦ δρόμου ποιεῖσθαι τὴν κίνησιν, δι' ἀτονίαν νοὸς προεπινοούμενον τέλος νομίζοντας τὸ κατ' αἴσθησιν αὐτοῖς περιγραφόμενον. Ἅπερ ἀγνοεῖ μὴ πάσχων[30], ὁ

τὴ δεξιὰ οὔτε τὴν ἀριστερά τους. Γιατὶ ἡ ἔλλογη γνώση τῶν ἀρετῶν, ἡ ἀληθινὴ δηλαδὴ ἐπίγνωση τῶν ἀρετῶν κατὰ τὴν πράξη, προκαλεῖ πλήρη ἄγνοια τῆς ὑπερβολῆς καὶ τῆς ἔλλειψης ποὺ παρίσταται ἀπὸ τὴ μιὰ καὶ τὴν ἄλλη ὡς δεξιὰ κι ἀριστερὰ στὴ μεσότητα τῶν ἀρετῶν.

Γιατὶ ἂν κανένα μέσα στὸ λόγο δὲν μπορεῖ νὰ εἶναι τελείως παράλογο, εἶναι φανερὸ ὅτι ὅποιος ἀνέβηκε στὸ λόγο τῶν ἀρετῶν, δὲ θὰ καταλάβει καθόλου τὴ θέση τῶν παράλογων. Γιατὶ δὲν εἶναι δυνατὸ νὰ συναντήσομε στὸν ἴδιο ἄνθρωπο δύο ἀντίθετα γνωρίσματα καὶ νὰ φανταστοῦμε ὅτι τὸ ἕνα φανερώνεται μαζὶ μὲ τὸ ἄλλο.

Ἂν δηλαδὴ στὴν πίστη δὲν μπορεῖ νὰ γίνει κανένας λόγος γι' ἀπιστία, οὔτε φυσικὴ αἰτία τοῦ σκότους εἶναι τὸ φῶς, οὔτε εἶναι φυσικὸ νὰ φανερώνεται ὁ διάβολος μαζὶ μὲ τὸ Χριστό, τότε γίνεται φανερὸ ὅτι οὔτε μέσα στὸ λόγο δὲν ὑπάρχει τίποτε τὸ παράλογο. Κι ἂν τὸ παράλογο δὲν μπορεῖ καθόλου νὰ συνυπάρξει μὲ τὸ λόγο, ὅποιος ὑψώθηκε στὸ λόγο τῶν ἀρετῶν, δὲν γνωρίζει πῶς μποροῦν νὰ γίνουν δεκτὰ τὰ παράλογα, ἐπειδὴ γνωρίζει τὴν ἀρετὴ μονάχα ὅπως εἶναι κι ὄχι ὅπως νομίζεται. Καὶ γι' αὐτὸ δὲ γνωρίζει οὔτε τὴ δεξιὰ μὲ τὴν ὑπερβολὴ οὔτε τὴν ἀριστερὰ μὲ τὴν ἔλλειψη· γιατὶ καὶ στὰ δύο παρατηρεῖται καθαρὰ τὸ παράλογο. Ἂν βέβαια προϋπόθεση καὶ μέτρο τῶν ὄντων εἶναι ὁ λόγος, ὅ,τι παραβαίνει τὸν ὅρο καὶ τὸ μέτρο ἢ πάλι ὅποιο ὑπερβαίνει τὸν ὅρο καὶ τὸ μέτρο εἶναι ἴσο μὲ τὸ ἄλογο καὶ γι' αὐτὸ εἶναι παράλογο. Γιατὶ καὶ τὰ δύο ἀπὸ τὰ κινούμενα ἔτσι, ἐκπίπτουν ἐξίσου ἀπὸ τὸ κυρίως ὄν· τὸ ἕνα ἐπειδὴ τοὺς πείθει ὅτι ἡ κίνηση τοῦ δρόμου τους εἶναι ἄδηλη καὶ ἀόριστη καὶ ἀπὸ ἀμετρία τοῦ νοῦ δὲν ἔχει σκοπό της τὸ Θεό, ὡς τέλος ποὺ προεπινοεῖται γι' αὐτοὺς καὶ τὸ ἀναπλάθουν δεξιότερο τοῦ δεξιοῦ· τὸ ἄλλο, παρὰ τὸ σκοπό, τοὺς πείθει νὰ κάνουν τὴν πορεία τους μόνο πρὸς τὴν αἴσθηση, νομίζοντας ἀπὸ ἀσθένεια τοῦ νοῦ ὡς τέλος ποὺ προεπινοεῖται γι' αὐτοὺς τὸν περιορισμό τους μέσα στὴν αἴσθηση. Αὐτὰ ἐπειδὴ δὲν τὰ δοκιμά-

μόνῳ τῷ λόγῳ τῆς ἀρετῆς συνημμένος καὶ πᾶσαν αὐτῷ τῆς κατὰ νοῦν οἰκείας δυνάμεως περιγράψας κίνησιν[31] *καὶ διὰ τοῦτο μηδὲν ὑπὲρ τὸν λόγον ἢ παρὰ τὸν λόγον διανοεῖσθαι δυνάμενος.*

Εἰ δέ τις καὶ πρὸς ὑψηλοτέραν ἔννοιαν ἀνατεῖναι φιλοτίμως βούλεται τὸν νοῦν, δεξιὰν νοήσει πάντως τοὺς τῶν ἀσωμάτων λόγους, ἀριστερὰν δὲ τοὺς τῶν σωμάτων, οὓς ὁ πρὸς τὴν αἰτίαν τῶν ὄντων ἀσχέτως ἀναταθεὶς νοῦς[32]*, ἀγνοήσει παντελῶς, μηδένα θεωρῶν λόγον ἐν τῷ κατὰ πᾶσαν αἰτίαν ὑπὲρ πάντα λόγον ὄντι Θεῷ, πρὸς ὃν ἀπὸ τῶν ὄντων ἁπάντων συσταλείς, οὐδένα τῶν ἀφ' ὧν ἀπέστη λόγον ἐπίσταται, μόνον τὸν πρὸς ὃν λόγον γέγονε κατὰ χάριν ἀνερμηνεύτως θεώμενος.*

Τούτων καὶ τῶν τοιούτων οἶδεν ὁ Θεὸς φείδεσθαι καὶ διὰ τοὺς τοιούτους τοῦ κόσμου παντός, ἀνδρῶν κατ' ἀλήθειαν μὴ γινωσκόντων τὴν ψεκτὴν αὐτῶν δεξιὰν ἢ ἀριστεράν, ἐπειδὴ πάντα σχεδὸν ἐπαινετῶς λαμβάνεται τῇ Γραφῇ καὶ ψεκτῶς, κἂν ὁ βάσκανος καὶ πάσης φιλανθρωπίας ἐχθρὸς καὶ ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀνθρώπων διαπονούμενος καὶ διὰ τοῦτο πρὸς αὐτὴν ἀπομάχεσθαι τοῦ Θεοῦ τὴν ἀγαθότητα τολμῶν, ἀγνώμων, ἀχάριστός τε καὶ μισάνθρωπος λαὸς τῶν Ἰουδαίων διαπρίεται καὶ τῆς ζωῆς ἀπολέγεται καὶ πένθους ὑπόθεσιν ποιεῖ τὴν ἐν Χριστῷ τῶν ἐθνῶν σωτηρίαν, ἧς διὰ τὴν ἄγνοιαν πολλῷ κρείττονα τὴν κολόκυνταν ἡγούμενος, ἐπένθει ξηρανθεῖσαν θεώμενος ὑπὸ τοῦ σκώληκος[33]*. Εἶπον γὰρ προλαβών, ὅτι καὶ τὴν τῶν Ἰουδαίων μανίαν ἐν ἑαυτῶ τυπικῶς ὁ μέγας προδιέγραψεν Ἰωνᾶς, οὐκ αὐτός τι πάσχων, μὴ γένοιτο, τῶν Ἰουδαίοις προσόντων, ἀλλ' ἐν ἑαυτῷ τὴν ἐκείνων προδιελέγχων ἀσέβειαν, δι' ἣν τῆς προτέρας δόξης, ὡς ἔκ τινος Ἰόππης, ἐξέπεσαν. Διὰ τοῦτο μυστικῶς τὸ Πνεῦμα τὸ ἅγιον τοιαύτην αὐτῷ προσηγορίαν ἐπέθηκε, δυναμένην κατὰ τὴν διάφορον αὐτῆς ἑρμηνείαν ἐνδείξασθαι τὴν πάντων τῶν ἐν αὐτῷ προτυπουμένων διάθεσιν.*

ζει, τὰ ἀγνοεῖ, ὅποιος εἶναι συνημωμένος μόνο μὲ τὸ λόγο τῆς ἀρετῆς κι ἔχει περιορίσει ὅλη τὴν κίνηση τῆς δύναμης τοῦ νοῦ του σ' αὐτὸν καὶ γι' αὐτὸ δὲν μπορεῖ νὰ διανοηθεῖ τίποτε πάνω ἀπὸ τὸ λόγο ἢ παρὰ τὸ λόγο.

Ἂν ὅμως κάποιος ἔχει τὴ φιλοτιμία νὰ θέλει νὰ ὑψωθεῖ ὁ νοῦς του καὶ σὲ ψηλότερες ἔννοιες, ὡς δεξιὰ θὰ ἐννοήσει ἀσφαλῶς τοὺς λόγους τῶν ἀσωμάτων, ἐνῶ ἀριστερὰ τοὺς λόγους τῶν σωμάτων, καὶ αὐτοὺς τοὺς λόγους, αὐτὸς ὁ νοῦς ποὺ ὑψώθηκε ἀνεμπόδιστα στὴν αἰτία τῶν ὄντων, θὰ τοὺς ἀγνοήσει τελείως, μὴ θεωρώντας κανένα λόγο στὸ Θεὸ ποὺ εἶναι σύμφωνα μὲ κάθε αἰτιολογία πάνω ἀπὸ κάθε λόγο. Σ' αὐτόν, περιορισμένος ἀπὸ ὅλα τὰ ὄντα, δὲ γνωρίζει κανένα λόγο ἐκείνων ἀπὸ τὰ ὁποῖα ἔφυγε, θεωρώντας μόνο τὸ λόγο στὸν ὁποῖο ἔφτασε κατὰ χάρη ἀνεξήγητα ὅμως πῶς.

Αὐτοὺς καὶ τοὺς ὅμοιούς τους συνήθως ὁ Θεὸς τοὺς εὐσπλαχνίζεται καὶ χάρη σ' αὐτοὺς ὅλο τὸν κόσμο, ἄνδρες ποὺ ἀληθινὰ δὲ γνωρίζουν τὴν ἄξια γιὰ κατηγορία δεξιὰ ἢ ἀριστερά τους, ἐπειδὴ ὅλα σχεδὸν λέγονται στὶς Γραφὲς καὶ γιὰ ἔπαινο καὶ γιὰ κατηγορία, κι ἂν ἀκόμα ὁ φθονερὸς καὶ ἐχθρὸς κάθε φιλανθρωπίας καὶ ποὺ σκοτώνεται γιατί νὰ σωθοῦν οἱ ἄνθρωποι καὶ ποὺ γι' αὐτὸ τολμᾶ νὰ πολεμήσει αὐτὴν τὴν ἀγαθότητα τοῦ Θεοῦ, ὁ ἀγνώμων κι ἀχάριστος καὶ μισάνθρωπος λαὸς τῶν Ἰουδαίων τρίζει τὰ δόντια, κι ἀρνεῖται τὴ ζωὴ καὶ κάνει ἀφορμὴ πένθους τὴ σωτηρία τῶν ἐθνῶν στὸ ὄνομα τοῦ Χριστοῦ, πού, ἐπειδὴ τὸν ἀγνοοῦσε, θεωροῦσε πολὺ καλύτερη τὴν κολοκυθιά, καὶ πενθοῦσε βλέποντας νὰ τὴν ἔχει φάει τὸ σκουλήκι καὶ νὰ εἶναι ξερή. Γιατὶ εἶπα πρωτύτερα ὅτι καὶ τὴ μανία τῶν Ἰουδαίων τὴν προτύπωσε ὁ Ἰωνᾶς, ὄχι ὅτι αἰσθανόταν κάτι παρόμοιο μὲ τοὺς Ἰουδαίους, μὴ γένοιτο, ἀλλὰ φανερώνοντας μὲ τὸν ἑαυτό του τὴν ἀσέβεια ἐκείνων, ποὺ ἐξαιτίας της ξέπεσαν ἀπὸ τὴν προηγούμενη δόξα τους, σὰν ἀπὸ κάποια Ἰόππη. Γι' αὐτὸ τὸ ἅγιο Πνεῦμα μυστικὰ τοῦ ἔδωσε αὐτὸ τὸ ὄνομα, ποὺ μπορεῖ μὲ τὶς διάφορες ἑρμηνεῖες του νὰ δείξει τὴ διάθεση ὅλων ἐκείνων ποὺ προτύπωνε.

Ὅταν οὖν ἐν αὐτῷ τυπικῶς τὴν τῶν Ἰουδαίων ἐλέγχει παραφροσύνην[34]*, λυπουμένην μὲν ἐπὶ τῇ σωτηρίᾳ τῶν ἐθνῶν καὶ συγχεομένην ἐπὶ τῷ παραδόξῳ τῆς κλήσεως, ἀπολεγομένην τε καὶ βλασφήμως παρὰ τὴν θείαν βούλησιν τῆς ζωῆς προτιμῶσαν τὸν θάνατον διὰ τὴν ξηρανθεῖσαν κολόκυνταν, ἑρμηνεύεται 'διαπόνησις αὐτῶν', ἣν στηλιτεύων ὁ λόγος φησίν, «εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν», περὶ τῶν Νινευϊτῶν δηλαδὴ φάσκων, «ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησε τοῦ ποιῆσαι αὐτοῖς καὶ οὐκ ἐποίησε. Καὶ ἐλυπήθη Ἰωνᾶς καὶ εἶπε· Νῦν, δέσποτα Κύριε, λάβε δὴ τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με ἢ ζῆν». Καὶ αὖθις· «καὶ προσέταξε Κύριος ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολύκυνταν καὶ ἀπεξηράνθη. Καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον καὶ ἐπάταξεν ὁ ἥλιος ἐπεὶ τὴν κεφαλὴν Ἰωνᾶ, καὶ ὠλιγοψύχησε καὶ ἀπελέγετο τὴν ζωὴν αὐτοῦ καὶ εἶπε· Καλόν μοι ἦν ἀποθανεῖν με ἢ ζῆν».*

Νινευὴ τοίνυν ἐστὶν ἡ τῶν ἐθνῶν Ἐκκλησία, ἡ δεξαμένη τὸν λόγον τῆς χάριτος καὶ ἀποστραφεῖσα τὴν προτέραν πλάνην τῶν εἰδώλων, καὶ διὰ τοῦτο σωθεῖσα καὶ τῆς τῶν οὐρανῶν ἀξιωθεῖσα δόξης. Ἡ δὲ σκηνή, ἣν ἐξελθὼν ἀπὸ τῆς πόλεως ἑαυτῷ πεποίηκεν Ἰωνᾶς, εἰκονίζει τὴν κάτω Ἱερουσαλὴμ καὶ τὸν ἐν αὐτῇ χειροποίητον ναόν. Ἡ δὲ κολόκυντα τὴν ἐν μόνῳ τῷ γράμματι πρόσκαιρον τοῦ νόμου τῆς σωματικῆς λατρείας σκιὰν προδιέγραφε, μηδὲν τὸ σύνολον ἔχουσαν μόνιμον καὶ τὸν νοῦν φαιδρῦναι δυνάμενον. Ὁ δὲ σκώληξ ἐστὶν ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός, ὡς αὐτὸς περὶ ἑαυτοῦ ἐν τῷ προφήτῃ Δαβίδ φησι, «σκώληξ εἰμὶ καὶ οὐκ ἄνθρωπος»· σκώληξ διὰ τὴν προσληφθεῖσαν ἄσπορον σάρκα καὶ γενόμενος ἀληθῶς καὶ λεγόμενος. Ὡς γὰρ ὁ σκώληξ συνδυασμὸν οὐκ ἔχει καὶ μίξιν προκαθηγουμένην αὐτοῦ τῆς γενέσεως, οὕτως οὐδὲ τῆς

Ὅταν λοιπὸν στὸν ἑαυτό του ἐλέγχει παραδειγματικὰ τὴν παραφροσύνη τῶν Ἰουδαίων ποὺ λυποῦνται γιὰ τὴ σωτηρία τῶν ἐθνῶν καὶ παθαίνουν σύγχυση ἐξαιτίας τῆς παράδοξης κλήσης, ποὺ ἀρνοῦνται καὶ βλάσφημα, ἀντίθετα μὲ τὴ θεία βούληση, προτιμοῦν τὸ θάνατο ἀπὸ τὴ ζωὴ γιὰ χάρη τῆς ξεραμένης κολοκυθιᾶς (ἑρμηνεύεται 'ταλαιπωρία αὐτῶν'), ποὺ στηλιτεύοντάς την ὁ λόγος λέει· «εἶδε ὁ Θεὸς τὰ ἔργα τους» (μιλάει δηλαδὴ γιὰ τοὺς Νινευίτες), ὅτι «γύρισαν πίσω ἀπὸ τοὺς δρόμους τους τοὺς πονηρούς, καὶ μετανόησε γι' αὐτὰ ποὺ ἤθελε νὰ τοὺς κάνει καὶ δὲν τοὺς τὰ ἔκανε. Καὶ λυπήθηκε ὁ Ἰωνᾶς καὶ εἶπε· τώρα, Δέσποτα καὶ Κύριέ μου, πάρε τὴν ψυχή μου, γιατὶ εἶναι καλύτερα νὰ πεθάνω παρὰ νὰ ζῶ»[12]. Καὶ παρακάτω· «καὶ πρόσταξε ὁ Κύριος ἕνα σκουλήκι τὴν αὐγὴ τῆς ἑπόμενης μέρας καὶ χτύπησε τὴν κολοκυθιὰ καὶ ξεράθηκε καὶ τέλος βγῆκε ὁ ἥλιος καὶ χτύπησε τὸν Ἰωνᾶ στὸ κεφάλι, ποὺ λιγοψύχησε καὶ ἀρνιόταν τὴ ζωή του λέγοντας· 'εἶναι καλὸ γιὰ μένα νὰ πεθάνω παρὰ νὰ ζῶ'»[13].

Ἡ Νινευὴ λοιπὸν εἶναι ἡ Ἐκκλησία τῶν ἐθνῶν, ποὺ δέχθηκε τὸ λόγο τῆς χάριτος κι ἀπαρνήθηκε τὴν προηγούμενη πλάνη τῶν εἰδώλων καὶ γι' αὐτὸ σώθηκε κι ἀξιώθηκε τὴ δόξα τῶν οὐρανῶν. Ἡ σκηνὴ ποὺ ἔστησε ὁ Ἰωνᾶς ὅταν βγῆκε ἀπὸ τὴν πύλη εἰκονίζει τὴν κάτω Ἱερουσαλὴμ καὶ τὸ χειροποίητο ναό της. Ἡ κολοκυθιὰ προδιέγραφε τὴν πρόσκαιρη στὸ γράμμα μόνο σκιὰ τοῦ νόμου τῆς σωματικῆς λατρείας, ποὺ δὲν ἔχει τίποτε ἀπολύτως μόνιμο ποὺ νὰ μπορεῖ νὰ φαιδρύνει τὸ νοῦ. Τὸ σκουλήκι εἶναι ὁ Κύριος καὶ Θεός μας Ἰησοῦς Χριστός, ὅπως ὁ ἴδιος λέει γιὰ τὸν ἑαυτό του μέσω τοῦ προφήτη Δαβὶδ «εἶμαι σκουλήκι κι ὄχι ἄνθρωπος»· σκουλήκι ποὺ καὶ ἔγινε καὶ λέγεται ἐξαιτίας τῆς ἄσπορης πρόσληψης τῆς σάρκας. Ὅπως δηλαδὴ τὸ σκουλήκι δὲν ζευγαρώνεται οὔτε προηγεῖται τῆς γένεσής του συνεύρεση, ἔτσι οὔτε ἀπὸ τὴν κατὰ σάρκα γέννηση τοῦ Κυρίου προη-

12. Ἰωνᾶς 3,10· 4,2,3. 13. Ἰωνᾶς 7,8.

κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου προκαθηγήσατο μίξις. Πρὸς δέ, καὶ ὡς δέλεαρ πρὸς τὴν ἀπάτην τοῦ διαβόλου τῷ τῆς θεότητος ἀγκίστρῳ περιθέμενος αὐτήν, ἵν', ὡς ἄπληστος ὁ νοητὸς δράκων διὰ τὴν φύσιν εὐχείρωτον τὴν σάρκα περιχανών, τῷ τῆς θεότητος ἀγκίστρῳ περισπαρῇ καὶ ὅλον ἐμέσῃ διὰ τῆς ἐξ ἡμῶν ἁγίας τοῦ Λόγου σαρκὸς καταποθεῖσαν ἤδη τὴν φύσιν τὴν ἀνθρωπίνην· ἵν', ὡς κατέπιε πρότερον δελεάσας ἐλπίδι θεότητος τὸν ἄνθρωπον, οὕτως, ἀνθρωπότητος προσλήμματι δελεασθείς, ὕστερον ἐμέσῃ τὸν ἀπατηθέντα διὰ προσδοκίαν θεότητος, ἀπατηθεὶς ἀνθρωπότητος προσδοκίᾳ, καὶ φανῇ τὸ ὑπερβάλλον τῆς θείας δυνάμεως διὰ τῆς ἀσθενείας τῆς ἡττηθείσης φύσεως νικώσης τὴν ἰσχὺν τοῦ νικήσαντος, καὶ δειχθῇ πλέον νικῶν ὁ Θεὸς τὸν διάβολον προβολῇ τῆς σαρκὸς χρώμενος, ἢ τὸν ἄνθρωπον ὁ διάβολος φύσιν θεότητος ὑπισχνούμενος([35]). Οὗτος ὁ σκώληξ ἐπάταξε τὴν κολόκυνταν καὶ ἀπεξήρανε, τὴν νομικὴν λέγω λατρείαν κατήργησεν ὡς σκιὰν καὶ τὴν ἐν αὐτῇ τῶν Ἰουδαίων ἀπεξήρανεν οἴησιν.

«Καὶ ἐγένετο τῇ ἐπαύριον ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον». Ἐπαύριον μέν, ὅτι μετὰ τὴν πάροδον τῶν κατὰ νόμον τυπικῶν αἰνιγμάτων καὶ τὸν ὡρισμένον χρόνον τῆς κατ' αὐτὸν σωματικῆς λατρείας, τοῦ καινοῦ μυστηρίου χάρις ἀνέτειλεν, ἡμέραν ἄλλην ποιοῦσα γνώσεως ὑψηλῆς καὶ ἀρετῆς ἐνθέου, τῆς καὶ τῶν ἀντεχομένων αὐτῆς θεωτικήν. Μετὰ γὰρ τὸ πατάξαι τὸν σκώληκα τοῦτον τὴν κολόκυνταν καὶ τὸν ἥλιον τοῦτον –ὁ αὐτὸς γὰρ καὶ σκώληξ ἐστὶ καὶ ἥλιος δικαιοσύνης–([36]), τὸ μέν, ὡς ἀσπόρως κατὰ σάρκα τικτόμενος καὶ πᾶσαν διαφεύγουσαν ἔννοιαν ἔχων τὴν σύλληψιν· τὸ δέ, ὡς ὑπὸ γῆν δι' ἐμὲ κατὰ τὸ τοῦ θανάτου καὶ τῆς ταφῆς μυστήριον γενόμενος, καὶ ὡς φῶς ἀΐ-

γήθηκε συνεύρεση. Ἐκτὸς ἀπὸ αὐτό, καὶ γιὰ δόλωμα γιὰ τὴν ἐξαπάτηση τοῦ διαβόλου δόλωσε γι' αὐτὴν τὸ ἀγκίστρι τῆς θεότητας, ὥστε, σὰν ἀχόρταγος ἀπὸ τὴ φύση του ὁ νοητὸς δράκοντας χάφτοντας τὴν εὔκολη σάρκα νὰ πιαστεῖ στὸ ἀγκίστρι τῆς θεότητας καὶ νὰ ἐξεμέσει μέσω τῆς ἁγίας σάρκας τοῦ Λόγου ποὺ πῆρε ἀπὸ ἐμᾶς ὅλη τὴν ἀνθρώπινη φύση ποὺ εἶχε καταπιεῖ ἤδη. Ὥστε, ὅπως κατάπιε προηγουμένως τὸν ἄνθρωπο δελεάζοντάς τον μὲ τὴν ἐλπίδα τῆς θεότητας, ἔτσι δελεασμένος ἀπὸ τὸ πρόσλημμα τῆς ἀνθρωπότητας καὶ γελασμένος ἀπὸ τὴν προσδοκία τῆς ἀνθρωπότητας νὰ ἐξεμέσει ἔπειτα αὐτὸν ποὺ γελάστηκε ἀπὸ τὴν προσδοκία τῆς θεότητας, καὶ ἔτσι νὰ φανεῖ πόσο ὑπερβολικὴ εἶναι ἡ θεία δύναμη ποὺ μὲ τὴν ἀσθένεια τοῦ ἡττημένου νίκησε τὴ δύναμη τοῦ νικητῆ, καὶ νὰ δειχθεῖ ὅτι πιὸ πολὺ ὁ Θεὸς νικᾶ τὸ διάβολο προτείνοντάς του τὴ σάρκα, παρὰ ὁ διάβολος τὸν ἄνθρωπο μὲ τὴν ὑπόσχεση τῆς θείας φύσης. Αὐτὸ τὸ σκουλήκι χτύπησε τὴν κολοκυθιὰ καὶ τὴν ξέρανε. Κατάργησε δηλαδὴ τὴ λατρεία τοῦ νόμου, ἐπειδὴ ἦταν σκιά, καὶ μαζί της ξέρανε τὴν ἰουδαϊκὴ οἴηση.

«Καὶ τὴν ἑπόμενη ἡμέρα μόλις ἀνέτειλε ὁ ἥλιος»[14]. Τὴν ἑπόμενη ἡμέρα, γιατὶ μετὰ τὴν παρέλευση τῶν τυπικῶν αἰνιγμάτων τοῦ νόμου καὶ τὸν ὁρισμένο χρόνο τῆς σωματικῆς λατρείας ποὺ αὐτὸς ὅριζε, ἀνάτειλε ἡ χάρη τοῦ νέου μυστηρίου, φέρνοντας μιὰ καινούργια μέρα ὑψηλῆς γνώσης καὶ ἔνθεης ἀρετῆς, ἡ ὁποία καὶ θεώνει αὐτοὺς ποὺ τὴν ἀποκτοῦν. Μετὰ τὸ χτύπημα δηλαδὴ τῆς κολοκυθιᾶς ἀπὸ αὐτὸ τὸ σκουλήκι καὶ αὐτὸν τὸν ἥλιο· γιατὶ ὁ ἴδιος εἶναι καὶ τὸ σκουλήκι[15] καὶ ὁ ἥλιος τῆς δικαιοσύνης[16]. Τὸ ἕνα εἶναι, ἐπειδὴ γεννιέται κατὰ σάρκα ἀσπόρως καὶ ἡ σύλληψή του διαφεύγει κάθε ἔννοια, καὶ τὸ ἄλλο, γιατὶ μπαίνει γιὰ χάρη μου μέσα στη γῆ σύμφωνα μὲ τὸ μυστήριο τοῦ θανάτου του καὶ τῆς ταφῆς του· καὶ ἐπειδὴ εἶναι ἀπὸ τὴ φύση του κι ἀπὸ τὸν ἑαυτό του φῶς ἀίδιο, ποὺ ἀνέτειλε μὲ τὴν

14. Ἰω. 4,8. 15. Ψαλμ. 21,7. 16. Μαλαχ. 4,2.

διον φύσει δι' ἑαυτὸν ὑπάρχων, ἐκ νεκρῶν ἀνατείλας διὰ τῆς ἀναστάσεως, «προσέταξεν ὁ Θεὸς πνεύματι καύσωνος συγκαίοντι καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν Ἰωνᾶ». Μετὰ γὰρ τὴν ἀνατολὴν τοῦ ἡλίου τῆς δικαιοσύνης, ἤγουν τὴν ἀνάστασιν τοῦ Κυρίου καὶ τὴν ἀνάληψιν, ὁ συγκαίων καύσων τῶν πειρασμῶν ἐπῆλθεν, ἀμετανοήτοις μείνασι τοῖς Ἰουδαίοις, καὶ ἐπάταξεν αὐτοὺς εἰς κεφαλὰς αὐτῶν κατὰ δικαίαν κρίσιν, ἐπιστρέψας, κατὰ τὸ γεγραμμένον, τὸν πόνον αὐτῶν εἰς τὰς κεφαλὰς αὐτῶν, καθὼς αὐτοὶ προλαβόντες ηὔξαντο καθ' ἑαυτῶν, εἰπόντες· «τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν». Σαφῶς γὰρ ματὰ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν τοῦ Σωτῆρος πνεῦμα καύσωνος ἄγαν συγκαίοντος ἡ διὰ τῶν ἐθνῶν ἐκδίκησις ἐπῆλθεν αὐτοῖς καὶ παντὸς τοῦ ἔθνους, καθάπερ κεφαλήν, τὴν δόξαν καὶ τὸ κράτος πατάξας, κατέλαβεν ὁ ἥλιος ὁ ἐμός, πρὸς ὃν τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἐπιμύσαντες, τὸ φῶς τῆς ἀληθείας αὐτοῖς ἐπιλάμψαν οὐκ ἔγνωσαν.

Ἢ πάλιν πνεῦμα καύσωνός ἐστιν, ἐξεγειρόμενον τοῖς ἀπειθοῦσι τῷ λόγῳ τῆς χάριτος Ἰουδαίοις[37]*, ἡ τὸν ὑετὸν ἀνέχουσα τῆς γνώσεως καὶ τῆς προφητείας τὴν δρόσον καὶ τὴν φυσικὴν τῶν εὐσεβῶν νοημάτων τῆς καρδίας ἀποξηραίνουσα πηγὴν ἐγκατάλειψις, ἐπαγομενη δικαίως αὐτοῖς, ὡς πλήσασι τὰς χεῖρας αἵματος ἀθώου καὶ τῷ ψεύδει προδεδωκόσι τὴν ἀλήθειαν καὶ ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων ἀτρέπτως ἐν εἴδει τῷ καθ' ἡμᾶς παραγενόμενον τὸν Θεὸν Λόγον ἀπαρνησαμένοις, καὶ διὰ τοῦτο παραδοθεῖσι τῇ αὐτονομίᾳ τῆς πλάνης, ἐν ᾗ καθ' οἷον δήποτε τρόπον οὐκ ἔστιν εὑρεῖν εὐσεβείᾳ καὶ φόβῳ Θεοῦ κατεικασμένην διάθεσιν, ἀλλὰ ξηρὰν καὶ ἄνικμον γνώμην καὶ παντὶ μοχθηρῷ πάθει πεποιωμένην, ἣν χαρακτηρίζειν οἶδεν ὁ τῦφος, πάθος ἐπάρατον ὑπάρχον καὶ ἐκ δύο κακῶν κατὰ σύνθεσιν συνιστάμενον, ὑπερηφανίας καὶ κε-*

ἀνάσταση ἀπὸ τοὺς νεκρούς, «πρόσταξε ὁ Θεὸς τὸ πνεῦμα τοῦ καύσωνα ποὺ κατακαίει καὶ χτύπησε ὁ ἥλιος τὸν Ἰωνᾶ στὸ κεφάλι». Μετὰ δηλαδὴ τὴν ἀνατολὴ τοῦ ἥλιου τῆς δικαιοσύνης, δηλαδὴ τὴν ἀνάσταση καὶ τὴν ἀνάληψη τοῦ Κυρίου, ἦρθε ὁ καύσωνας τῶν πειρασμῶν ποὺ κατακαίει καὶ χτύπησε τοὺς Ἰουδαίους στὸ κεφάλι σύμφωνα μὲ δίκαιη ἀπόφαση, γιατὶ ἔμειναν ἀμετανόητοι, ἐπιστρέφοντας, σύμφωνᾶ μὲ τὴ Γραφή[17], τὴ λύπη τους στὸ κεφάλι τους, ὅπως ἐκεῖνοι εὐχήθηκαν πρῶτοι κατὰ τοῦ ἑαυτοῦ τους λέγοντας· «τὸ αἷμα του ἂς πέσει ἐπάνω σ' ἐμᾶς καὶ στὰ παιδιά μας»[18]. Γιατὶ μετὰ τὴν ἀνάσταση καὶ τὴν ἀνάληψη τοῦ Σωτήρα, εἶναι φανερό, σὰν μιὰ πνοὴ καύσωνα, ποὺ ἔκαιγε ὑπερβολικά, τοὺς χτύπησε ἡ ἐκδίκηση μέσω τῶν ἐθνῶν, κι ἀφοῦ χτύπησε ὅλου τοῦ ἔθνους τὴ δόξα, σὰ νὰ ἦταν ἡ κεφαλή του, καὶ τὴ δύναμη, κυριάρχησε σ' αὐτὸ ὁ ἥλιος ὁ δικός μου, πρὸς τὸν ὁποῖο ἔκλεισαν τὰ μάτια τοῦ νοῦ τους καὶ γι' αὐτὸ δὲν κατάλαβαν τὸ φῶς τῆς ἀλήθειας ποὺ ἔλαμψε γι' αὐτούς.

Ἢ πάλι πνοὴ καύσωνα, ποὺ ἐπιτίθεται στοὺς Ἰουδαίους ποὺ στάθηκαν ἀνυπάκουοι στὸ λόγο τῆς χάριτος, εἶναι ἡ ἐγκατάλειψη ποὺ ἐμποδίζει τὴ βροχὴ τῆς γνώσης καὶ τὴ δρόσο τῆς προφητείας καὶ ἀποξηραίνει τὴ φυσικὴ πηγὴ τῆς καρδιᾶς ἀπὸ τὰ εὐσεβὴ νοήματα καί, ποὺ ἐπιφέρεται σ' αὐτοὺς δίκαια, ἐπειδὴ ἔβαψαν τὰ χέρια τους μὲ αἷμα ἀθῶο, πρόδωσαν τὴν ἀλήθεια γιὰ τὸ ψεῦδος κι ἀρνήθηκαν τὸ Θεὸ Λόγο ποὺ ἦρθε γιὰ τὴ σωτηρία τοῦ γένους τῶν ἀνθρώπων μὲ τὴ δική μας μορφὴ χωρὶς ὅμως τροπή, καὶ γι' αὐτὸ παραδόθηκαν στὴν ἀσυδοσία τῆς πλάνης, στὴν ὁποία μὲ κανένα τρόπο δὲν μπορεῖς νὰ βρεῖς διάθεση στολισμένη ἀπὸ εὐσέβεια καὶ φόβο Θεοῦ, ἀλλὰ θὰ βρεῖς ξηρὴ καὶ δίχως δροσιὰ γνώμη, γεμάτη μὲ κάθε μοχθηρὸ πάθος. Αὐτὴν γνωρίζει νὰ τὴ χαρακτηρίζει ἡ ἔπαρση, ἕνα ἐπάρατο πάθος, καὶ ποὺ ἀποτελεῖται ἀπὸ δύο κακά, τὴν ὑπερηφάνεια καὶ τὴν κενοδοξία, ἀπὸ τὰ ὁποῖα ἡ ὑπερηφάνεια ἀρνεῖται

17. Ψαλμ. 7,17. 18. Ματθ. 27,25.

νοδοξίας· ὧν μὲν ὑπερηφανία[38] τὴν αἰτίαν ἀρνεῖται τῆς ἀρετῆς καὶ τῆς φύσεως, ἡ δὲ κενοδοξία τήν τε φύσιν καὶ αὐτὴν νόθον τὴν ἀρετὴν καθίστησιν. Οὐδὲν γὰρ τῷ ὑπερηφάνῳ κατὰ Θεὸν διαπράττεται καὶ οὐδὲν τῷ κενοδόξῳ κατὰ φύσιν προέρχεται.

Τούτων μῖξις ὁ τῦφος καθέστηκε, πρὸς μὲν Θεὸν ἔχων τὴν καταφρόνησιν, καθ' ἣν πέφυκε βλασφήμως διαβάλλειν τὴν πρόνοιαν, πρὸς δὲ τὴν φύσιν κεκτημένος τὴν ἀλλοτρίωσιν, καθ' ἣν πάντα τὰ τῆς φύσεως παρὰ τὴν φύσιν μεταχειρίζεται, τῷ κατὰ παράχρησιν τρόπῳ τὴν τῆς φύσεως παραφθείρων εὐπρέπειαν. Καὶ συντόμως εἰπεῖν, τῷ τυφωνικῷ δαίμονι διὰ τὴν εἰς Χριστὸν ἀπιστίαν συγχωρηθεὶς καταδεθῆναι τὴν διάνοιαν ὁ τῶν Ἰουδαίων λαός, ἐπίσης Θεὸν καὶ ἀνθρώπους μεμίσηκε· τὸν μὲν Θεὸν σαρκὸς ἡδονῆς ἔχων κατώτερον, καὶ διὰ τοῦτο τὴν ἐν πνεύματι λατρείαν ἀποπεμπόμενος, τοὺς δὲ ἀνθρώπους, τοὺς μὴ σαρκὶ τὸ γένος καταγομένους ἐξ Ἰακώβ, ἀλλοτρίους παντάπασιν ἡγούμενος εἶναι τοῦ Κτίσαντος, καὶ διὰ τοῦτο θείας εὐαρεστήσεως μελέτην ποιούμενος τὴν καθ' ἡμῶν μιαιφονίαν, ἀγνοήσας, ὡς ἔοικεν, ὁ μάταιος, διὰ τὴν ἄνοιαν, ὡς οὐ τοσοῦτον δύναται τὸ σῶμα πρὸς οἰκείωσιν Θεοῦ καὶ γένους ἀγχιστείαν, ὅσον ψυχὴ τὸν αὐτὸν ταῖς λοιπαῖς ἐπικομίζουσα χαρακτῆρα τῆς πίστεως καὶ τὴν πρὸς πάντας κατὰ τὴν γνώμην περὶ τὸ καλὸν ἐνιάθετον ταυτότητα, καθ' ἣν[39], ὁ μὲν τῆς σαρκὸς νόμος παντελῶς ἀποσβέννυται, μόνος δὲ διὰ Πνεύματος ὁ τοῦ Θεοῦ λόγος περιφανῶς διαφαίνεται, κατὰ νοῦν πάντας ἑνοποιῶν πρὸς ἑνὸς ἐπίγνωσιν Θεοῦ καὶ μίαν τὴν εἰς ἀλλήλους ἀγάπην καὶ σύμπνοιαν, καθ' ἣν οὐδεὶς οὐδενὸς κεχώρισται παντελῶς πνευματικῶς, κἂν ἀλλήλων σωματικῶς κατὰ τὴν θέσιν τῶν τόπων μακρὰν διεστήκασιν.

Πνεῦμα γοῦν καύσωνός ἐστιν ὁ τῦφος, μισόθεον ὁμοῦ καὶ μισάνθρωπον πάθος· ἀποξηραίνει γὰρ τὴν καρδίαν τῶν ἀπίστων, τοὺς περὶ θεότητος εὐσεβεῖς λογισμοὺς καὶ τοὺς ὀρθοὺς περὶ φύσεως λόγους ἀπομαραίνων, κατὰ τὴν εἰκόνα τοῦ καύσωνος. Φασὶ γὰρ τοῦτον γίνεσθαι τὸν ἄνεμον κατὰ μῖξιν ἀνατο-

ὅτι ἔχουν αἰτία ἡ ἀρετὴ καὶ ἡ φύση, καὶ ἡ κενοδοξία καθιστᾶ νόθες καὶ τὴ φύση καὶ τὴν ἴδια τὴν ἀρετή. Γιατὶ ὁ ὑπερήφανος δὲν πράττει τίποτε σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ καὶ τίποτε ἀπὸ τὸν κενόδοξο δὲν προέρχεται μὲ φυσικὸ τρόπο.

Μίγμα αὐτῶν εἶναι ὁ τύφος, ποὺ ἔναντι τοῦ Θεοῦ δείχνει καταφρόνηση, καὶ σύμφωνα μ' αὐτὴ βλασφημεῖ καὶ διαβάλλει τὴν πρόνοια, ἐνῶ ἔναντι τῆς φύσης ἔχει κερδίσει τὴν ἀλλοτρίωση, σύμφωνα μὲ τὴν ὁποία ὅλα τὰ φυσικὰ τὰ μεταχειρίζεται παρὰ τὴ φύση μὲ τὴν κατάχρηση παραφθείροντας τὴν ὀμορφιὰ τῆς φύσης. Καί, γιὰ νὰ μιλήσω μὲ συντομία, ἀφοῦ ἐπιτράπηκε νὰ δεθεῖ ἡ διάνοια τοῦ Ἰουδαϊκοῦ λαοῦ ἀπὸ τὸ δαίμονα τῆς ὑπερηφάνειας ἐξαιτίας τῆς ἀπιστίας του στὸ Χριστό, μίσησε ἐξίσου Θεὸ κι ἀνθρώπους. Τὸ Θεὸ τὸν θεώρησε κατώτερο ἀπὸ τὴ σαρκικὴ ἡδονὴ καὶ γι' αὐτὸ τοῦ ἀπέρριψε τὴν πνευματικὴ λατρεία, ἐνῶ τοὺς ἀνθρώπους, ποὺ δὲν κατάγονταν σαρκικὰ ἀπὸ τὴ γενιὰ τοῦ Ἰακώβ, τοὺς θεώρησε τελείως ξένους ἀπὸ τὸ Δημιουργό, καὶ γι' αὐτὸ ἔκανε φροντίδα θεϊκῆς εὐαρέστησης τὸν ἐναντίον μας μιαρὸ φόνο· ἀγνόησε, ὅπως φαίνεται, ἀπὸ ἀνοησία ὁ χαμένος, ὅτι τὸ σῶμα δὲν ἔχει τόση δύναμη πρὸς οἰκείωση καὶ συγγένεια μὲ τὸ Θεό, ὅση μία ψυχὴ ποὺ ἔχει τὴν ἴδια σφραγίδα τῆς πίστης μὲ τὶς ἄλλες καὶ τὴν ἑκούσια ταυτότητα διάθεσης πρὸς ὅλους, σύμφωνα μὲ τὴν ὁποία ὁ νόμος τῆς σάρκας σβήνει τελείως καὶ μόνος διαπρέπει μὲ τὴ δύναμη τοῦ πνεύματος ὁ λόγος τοῦ Θεοῦ, ἑνοποιώντας τὴ σκέψη ὅλων πρὸς ἐπίγνωση τοῦ Θεοῦ καὶ ἐγκαθιστώντας μεταξὺ ὅλων μία ἀγάπη καὶ σύμπνοια, σύμφωνα μὲ τὴν ὁποία κανένας δὲν χωρίζει πνευματικὰ ἀπὸ κανένα κι ἂς ἀπέχουν σωματικὰ ὁ ἕνας ἀπὸ τὸν ἄλλο πολὺ ὡς πρὸς τὴ θέση τῶν τόπων ὅπου βρίσκονται.

Πνοὴ λοιπὸν καύσωνα εἶναι ἡ ἔπαρση, πάθος συγχρόνως μισόθεο καὶ μισάνθρωπο. Γιατὶ ἀποξηραίνει τὴν καρδιὰ τῶν ἀπίστων, ἀπομαραίνοντας τοὺς εὐσεβεῖς λογισμοὺς περὶ θεότητας καὶ τοὺς ὀρθοὺς λόγους περὶ φύσεως, σύμφωνα μὲ τὴν εἰκόνα τοῦ καύσωνα. Γιατὶ λένε ὅτι αὐτὸς ὁ ἄνεμος γίνεται μὲ ἀνά-

λικοῦ καὶ νοτίου πνεύματος, καὶ διὰ τοῦτο ξηραίνοντα τῆς γῆς τὴν παρεσπαρμένην ἰκμάδα. Καλεῖσθαι δέ φασιν αὐτὸν καὶ Εὐροκλύδωνα καὶ Τυφονικόν· τὸ μὲν ὡς ταραχὴν πανταχόθεν γῆς καὶ θαλάττης ἐγείροντα, τὸ δὲ ὡς αὐχμώδους σκότους ποιητικόν, ὅπερ πέφυκε ποιεῖν καὶ ὁ τῦφος. Ἐπάγει γὰρ μεγάλην ταραχὴν τῇ ψυχῇ καὶ σκότους ἀγνοίας πληροῖ τὴν διάνοιαν. Τοῦτον ἐξήγειρεν ὁ Θεὸς τὸν καύωνα μετὰ τὴν εἰς Χριστὸν παροινίαν, τουτέστι παρεχώρησεν ἐπελθεῖν τοῖς Ἰουδαίοις, πρόσφορον κεκτημένοις αὐτῷ τὴν διάθεσιν, ἵνα γένηται πᾶσι κατάδηλος αὐτῶν ἡ περὶ Θεὸν καὶ ἀνθρώπους προαίρεσις.

Ὅθεν, ἀγνοίας ζόφῳ καταπιεσθέντες, εἰς τὴν ἀντίθετον τῷ Θεῷ μοῖραν ἑαυτοὺς ἑκουσίως ἀπέωσαν, ἄλλο μὲν οὐδὲν τὸ σύνολον ἔχοντες, πλὴν τὸ διαπονεῖσθαι καὶ ἀδημονεῖν ἐπί τε τῇ κατὰ τὴν πίστιν σωτηρίᾳ καὶ δόξῃ τῶν ἐθνῶν, ἐπί τε τῇ καθαιρέσει τῶν παρ' αὐτοῖς κατὰ σάρκα νομίμων, λέγοντες· «νῦν, Κύριε, λάβε δὴ τὰς ψυχὰς ἀφ' ἡμῶν, ὅτι καλὸν ἡμῖν τὸ ἀποθανεῖν ἢ ζῆν», διὰ τὴν ξηρανθεῖσαν κολόκυνταν· λέγω δὲ τὴν ἐν σκιαῖς τοῦ νόμου λατρείαν καταργηθεῖσαν, τὴν ὑπὸ νύκτα καὶ γενομένην καὶ ἀπογενομένην(40)*, ὡς μηδένα, τοῖς τῶν συμβόλων αἰνίγμασί τε καὶ τύποις μόνοις περιγραφομένην, φωτισμὸν ἔχουσα νοητὸν ψυχῆς διάνοιαν λαμπρύνει δυνάμενον.*

Ἀλλ' ἡμεῖς πνευματικῶς διὰ πίστεως καὶ τῆς παρομαρτούσης αὐτῇ δικαιοσύνης τὴν πνευματικὴν ἀσπασώμεθα Νινευή, φημὶ δὲ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, τὴν ὡς ἀληθῶς πόλιν μεγάλην τῷ Θεῷ καθεστῶσαν, ὡς γέγραπται καὶ διὰ τῶν ὁρισθεισῶν αὐτῇ πρὸς ἐπιστροφὴν τριῶν ἡμερῶν τῇ μετανοίᾳ διασωθεῖσαν, καὶ πολῖται ταύτης τῆς πόλεως τῆς τῷ Θεῷ μεγάλης διὰ τῆς μετανοίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς γενέσθαι σπουδάσωμεν. Ἐπιτετηρημένως γάρ φησι «μεγάλην εἶναι

μιξη ἀνατολικοῦ καὶ νότιου ἀνέμου καὶ γι' αὐτὸ ξεραίνει τῆς γῆς τὴν ὑπάρχουσα ὑγρασία. Καὶ ὁ κόσμος τὸν λέει Εὐροκλύδωνα καὶ Τυφονικό· τὸ ἕνα ὄνομα, γιατὶ σηκώνει παντοῦ ταραχὴ στὴ γῆ καὶ στὴ θάλασσα, καὶ τὸ ἄλλο γιατὶ δημιουργεῖ μαυρίλα καὶ σκοτεινιά, πράγμα ποὺ ἀπὸ τὴ φύση της προκαλεῖ ἡ ἔπαρση. Γιατὶ φέρνει μεγάλη ταραχὴ στὴν ψυχὴ καὶ γεμίζει τὴν διάνοια ἀπὸ τὸ σκότος τῆς ἄγνοιας. Αὐτὸν τὸν καύσωνα ἔστειλε ὁ Θεὸς μετὰ τὴν παραφροσύνη της πρὸς τὸν Χριστό· δηλαδὴ ἐπέτρεψε νὰ ἐπιτεθεῖ στοὺς Ἰουδαίους, ποὺ εἶχαν πρόσφορη διάθεση σ' αὐτόν, γιὰ νὰ γίνει σ' ὅλους ὁλοφάνερη ἡ προαίρεσή τους πρὸς τὸ τὸ Θεὸ καὶ τοὺς ἀνθρώπους.

Συνθλιβόμενοι λοιπὸν ἀπὸ τὸ ζόφο τῆς ἄγνοιας, ἀπώθησαν θέλοντας τὸν ἑαυτό τους στὴν ἀντίθετη μοίρα ἀπὸ τὸ Θεό, μὴ ἔχοντας τίποτε ἄλλο ἀπολύτως ἀπὸ τὸ νὰ ἀγωνιοῦν καὶ νὰ ἀδημονοῦν τόσο γιὰ τὴ σωτηρία καὶ τὴν δόξα τῶν ἐθνῶν ἐπειδὴ πίστεψαν, ὅσο καὶ γιὰ τὴν κατάργηση τῶν σαρκικῶν νομίμων ποὺ ὑπηρετοῦσαν λέγοντας· «τώρα, Κύριε, πάρε πιὰ τὶς ψυχές μας ἀπὸ ἐμᾶς, γιατὶ τὸ καλὸ γιὰ μᾶς εἶναι νὰ πεθάνομε κι ὄχι νὰ ζοῦμε»[19]· ἐπειδὴ δηλαδὴ εἶχε ξεραθεῖ ἡ κολοκυθιά, ἐννοῶ ἡ λατρεία ποὺ καταργήθηκε τοῦ νόμου τῆς σκιᾶς, ἡ λατρεία ποὺ δημιουργήθηκε καὶ καταλύθηκε νύχτα, ὥστε καθὼς περιγραφόταν μόνο μὲ τὰ αἰνίματα καὶ τὰ σύμβολα δὲν εἶχε κανένα νοητὸ φωτισμὸ ποὺ νὰ μπορεῖ νὰ λαμπρύνει τὸ νοῦ.

Ἀλλὰ ἐμεῖς ἂς ἀγκαλιάσομε πνευματικὰ μὲ πίστη καὶ μὲ τὴ δικαιοσύνη ποὺ τὴ συνοδεύει τὴν πνευματικὴ Νινευή· ἐννοῶ τὴν Ἐκκλησία ἀπὸ τὰ ἔθνη, ποὺ ἔγινε πραγματικὰ «πόλη μεγάλη τοῦ Θεοῦ», ὅπως ἔχει γραφεῖ, καὶ ποὺ διασώθηκε μὲ τὴ μετάνοια μέσα στὶς τρεῖς μέρες ποὺ τῆς ὁρίστηκαν γιὰ ἐπιστροφή, καὶ ἂς φροντίσομε νὰ γίνομε πολίτες τῆς μεγάλης αὐτῆς πόλης τοῦ Θεοῦ μὲ τὴ μετάνοια καὶ τὴ μεταβολὴ πρὸς τὸ καλύτερο. Γιατὶ πραγματικὰ εἶναι μεγάλη ἡ πόλη τοῦ Θεοῦ τονίζει ὁ

19. Ἰωνᾶς 4,3.

τῷ Θεῷ τὴν πόλιν» ὁ λόγος οὗτος ὁ φάσκων, «ἡ δὲ Νινευὴ ἦν πόλις μεγάλη τῷ Θεῷ». Ποῦ τῆς Γραφῆς ὁ Ἰουδαῖος περὶ τῆς κάτω πόλεως Ἰερουσαλὴμ ἀληθείας φροντίζων τοῦτο κείμενον ἐπὶ λέξεως εὑρίσκει τὸ ρητόν; Οὐδαμοῦ γὰρ ἔγωγε, πᾶσαν πολλάκις ἀναγνοὺς τὴν ἁγίαν Γραφήν, κείμενον ηὗρον τό, «καὶ Ἰερουσαλὴμ ἦν πόλις μεγάλη τῷ Θεῷ». Τίς δὲ λόγου δυνάμει καὶ νοημάτων πλούτῳ θαρρῶν, περιγράψας μετρῆσαι δυνήσοιτο τὸ μέγεθος τῆς τῷ Θεῷ καὶ οὔσης καὶ λεγομένης μεγάλης πόλεως;

Ἐμοὶ μὲν τοῦτο παντελῶς ἄπορον· οἶμαι δὲ καὶ παντὶ συνετῷ τὴν διάνοιαν καὶ μικρὸν γοῦν ἐπησθημένῳ τῆς θείας μεγαλειότητος καὶ τῷ Θεῷ τὰς θείας ψήφους ἐμφορεῖς εἶναι δεῖν οὐκ ἀγνοῶν. Πῶς δὲ τῷ Θεῷ μεγάλη πόλις ἐστὶν ἡ πρώτη πόλις τῶν Ἀσσυρίων, ἔνθα τῆς πλάνης ὑπῆρχεν ἡ σύγχυσις, ἔνθα τῆς εἰδωλομανίας ἵδρυτο τὸ βασίλειον, ἡ πολὺ πόρρω τυγχάνουσα τῆς λεγομένης ἁγίας γῆς καὶ τῷ σωματικῷ Ἰσραὴλ ἐπηγγελμένης, εἰ μὴ τὸ μέγεθος τῆς μηδενὶ λόγῳ περιγραφομένης πίστεως τῆς ἐξ ἐθνῶν Ἐκκλησίας ἐνιδὼν ὁ Θεός[41]*, τὸ μέλλον ὥσπερ ὂν ἀπεδέξατο καὶ τὸ τέως ἀλλότριον εἰσῳκήσατο, καὶ τό ποτε διὰ τὴν ἀθεΐαν φαυλότατον, ἔνθεον τῷ λόγῳ καθέστηκε καὶ τιμιώτατον, καὶ μηδενὶ λόγῳ τὸ μέλλον ὁριζόμενον ἔχον, διὰ τοῦ προφήτου φήσας διαρρήδην, «καὶ Νινευὴ ἦν πόλις μεγάλη τῷ Θεῷ», πρὸς ἣν ἀποσταλεὶς ὁ τῆς προφητικῆς χάριτος λόγος τὴν μακαρίαν καταστροφὴν ἐκήρυξεν, εἰπών· «ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται». Κατὰ τοῦτον γενόμενος τῆς τῶν ἡμερῶν προθεσμίας τὸν τόπον, τὰ μὲν ἄλλα δοκῶ μοι παρήσειν, ὅσα δυνατὸν ρηθῆναι τοῖς τὸν λόγον ἀνάγουσι, μονώτατον δὲ σκοπεῖν μετὰ τῆς ἀκριβοῦς ση-*

λόγος αὐτὸς ποὺ λέει, «ἡ Νινευὴ ἦταν πόλη μεγάλη ἐνώπιον τοῦ Θεοῦ»[20]. Σὲ ποιό σημεῖο τῆς Γραφῆς ὁ Ἰουδαῖος, ποὺ φροντίζει γιὰ τὴν ἀλήθεια τῆς κάτω πόλης Ἱερουσαλήμ, βρίσκει νὰ ὑπάρχει ἐπιλέξει τοῦτο τὸ ρητό; Σὲ κανένα σημεῖο ἐγὼ τουλάχιστο, ἂν καὶ διάβασα πολὲς φορὲς τὴν ἁγία Γραφή, δὲν βρῆκα νὰ ὑπάρχει τὸ ρητὸ «καὶ ἡ Ἱερουσαλὴμ ἦταν μεγάλη πόλη ἐνώπιον τοῦ Θεοῦ. Καὶ ποιός ἄνθρωπος ἔχοντας πεποίθηση στὴ δύναμη τοῦ λόγου του καὶ στὸν πλοῦτο τῶν νοημάτων θὰ μπορέσει νὰ μετρήσει ἢ νὰ καθορίσει τὸ μέγεθος τῆς πόλης ποὺ εἶναι καὶ λέγεται μεγάλη πόλη τοῦ Θεοῦ;

Αὐτὸ ἀποτελεῖ γιὰ μένα τελείως ἄλυτη ἀπορία καὶ νομίζω καὶ γιὰ ὅποιον ἔχει σύνεση καὶ νοῦ κι ἔχει λίγο μονάχα νιώσει ἀπὸ τὸ θεῖο μεγαλεῖο καὶ δὲν ἀγνοεῖ πὼς οἱ θεϊκὲς ἀποφάσεις πρέπει νὰ εἶναι ἀνάλογες μὲ τὸ Θεό. Πῶς εἶναι μεγάλη πόλη τοῦ Θεοῦ ἡ μεγάλη πόλη τῶν Ἀσσυρίων, ὅπου κυριαρχοῦσε ἡ σύγχυση τῆς πλάνης, ὅπου εἶχε ἱδρυθεῖ τὸ βασίλειο τῆς εἰδωλομανίας, αὐτὴ ποὺ ἀπέχει πολὺ μακριὰ ἀπὸ τὴ λεγόμενη ἁγία γῆ καὶ ποὺ εἶναι ὑποσχεμένη στὸ σωματικὸ Ἰσραήλ, ἂν δὲν ἔβλεπε ὁ Θεὸς τὸ μέγεθος τῆς ἀπερίγραπτης πίστης τῆς Ἐκκλησίας τῶν ἐθνῶν καὶ δὲν ἀποδεχόταν σὰν παρὸν τὸ μελλοντικὸ καὶ δὲν ἔκανε δικό του τὸ ὡς τότε ξένο; Κι αὐτὸ ποὺ κάποτε ἦταν φαυλότατο ἐξαιτίας τῆς ἀθεΐας, τὸ ἔκανε μὲ τὸ λόγο ἔνθεο καὶ τιμιότατο καὶ ποὺ κανένας λόγος δὲν μπορεῖ νὰ τοῦ ὁρίσει τὸ μέλλον, ἀφοῦ ρητὰ μέσω τοῦ προφήτη εἶπε, «καὶ ἡ Νινευὴ ἦταν μεγάλη πόλη ἐνώπιον τοῦ Θεοῦ», στὴν ὁποία εἶχε ἀποσταλεῖ ὁ λόγος τῆς προφητικῆς χάριτος καὶ κήρυξε τὴ μακάρια καταστροφὴ λέγοντας, «τρεῖς μέρες ἀκόμη καὶ ἡ Νινευὴ θὰ καταστραφεῖ». Φτάνοντας στὸ σημεῖο ποὺ μιλάει γιὰ τὴν προθεσμία τῶν τριῶν ἡμερῶν, νομίζω ὅτι μπορῶ ν' ἀφήσω τὰ ἄλλα, ὅσα εἶναι δυνατὸ νὰ λεχθοῦν ἀπὸ ὅσους ἀνεβάζουν ψηλότερα τὸ λόγο, καὶ μόνο νὰ ἐξετάσω ὑπογραμμίζοντας μὲ ἀκρίβεια καὶ

20. Ἰωνᾶς 3,3.

μειώσεως καὶ εἰπεῖν ὅπερ τυχὸν οὐκ ἔξω βαῖνον εὑρεθήσεται τῆς ἀληθείας λεγόμενον.

Τοίνυν ἀκούων ὁριστικῶς, «ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται», τοῦ προφήτου κηρύττοντος, ἀπαράλλακτον ἐκδέχομαι κατὰ τῆς Νινευὴ τὴν ἀπόφασιν, μᾶλλον δὲ κυριώτερον εἰπεῖν, ὑπὲρ τῆς Νινευὴ τὴν ἐπίσκεψιν ἔσεσθαι. Νοῶ γάρ, ὅτι μετὰ τρεῖς ἡμέρας ὥσπερ τυπικῶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους ὑπάρχων, ἐν αὐτῷ προλαβὼν τὴν τριήμερον ταφὴν τοῦ Κυρίου καὶ ἀνάστασιν προδιέγραψεν ὁ προφήτης, ἄλλας ἐξεδέχετο τρεῖς ἡμέρας ὁ λόγος[42], ἐν αἷς ἔμελλε τῆς ἀληθείας ἀποδειχθῆναι τὸ φῶς καὶ ἡ τῶν προρρηθέντων ἀληθὴς τῶν μυστηρίων ἔκβασις καὶ ἡ καταστροφὴ γενέσθαι πάντως τῆς πόλεως, οὐκέτι μέλλουσαν προτυπούσας τὴν ἀλήθειαν τῆς τοῦ Σωτῆρος ταφῆς καὶ ἀναστάσεως, ἀλλ' ἐπὶ τῶν πραγμάτων ἐνεργεθεῖσαν δεικνυούσας σαφῶς τὴν ἀλήθειαν, ἧς προδιατύπωσις ἦν ἡ προλαβοῦσα κατὰ τὸν Ἰωνᾶν ἐν τῷ κήτει τριὰς τῶν ἡμερῶν.

Εἰ γὰρ πᾶς τύπος προσδοκωμένης ἀληθείας ἐστί, κατὰ δὲ τὸν τύπον τρεῖς ἡμέρας πεποίηκεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους Ἰωνᾶς, δῆλον ὡς τύπος πραγματειωδῶς ἐφεπομένην πάντως καινοπρεπῶς τὴν ἀλήθειαν δεικνύναι τὸ μυστήριον ἔμελλε, καὶ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐν τῇ καρδίᾳ τῆς γῆς πεποιηκέναι τὸν Κύριον, κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου φωνήν, φάσκοντος· «ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας». Τὸ γὰρ εἰπεῖν, «ἔτι τρεῖς ἡμέραι», δηλοῖ κατ' ἐπίκρυψιν, ὡς παρῆλθον ἄλλαι τρεῖς ἡμέραι, ἐπεὶ οὐκ ἂν ἔκειτο τό, «ἔτι»· τουτέστι, γενήσονται πάλιν τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. Οὐκοῦν ὁ τύπος οὐ κατέστρεψε τὴν Νινευὴ κατὰ τὴν θείαν ἀπόφασιν, ἀλλ' ἡ ἀλή-

νὰ πῶ ἐκεῖνο ποὺ τυχὸν λέγοντάς το δὲ θὰ βρεθεῖ ν' ἀστοχεῖ στὴν ἀλήθεια.

Ἀκούοντας λοιπὸν νὰ διαλαλεῖ ὁ προφήτης κατηγορηματικὰ «τρεῖς μέρες ἀκόμα καὶ ἡ Νινευὴ θὰ καταστραφεῖ», δέχομαι ὅτι ἡ ἀπόφαση κατὰ τῆς Νινευῆ εἶναι ἀμετάβλητη. Ἢ μᾶλλον γιὰ νὰ κυριολεκτήσω, ἡ ἐπίσκεψη τοῦ Θεοῦ θὰ εἶναι ὑπὲρ τῆς Νινευῆ. Γιατὶ ἀντιλαμβάνομαι ὅτι μετὰ τὶς τρεῖς ἡμέρες, κατὰ τὶς ὁποῖες βρίσκεται μέσα στὴν κοιλιὰ τοῦ κήτους συμβολικά, ποὺ προληπτικὰ προδιέγραψε μ' αὐτὸ ὁ προφήτης τὴν τριήμερη ταφὴ κι ἀνάσταση τοῦ Κυρίου, ὁ λόγος περίμενε ἄλλες τρεῖς ἡμέρες, κατὰ τὶς ὁποῖες ἔμελλε νὰ φανεῖ τὸ φῶς τῆς ἀλήθειας καὶ ἡ ἀληθινὴ ἔκβαση ὅσων μυστηρίων εἶχαν προειπωθεῖ, καὶ νὰ γίνει ὁπωσδήποτε ἡ καταστροφὴ τῆς πόλης. Αὐτὰ δὲν προτυπώνουν ὡς μελλοντικὴ τὴν ἀλήθεια τῆς ταφῆς τοῦ Κυρίου καὶ τῆς ἀνάστασης, ἀλλὰ δείχνουν σαφῶς ὅτι ἡ ἀλήθεια ἀποδείχθηκε πάνω στὰ πράγματα ποὺ προδιατύπωσή τους ἦταν τὸ τριήμερο ποὺ πέρασε ὁ Ἰωνᾶς στὴν κοιλιὰ τοῦ κήτους.

Ἂν λοιπὸν κάθε τύπος προτυπώνει μιὰ ἀλήθεια ποὺ προσδοκοῦμε καὶ σύμφωνα μὲ τὸν τύπο ὁ Ἰωνᾶς ἔμεινε τρεῖς μέρες στὴν κοιλιὰ τοῦ κήτους, εἶναι φανερὸ ὅτι τὸ μυστήριο τοῦτο ὡς τύπος ἔμελλε νὰ δείξει ὅτι μὲ καινὸ τρόπο ἀκολουθοῦσε ὁπωσδήποτε ἡ ἀλήθεια καὶ ὅτι ὁ Κύριος θὰ μείνει τρεῖς μέρες καὶ τρεῖς νύχτες στὴν καρδιὰ τῆς γῆς, σύμφωνα μὲ τὰ λόγια τοῦ ἴδιου τοῦ Κυρίου· «ὅπως ὁ Ἰωνᾶς ἔμεινε στὴν κοιλιὰ τοῦ κήτους τρεῖς μέρες καὶ τρεῖς νύχτες, ἔτσι καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου θὰ μείνει στὴν κοιλιὰ τῆς γῆς τρεῖς μέρες καὶ τρεῖς νύχτες»[21]. Γιατὶ μὲ τὸ νὰ πεῖ «ἀκόμα τρεῖς μέρες», δηλώνει κατὰ ἀποσιώπηση, ὅτι εἶχαν περάσει ἄλλες τρεῖς ἡμέρες, γιατὶ ἀλλιῶς δὲ θὰ ὑπῆρχε τὸ «ἀκόμα»· θὰ περάσουν δηλαδὴ πάλι τρεῖς μέρες καὶ ἡ Νινευὴ θὰ καταστραφεῖ. Ἑπομένως δὲν κατέστρεψε τὴ Νινευὴ ὁ τύπος σύμφωνα μὲ τὴ θεία ἀπόφαση, ἀλλὰ ἡ

21. Ματθ. 12,40.

θεια, περὶ ἧς εἶπεν, «ἔτι τρεῖς ἡμέραι»· ὡσανεὶ ἔλεγεν· Ἔτι τρεῖς ἡμέραι, κατὰ τὸν ἐμοὶ δειχθέντα τύπον, γενήσονται, μυστικωτέρας ταφῆς καὶ μείζονος ἀναστάσεως, καὶ Νινευὴ καταστραφήσεται.

Ἀλλ' ἐρεῖ τις τυχὸν διαπορῶν λόγος, Πῶς ἀληθεύει καταστροφῆς ψῆφον διδοὺς ὁ Θεὸς καὶ μὴ καταστρέφων; Πρὸς ὅν φαμεν, ὡς ἀληθεύει τὴν αὐτὴν καταστρέφων καὶ σώζων· τὸ μὲν τῇ ἀποθέσει τῆς πλάνης ποιῶν, τὸ δὲ τῇ προσλήψει κατορθῶν τῆς ἀληθοῦς ἐπιγνώσεως. Μᾶλλον δέ, τὴν μὲν πλάνην ἀποκτένων διὰ τῆς πίστεως πάλιν ζωογονουμένης([43]), τὴν δὲ σωτηρίαν τῷ θανάτῳ τῆς πλάνης πραγματευόμενος. Νινευὴ γὰρ ἑρμηνεύεται 'μελάνωσις αὐχμηρὰ' καὶ 'ὡραιότης λειοτάτη'. Οὐκοῦν συμφώνως τῇ δυνάμει τῆς ἑρμηνείας, τὴν μὲν ἐκ τῆς παραβάσεως τῇ φύσει προσγενομένην αὐχμηρὰν τῆς πλάνης μελάνωσιν μετὰ τὴν τριήμερον ταφὴν καὶ ἀνάστασιν ὁ Κύριος κατέστρεψε, τὴν δὲ ἐξ ὑπακοῆς πίστεως λειοτάτην ὡραιότητα τῆς φύσεως ἀνανεώσατο, πάλιν τὸ κάλλος ἐν τῇ φύσει κατὰ τὴν ἀνάστασιν δείξας τῆς ἀφθαρσίας ἄγαν λειότατον καὶ μηδενὶ τὸ παράπαν ὑλικῷ τραχυνόμενον. Ἁρμόσει δὲ καὶ πρὸς τὴν κοινὴν φύσιν τοῦτο λεγόμενον καὶ πρὸς τὴν ἁγίαν Ἐκκλησίαν, καὶ πρὸς τὴν τοῦ καθ' ἕκαστον ψυχὴν ἀποθεμένην διὰ πίστεως καὶ ἀγαθῆς συνειδήσεως τοῦ παλαιοῦ Ἀδὰμ καὶ χοϊκοῦ τὴν εἰκόνα, καὶ ἐνδυσαμένην τὴν εἰκόνα τοῦ ἐπουρανίου.

Τοιγαροῦν δέδεικται σαφῶς, ὅτι πολύτροπον ἔχει τὴν ἐπ' αὐτῷ θεωρίαν ὁ προφήτης κατὰ τὴν δύναμιν τοῦ ὀνόματος, τοῖς τόποις δηλονότι τῆς αὐτοῦ Γραφῆς προσφόρως ἁρμοζούσης κατὰ τὴν ἑρμηνείαν ἐμφάσεως. Σημαίνει γὰρ ὡς μὲν 'φυγὴ κάλλους' ἑρμηνευόμενος τὸν Ἀδὰμ καὶ τὴν κοινὴν φύσιν· ὡς δὲ 'ἀνάπαυσις' καὶ 'ἴασις Θεοῦ' καὶ 'πόνος Θεοῦ' λεγόμενος τὸν Κύριον ἡμῶν καὶ Θεὸν κατὰ τὴν ἀποδοθεῖσαν τῆς ἐξηγήσεως δύναμιν· τὴν δὲ τοῦ κηρύγματος χάριν διὰ τοῦ ἐν αὐτῇ πλούτου

ἀλήθεια, γιὰ τὴν ὁποία εἶπε «ἀκόμα τρεῖς μέρες». Εἶναι σὰ νὰ ἔλεγε· "Ἀκόμα τρεῖς μέρες θὰ περάσουν, σύμφωνα μὲ τὸν τύπο ποὺ εἴδατε σ' ἐμένα, μέρες πιὸ μυστικῆς ταφῆς κι ἀνάστασης ἀνώτερης, καὶ ἡ Νινευὴ θὰ καταστραφεῖ.

Ἀλλ' ἴσως διατύπωσει κάποιος τὴν ἀπορία· Πῶς ὁ Θεὸς εἶναι ἀληθὴς ὅταν βγάζει ἀπόφαση καταστροφῆς, κι ὅμως δὲν καταστρέφει; Σ' αὐτὸν θ' ἀπαντήσομε ὅτι βγαίνει ἀληθής, καταστρέφοντας καὶ σώζοντας τὴν ἴδια πόλη. Τὸ ἕνα τὸ κάνει μὲ τὴν ἀπόθεση τῆς πλάνης, καὶ τὸ ἄλλο τὸ κατορθώνει μὲ τὴν ἀπόκτηση τῆς ἀληθινῆς γνώσης. Ἢ καλύτερα, ἀποκτείνοντας τὴν πλάνη μὲ τὴν πίστη ποὺ ἀναζωογονεῖται, ἐνῶ τὴ σωτηρία τὴν κατορθώνει μὲ τὸ θάνατο τῆς πλάνης. Γιατὶ Νινευὴ σημαίνει 'σκοτείνιασμα ζοφερὸ' καὶ 'ὀμορφιὰ ἀπαλότατη'. Σύμφωνα λοιπὸν μὲ τὸ νόημα τῆς ἑρμηνείας τὸ ζοφερὸ σκοτείνιασμα ποὺ ἔπαθε ἡ φύση μας ἀπὸ τὴν παράβαση, ὁ Κύριος τὸ ἐξαφάνισε μετὰ τὴν τριήμερη ταφὴ καὶ ἀνάστασή του καὶ ἀνανέωσε τὴν ἀπαλότατη ὀμορφιὰ τῆς φύσης ποὺ δίνει ἡ ὑπακοὴ τῆς πίστης, δείχνοντας πάλι στὴ φύση μας κατὰ τὴν ἀνάσταση τὸ κάλλος τῆς ἀφθαρσίας ἐξαιρετικὰ ἀπαλό, ποὺ δὲν τὸ ἐκτραχύνει κανένα ἀπολύτως ὑλικὸ στοιχεῖο. Αὐτὸ ποὺ λέμε θ' ἀποδειχθεῖ ταιριαστὸ καὶ πρὸς τὴν κοινὴ φύση καὶ πρὸς τὴν ἁγία Ἐκκλησία καὶ πρὸς τὴν ψυχὴ τοῦ καθενός, ἡ ὁποία ἔχει ἀποθέσει μὲ πίστη καὶ ἀγαθὴ συνείδηση τὴν εἰκόνα τοῦ παλαιοῦ καὶ χοϊκοῦ Ἀδὰμ καὶ ἔχει ντυθεῖ τὴν εἰκόνα τοῦ ἐπουράνιου[22].

Ἔγινε λοιπὸν σαφὲς ὅτι τὸ ὅραμα τοῦ προφήτη ἔχει πολλὲς ὄψεις, σύμφωνα μὲ τὴν ἑρμηνεία τοῦ ὀνόματος· στὶς ἐπιμέρους ἑρμηνεῖες του δηλαδὴ ἐναρμονίζεται πρόσφορα ἡ Γραφή. Ἡ ἑρμηνεία του ὡς 'φυγὴ ὀμορφιᾶς' σημαίνει τὸν Ἀδὰμ καὶ τὴν κοινὴ φύση. Ἑρμηνευόμενος ὡς 'ἀνάπαυση' καὶ 'ἴαση Θεοῦ' καὶ 'κόπος τοῦ Θεοῦ' σημαίνει τὸν Κύριο καὶ Θεό μας σύμφωνα μὲ τὸ νόημα ποὺ δώσαμε στὴν ἐξήγηση. Μηνύοντας

22. Α' Κορ. 15,49.

τοῦ Πνεύματος μηνύων, 'περιστερὰ' λέγεται καὶ 'δόμα Θεοῦ', καὶ 'πόνος Θεοῦ' διὰ τοὺς πολλοὺς ἀγῶνας τῶν γενομένων ταύτης τῆς ἀληθοῦς κλήσεως λειτουργῶν. Τὴν δὲ τῶν Ἰουδαίων κατὰ τῆς ἀληθείας ὑπεμφαίνων μανίαν, ἑρμηνεύεται 'διαπόνησις αὐτῶν', ὅπερ ἐστὶ φθόνος ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, τίκτων λύπην τοῖς ἔχουσιν, ὅπερ κακὸν εἰς φύσιν τοῖς Ἰουδαίοις μετέπεσε, τὸ πρὸς Θεὸν καὶ ἀνθρώπους μῖσος ἀνελομένοις, καὶ διὰ τοῦτο μόνην τὴν δι' αἵματος καὶ φόνων ἀναιδεῖς (ἀνέδην) φθορὰν ἐπιζητοῦσι τῆς φύσεως.

Ἀλλ' ἐπειδὴ τρέχων ὁ λόγος τὴν περὶ τῆς πορείας τῶν τριῶν ἡμερῶν θεωρίαν παρέλειψε, φησὶ γάρ, «ἡ Νινευὴ ἦν πόλις μεγάλη τῷ Θεῷ, ὡσεὶ πορείας ὁδοῦ ἡμερῶν τριῶν», εἰ δοκεῖ, δι' ὀλίγων τὴν ἔλλειψιν ἀναπληρώσωμεν.

Τὴν τοίνυν πορείαν τῆς ὁδοῦ τῶν τριῶν ἡμερῶν ὑποληπτέον εἶναι τοὺς διαφόρους βίους δρόμου τοῦ κατὰ Θεόν, ἤγουν τὴν ἑκάστῳ γενικῷ νόμῳ πρέπουσαν ἀγωγήν. Νόμους δὲ λέγω νῦν γενικοὺς τὸν φυσικὸν καὶ τὸν γραπτὸν καὶ τὸν τῆς χάριτος. Ἰδιάζουσαν γὰρ τούτων ἕκαστος ἀναστροφὴν ἔχει βίου καὶ δρόμον πρόσφορον, ὅτι καὶ τὴν ἐξ αὐτοῦ κατὰ τὴν γνώμην γενομένην τῶν ἀγομένων διάθεσιν ἔχει διάφορον. Ἄλλην γὰρ ἄλλος ἑκάστῳ τῶν ὑπ' αὐτὸν πέφυκε δημιουργεῖν τὴν διάθεσιν[45]. Οἷον, ὁ μὲν φυσικὸς νόμος[46], ὅταν οὐκ ἔχῃ πλεονεκτοῦσαν τὸν λόγον τὴν αἴσθησιν, ἀδιδάκτως ἀσπάζεσθαι πάντας πείθει τὸ συγγενὲς καὶ ὁμόφυλον, αὐτὴν ἔχοντας τὴν φύσιν, τῆς τῶν δεομένων ἐπικουρίας διδάσκαλον, κἀκεῖνο βούλεσθαι πᾶσιν ἅπαντας, ὅπερ ἕκαστος ἑαυτῷ παρὰ τῶν ἄλλων γινόμενον εἶναι δοκεῖ καταθύμιον· καὶ τοῦτο διδάσκων ὁ Κύριος, φησίν· «ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ὁμοίως καὶ ὑμεῖς ποιεῖτε

τὴ χάρη τοῦ κηρύγματος μὲ τὸν πλοῦτο τοῦ Πνεύματος ποὺ περιέχει λέγεται 'περιστερὰ' καὶ 'δῶρο τοῦ Θεοῦ' καὶ 'κόπος τοῦ Θεοῦ' γιὰ τοὺς πολλοὺς ἀγῶνες ἐκείνων ποὺ ἔγιναν λειτουργοὶ αὐτῆς τῆς ἀληθινῆς κλήσης. Ὑποδηλώνοντας τὴ μανία τῶν Ἰουδαίων κατὰ τῆς ἀλήθειας, ἐξηγεῖται 'ταλαιπωρία τους', πράγμα ποὺ σημαίνει φθόνος γιὰ τὰ ξένα ἀγαθὰ ποὺ γεννᾶ λύπη γιὰ ὅσους τὰ ἔχουν καὶ ποὺ αὐτὸ ἔγινε φυσικὸ ἐλάττωμα τῶν Ἰουδαίων, ποὺ τρέφουν μίσος πρὸς τὸ Θεὸ καὶ τοὺς ἀνθρώπους, καὶ γι' αὐτὸ ἐπιδιώκουν μὲ ἀναίδεια ἕνα μόνο, τὴν καταστροφὴ τῶν ἀνθρώπων μὲ αἷμα καὶ σφαγή.

Ἐπειδὴ ὅμως ὁ λόγος κυλώντας παρέλειψε τὴ θεωρία γιὰ τὴν πορεία τῶν τριῶν ἡμερῶν, γιατὶ λέει, «ἡ Νινευὴ ἦταν μεγάλη πόλη ἐνώπιον τοῦ Θεοῦ καὶ ἀπεῖχε περίπου τριῶν ἡμερῶν πορεία, ἂν θέλεις, ἂς ἀναπληρώσομε τὴν ἔλλειψη μὲ λίγα ἀκόμα.

Ἡ πορεία λοιπὸν τῶν τριῶν ἡμερῶν πρέπει νὰ ἐννοήσομε ὅτι εἶναι οἱ διάφοροι βίοι στὴν πορεία πρὸς τὸ Θεό, δηλαδὴ ἡ διαγωγὴ ποὺ ἁρμόζει σὲ κάθε γενικὸ νόμο. Νόμους γενικοὺς τώρα λέγω τὸ φυσικὸ καὶ τὸ γραπτὸ καὶ τὸ νόμο τῆς χάριτος. Καθένας ἀπὸ αὐτοὺς ἔχει τρόπο ζωῆς ποὺ προσιδιάζει σ' αὐτὸν καὶ δρόμο κατάλληλο, ἐπειδὴ καὶ διαφορετικὰ διατίθεται ἡ γνώμη τους γιὰ ὅσα πράγματα συμβαίνουν. Γιατὶ εἶναι φυσικὸ καθένας ἀπὸ αὐτοὺς νὰ δημιουργεῖ σὲ ὅποιον συμβαδίζει μ' αὐτοὺς διάφορη διάθεση. Γιὰ παράδειγμα· ὁ φυσικὸς νόμος ὅταν δὲν βάζει τὴν αἴσθηση σὲ πλεονεκτικότερη θέση ἀπὸ τὸ λόγο, πείθει χωρὶς διδασκαλία ὅλους ν' ἀσπάζονται ὅ,τι εἶναι συγγενὲς καὶ ὁμόφυλο, ἔχοντας τὴν ἴδια τὴ φύση δάσκαλο νὰ τοὺς βοηθᾶ σὲ ὅσα χρειάζονται, καὶ νὰ θέλουν ὅλοι γιὰ ὅλους ἐκεῖνο ποὺ ὁ καθένας θεωρεῖ εὐχάριστο νὰ τοῦ κάνουν οἱ ἄλλοι. Διδάσκοντας αὐτὸ τὸ πράγμα ὁ Κύριος λέει· «ὅσα θέλετε νὰ σᾶς κάνουν οἱ ἄνθρωποι, αὐτὰ ὅμοια νὰ τοὺς κάνετε κι ἐσεῖς»[23]. Γιατὶ

23. Τωβ. 4,16· Ματθ. 7,12· Λουκᾶ 6,31.

αὐτοῖς». Ἐφ' ὧν γὰρ ἡ φύσις λόγῳ βραβεύεται[47], τούτων μία πέφυκεν εἶναι διάθεσις. Ὧν δὲ ἡ διάθεσις ἡ αὐτή, καὶ κατ' ἦθος τρόπος καὶ ὁ τοῦ βίου δρόμος εἷς ὑπάρχειν προδήλως πέφυκεν. Ὧν δὲ τρόπος ἠθῶν καὶ βίου δρόμος ἐστὶν ὁ αὐτός, εἷς δηλονότι καὶ αὐτὸς κατὰ τὴν γνώμην τῆς πρὸς ἀλλήλους σχέσεως ὑπάρχει δεσμός, κατὰ μίαν τὴ γνώμην ἄγων τοὺς πάντας πρὸς τὸν ἕνα λόγον τῆς φύσεως, ἐν ᾧ παντελῶς οὐκ ἔστιν ἡ νῦν κρατοῦσα τῆς φύσεως διὰ τὴν φιλαυτίαν διαίρεσις.

Ὁ δὲ γραπτὸς νόμος[48], φόβῳ τῶν ἐπιτιμίων ἐπέχων τὰς ἀτάκτους τῶν ἀφρονεστέρων ὁρμάς, ἐθίζει διδάσκων πρὸς μόνην αὐτοὺς ὁρᾶν τὴν τοῦ ἴσου διανομήν, καθ' ἣν τῆς δικαιοσύνης τὸ κράτος χρόνῳ βεβαιωθὲν εἰς φύσιν μεθίσταται, ποιοῦν τὸν μὲν φόβον διάθεσιν ἠρέμα κατὰ μικρὸν τῇ περὶ τὸ καλὸν γνώμῃ κρατουμένην, ἕξιν δὲ τὴν συνήθειαν τῇ λήθῃ τῶν προτέρων καθαιρομένην καὶ τὸ φιλάλληλον ἑαυτῇ συναποτίκτουσαν, καθ' ὃ τοῦ νόμου γίνεσθαι τὸ πλήρωμα πέφυκε, πάντων ἀλλήλοις κατὰ τὴν ἀγάπην συναρμοσθέντων. Πλήρωμα γὰρ νόμου καθέστηκεν ἡ κατ' ἀγάπην διάλληλος συνοχὴ πάντων τῶν μετειληφότων τῆς φύσεως, φέρουσα τῷ κατ' ἀγάπην πόθῳ κατεστεμμένον τὸν λόγον τῆς φύσεως καὶ τῇ προσθήκῃ τοῦ πόθου τὸν τῆς φύσεως καταφαιδρύνουσα νόμον. Νόμος γὰρ φύσεώς ἐστι[49] λόγος φυσικὸς τοῖς τρόπος τὴν αἴσθησιν λαβὼν ὑποχείριον. Γραπτὸς δὲ νόμος ἐστίν, ἤγουν γραπτοῦ νόμου πλήρωσις, λόγος φυσικὸς προσλαβὼν λόγον πνευματικὸν τῆς πρὸς τὸ συγγενὲς ἀλληλουχίας ἐπίκουρον. Διό φησιν, «ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν», ἀλλ' οὐ, 'σχοίης τὸν πλησίον σου ὡς ἑαυτόν'. Τὸ μὲν γὰρ τὴν πρὸς τὸ εἶναι μόνον δηλοῖ τοῦ συγγενοῦς συνοχήν,[50] τὸ δὲ τὴν πρὸς τὸ εὖ εἶναι σημαίνει πρόνοιαν.

---

24. Ἕξη καὶ συνήθεια τὸ ἴδιο ὡς κατοχή–ἀπόκτηση καὶ συνήθως ὡς ἐκδήλωση. Ἐδῶ ἡ ἕξη ἐξηγεῖται ὡς ἀπόκτηση καὶ κατοχή, ἴσως καὶ ἱκανότητα.

ἐκείνους ποὺ ἡ φύση προικίζει μὲ λόγο, σ' αὐτοὺς εἶναι φυσικὸ νὰ ὑπάρχει μία μόνη διάθεση. Κι ὅποιοι ἔχουν τὴν ἴδια διάθεση, σ' αὐτοὺς ὅμοιος εἶναι ὁλοφάνερα ὁ τρόπος διαγωγῆς καὶ ἕνας ὁ δρόμος τοῦ βίου. Σ' ὅποιους τώρα καὶ ὁ τρόπος τῶν ἠθῶν καὶ ὁ δρόμος τοῦ βίου εἶναι ἴδιος, εἶναι φανερὸ ὅτι ὑπάρχει ἕνας καὶ ὁ αὐτὸς ἑκούσιος δεσμὸς στὴ μεταξὺ τους σχέση, ὁδηγώντας ὅλους κατὰ μία σύμφωνη γνώμη πρὸς τὸν κοινὸ λόγο τῆς φύσης, στὸν ὁποῖο ἀπουσιάζει τελείως ἡ διαίρεση τῆς φύσης ποὺ ἐπικρατεῖ τώρα ἐξαιτίας τῆς φιλαυτίας.

Ὁ γραπτὸς πάλι νόμος ποὺ μὲ τὸ φόβο τῶν ἐπιτιμίων συγκρατεῖ τὶς πιὸ ἀνυπότακτες ὁρμὲς τῶν πιὸ ἀνόητων, τοὺς συνηθίζει μὲ τὴ διδασκαλία του νὰ ἀποβλέπουν μόνο στὴν ἀπονομὴ τοῦ ἴσου καὶ σύμφωνα μ' αὐτὴν παγιωμένο μὲ τὸν καιρὸ τὸ κράτος τῆς δικαιοσύνης, γίνεται πιὰ φύση, κάνοντας τὸ φόβο ἤρεμα καὶ σιγὰ σιγὰ διάθεση ποὺ συγκρατεῖται μὲ τὴ γνώμη ποὺ ἀφορᾶ τὸ καλό, ἐνῶ τὴν ἕξη τὴν κάνει συνήθεια[24] καθαρμένη μὲ τὴ λήθη τῶν προηγουμένων πράξεων καὶ γεννᾶ μέσα της τὴ φιλαλληλία, σύμφωνα μὲ τὴν ὁποία ὁλοκληρώνεται ὁ νόμος, ὅταν ὅλοι δεθοῦν μεταξύ τους μὲ τὴν ἀγάπη[25]. Γιατὶ ὁλοκλήρωση τοῦ νόμου εἶναι ὁ σύνδεσμος τῆς ἀγάπης μεταξὺ ὅλων ἐκείνων ποὺ εἶναι μέτοχοι τῆς φύσης μας, ποὺ φέρνει τὸ λόγο τῆς φύσης στεφανωμένο μὲ τὸν πόθο ποὺ ἐμπνέει ἡ ἀγάπη. Γιατὶ νόμος τῆς φύσης εἶναι λόγος φυσικὸς ποὺ κάνει μὲ τοὺς τρόπους τὴν αἴσθηση ὑποχείριά του. Ἐνῶ γραπτὸς νόμος, δηλαδὴ πλήρωμα τοῦ γραπτοῦ νόμου, εἶναι λόγος φυσικὸς ποὺ προσέλαβε ὡς ἐπίκουρο τοῦ σύνδεσμου μὲ τὸ συγγενικὸ τὸν πνευματικὸ λόγο. Γι' αὐτὸ λέει· «θ' ἀγαπήσεις τὸν πλησίον σου ὅπως τὸν ἑαυτό σου» καὶ ὄχι 'θὰ ἔχεις τὸν πλησίον σου ὅπως τὸν ἑαυτό σου'· γιατὶ αὐτὸ δηλώνει μόνο τὴ συνοχὴ τοῦ συγγενικοῦ μὲ τὸ εἶναι, ἐνῶ τὸ πρῶτο σημαίνει τὴν πρόνοια γιὰ τὸ μακάριο εἶναι.

---

25. Ρωμ. 13,10.

Ὁ δὲ τῆς χάριτος νόμος αὐτὸς ἀμέσως διδάσκει τοὺς ἀγομένους μιμεῖσθαι τὸν Θεόν, ὃς τοσοῦτον ὑπὲρ ἑαυτὸν ἡμᾶς, εἰ θέμις εἰπεῖν, καὶ ταῦτα διὰ τὴν ἁμαρτίαν ὄντας ἐχθρούς, ἠγάπησεν, ὥστε καὶ εἰς τὴν καθ' ἡμᾶς οὐσίαν ἐλθεῖν ἀτρέπτως, ὑπὲρ πᾶσαν οὐσίαν ὄντα καὶ φύσιν ὑπερουσίως καταδέξασθαι, καὶ ἄνθρωπον γενέσθαι, καὶ τῶν ἀνθρώπων ἕνα χρηματίσαι βούλεσθαι, καὶ τὴν ἡμετέραν κατάκρισιν οἰκείαν ποιῆσαι μὴ παραιτήσασθαι, καὶ τοσοῦτον ἡμᾶς θεῶσαι κατὰ χάριν, ὅσον κατ' οἰκονομίαν αὐτὸς φύσει γέγονεν ἄνθρωπος, ἵνα μὴ μόνον μάθωμεν ἀλλήλων ἀντέχεσθαι φυσικῶς καὶ ὡς ἑαυτοὺς ἀλλήλους ἀγαπᾶν πνευματικῶς, ἀλλὰ καὶ ὑπὲρ ἑαυτοὺς ἀλλήλων κήδεσθαι θεϊκῶς, καὶ ταύτην τῆς εἰς ἀλλήλους ἀγάπης ἀπόδειξιν ποιεῖσθαι, τὸ κατ' ἀρετὴν ὑπὲρ ἀλλήλων τὸν ἑκούσιον προθυμεῖσθαι θάνατον. «Οὐκ ἔστι γὰρ ταύτης ἄλλη μείζων ἀγάπη», φησίν, «ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ».

Οὐκοῦν ὁ μὲν τῆς φύσεως νόμος ἐστίν[51]*, ἵνα συνελὼν εἴπω, λόγος φυσικὸς τὴν αἴσθησιν λαβὼν ὑποχείριον πρὸς ἀφαίρεσιν τῆς ἀλογίας, καθ' ἣν τῶν φυσικῶς συνημμένων ἐστὶν ἡ διαίρεσις. Ὁ δὲ γραπτὸς νόμος ἐστὶ λόγος φυσικὸς μετὰ τὴν κατ' αἴσθησιν τῆς ἀλογίας ἀφαίρεσιν προσλαβὼν καὶ πόθον πνευματικὸν τῆς πρὸς τὸ συγγενὲς ἀλληλουχίας συνεκτικόν. Ὁ δὲ τῆς χάριτος νόμος ὑπὲρ φύσιν καθέστηκε λόγος, πρὸς θέωσιν ἀτρέπτως τὴν φύσιν μεταπλάττων καὶ ὡς ἐν εἰκόνι δεικνὺς ἀκαταλήπτως τῇ φύσει τῶν ἀνθρώπων τὸ ὑπὲρ οὐσίαν καὶ φύσιν ἀρχέτυπον καὶ τὴν τοῦ ἀεὶ εὖ εἶναι διαμονὴν παρεχόμενος.*

Εἰ δὲ τοῦτον ἔχει τὸν τρόπον ὁ περὶ τῶν τριῶν νόμων λό-

Ὁ νόμος τώρα τῆς χάριτος διδάσκει ἀμέσως αὐτοὺς ποὺ τὸν ἐφαρμόζουν νὰ μιμοῦνται τὸν ἴδιο τὸ Θεό, ὁ ὁποῖος τόσο περισσότερο ἀπὸ τὸν ἑαυτό του μᾶς ἀγάπησε, ἂν ἐπιτρέπεται νὰ μιλήσω ἔτσι, καὶ μάλιστα ἐνῶ ἐξαιτίας τῆς ἁμαρτίας ἤμαστε ἐχθροί του, ὥστε νὰ καταδεχθεῖ νὰ λάβει χωρὶς τροπὴ ἀκόμα καὶ τὴ δική μας οὐσία ὑπερούσια, ἐνῶ εἶναι πάνω ἀπὸ κάθε οὐσία καὶ φύση, καὶ νὰ γίνει ἄνθρωπος καὶ νὰ θελήσει νὰ ζήσει σὰν ἕνας ἀπὸ τοὺς ἀνθρώπους καὶ νὰ μὴν ἀποφύγει νὰ κάνει δική του τὴ δική μας καταδίκη, καὶ τόσο πολὺ νὰ μᾶς κάνει θεοὺς κατὰ χάρη, ὅσο οἰκονόμησε νὰ γίνει ἐκεῖνος κατὰ τὴ φύση ἄνθρωπος, ὥστε νὰ μὴ μάθομε μονάχα νὰ πιανόμαστε φυσικὰ ὁ ἕνας ἀπὸ τὸν ἄλλο καὶ νὰ ἀγαποῦμε πνευματικὰ τοὺς ἄλλους ὅπως τὸν ἑαυτό μας, ἀλλὰ καὶ νὰ ἐνδιαφερόμαστε γιὰ τοὺς ἄλλους θεϊκὰ περισσότερο ἀπὸ τὸν ἑαυτό μας. Κι ἀπόδειξη τῆς μεταξύ μας ἀγάπης νὰ κάνομε τοῦτο, νὰ εἴμαστε πρόθυμοι νὰ δεχθοῦμε τὸν ἑκούσιο θάνατο γιὰ χάρη τῶν ἄλλων ποὺ ἀπαιτεῖ ἡ ἀρετή. Γιατὶ λέει, «δὲν ὑπάρχει ἄλλη μεγαλύτερη ἀγάπη ἀπὸ αὐτήν, ἀπὸ τὸ νὰ θυσιάζει κανένας τὴ ζωή του γιὰ τοὺς φίλους του»[26].

Ὁ νόμος λοιπὸν τῆς φύσης, γιὰ νὰ μιλήσω μὲ συντομία, εἶναι λόγος φυσικὸς ποὺ ἔλαβε ὑποχείρια τὴν αἴσθηση γιὰ νὰ ἐξουδετερωθεῖ ἡ ἀλογία ποὺ προκαλεῖ τὴ διαίρεση τῶν ἑνωμένων φυσικά. Ὁ γραπτὸς νόμος εἶναι λόγος φυσικὸς ποὺ μετὰ τὴν ἐξάλειψη τῆς ἀλογίας τῆς αἴσθησης προσέλαβε καὶ τὸν πνευματικὸ πόθο, ποὺ εἶναι τὸ συνενωτικὸ στοιχεῖο τῆς ἀλληλουχίας τῶν συγγενικῶν. Τέλος ὁ νόμος τῆς χάριτος εἶναι λόγος πάνω ἀπὸ τὴ φύση ποὺ μεταπλάθει χωρὶς τροπὴ γιὰ τὴ θέωση καὶ σὰν μὲ εἰκόνα δείχνει μὲ τρόπο ἀκατανόητο στὴ φύση τῶν ἀνθρώπων τὸ ἀρχέτυπο τὸ πάνω ἀπὸ τὴν οὐσία καὶ τὴ φύση καὶ παρέχει τὴν αἰώνια παραμονὴ τῆς μακαριότητας.

Ἂν ὁ λόγος τῶν τριῶν νόμων ἐξηγεῖται μ' αὐτὸ τὸν τρόπο,

---

26. Ἰω. 15,13.

γος, εἰκότως ἡ μεγάλη τοῦ Θεοῦ πόλις Ἐκκλησία, ἤγουν ἡ τοῦ καθ' ἕκαστον ψυχή, πορείας ὁδοῦ τριῶν καθέστηκεν ἡμερῶν,[52] *ὡς δεκτικὴ καὶ χωρητικὴ τῆς κατὰ φύσιν καὶ νόμον καὶ πνεῦμα δικαιοσύνης. Ἐν τούτοις γὰρ τοῖς τρισὶ νόμοις ὁ πᾶς περιέχεται τῆς Ἐκκλησίας διάκοσμος, πλάτει τε τῷ κατ' ἀρετὴν καὶ μήκει τῷ κατὰ γνῶσιν καὶ τῷ κατὰ σοφίαν βάθει τῆς μυστικῆς θεολογίας περιγραφόμενος. Ἀλλὰ ταύτης κατὰ διάθεσιν, ὡς ὁ τῶν Ἰουδαίων λαός, μὴ χωρισθῶμεν τῆς πόλεως, τὸ σῶμα καθάπερ σκηνὴν στέργοντες καὶ τὴν πρόσκαιρον τοῦ σώματος, ὥσπερ κολόκυνθαν, ἡδονὴν περιέποντες, ἵνα μὴ ἄν, τῆς συνειδήσεως ὁ σκώληξ πλήξας, ἀποξηράνῃ τὴν καθ' ἡδονὴν ἠπατημένην διάθεσιν, καὶ ἡ διὰ τῶν ἀκουσίων πειρασμῶν ἐπελθοῦσα, καθάπερ πνεῦμα καύσωνος, τῶν κακῶς ἡμῖν βεβιωμένων ἔκτισις, ἀπειπώμεθα τὴν ζωὴν καὶ πρὸς τὴν θείαν δυσανασχετήσωμεν κρίσιν.*

Ἕκαστος γὰρ ἡμῶν τῶν ἡττημένων τῇ ἀπάτῃ τῶν ὑλικῶν καὶ ταῖς ἡδοναῖς χαιρόντων τοῦ σώματος[53]*, σκώληκος δίκην, τοῦ Θεοῦ τὸν λόγον δέχεται, καὶ τὴν συνείδησιν αὐτὸν πλήττοντα τέως καὶ ῥίζης δίκην κολοκύνθης τὴν πρὸς τὴν ἡδονὴν αὐτοῦ διεσθίοντα σχέσιν, καὶ οὕτω διὰ τῆς τελείας ἀνατολῆς τοῦ φωτισμοῦ τῶν λογίων τοῦ πνεύματος ἀποξηραίνοντα τὴν καθ' ἁμαρτίαν ἐνέργειαν, καὶ πνεύματι καύσωνος τῇ μνήμῃ τῶν αἰωνίων κολάσεων, καθάπερ κεφαλὴν τὴν κατ' αἴσθησιν ἐν ταῖς προσβολαῖς ἀρχὴν τῶν παθῶν τῆς κακίας πατάσσοντα, ἵνα μάθωμεν προνοίας λόγους καὶ κρίσεως*[54] *τῶν προσκαίρων, ὧν τῇ στερήσει λυπεῖσθαι τὸ γένος εἴωθεν τῶν ἀνθρώπων, τὰ αἰώνια προκρινούσης. Εἰ γὰρ τὸν ἄνθρωπον διὰ τὴν σκηνὴν καὶ τὴν κολόκυνθαν λυπούμενον, λέγω δὲ τὴν σάρκα, καὶ τὴν τῆς σαρκὸς ἡδονήν, τῆς δὲ Νινευῆ ἀντεχόμενον τὸν Θεὸν εἰσήγαγε τῆς Γραφῆς ὁ λόγος, δῆλον ὡς τῶν τοῖς ἀνθρώποις τιμίων καὶ ἐπεράστων, τὸ τῷ Θεῷ φανὲν προσφιλές, πάντων τῶν ὁπωσοῦν ὄντων πολλῷ κρεῖττόν ἐστι καὶ τιμιώτερον, ἤπου γε τῶν οὐκ ὄντων καὶ μόνῃ προλήψει κατ' ἐσφαλμένην*

εὔλογα ἡ μεγάλη πόλη τοῦ Θεοῦ, ἡ Ἐκκλησία, δηλαδὴ ἡ ψυχὴ τοῦ καθενὸς ἔγινε πορεία δρόμου τριῶν ἡμερῶν, ἐπειδὴ δέχεται καὶ χωράει τὴ φυσική, τὴ νομικὴ καὶ τὴν πνευματικὴ δικαιοσύνη. Γιατὶ σ' αὐτοὺς τοὺς τρεῖς νόμους περιέχεται ὅλη ἡ ἁρμονία τῆς Ἐκκλησίας ποὺ προσδιορίζεται μὲ τὸ πλάτος τῆς ἀρετῆς καὶ τὸ μῆκος τῆς γνώσης καὶ μὲ τὸ βάθος τῆς σοφίας τῆς μυστικῆς θεολογίας. Ἀλλὰ ἄς μὴν χωριστοῦμε ὡς πρὸς τὴ διάθεση ἀπὸ τὴν πόλη αὐτὴν ὅπως χωρίστηκε ὁ Ἰουδαϊκὸς λαός, στέργοντας τὸ σῶμα ὡς σκηνή, κι ἄς φροντίζομε τὴν πρόσκαιρη ἡδονὴ τοῦ σώματος ὅπως τὴν κολοκυθιά, ὥστε ἂν τὸ σκουλήκι τῆς συνείδησης μᾶς χτυπήσει κι' ἀποξηράνει τὴν διάθεση τὴ γελασμένη ἀπὸ τὴν ἡδονή, καὶ μαζὶ χτυπήσει καὶ ἡ ἔκτιση τῆς ὀφειλῆς μὲ τοὺς ἀκούσιους πειρασμοὺς σὰν πνεῦμα καύσωνα γιὰ ὅσα κακῶς πράξαμε, νὰ μὴν ἀρνηθοῦμε τὴ ζωὴ καὶ δυσανασχετήσομε γιὰ τὴ θεία κρίση.

Γιατὶ καθένας ἀπὸ μᾶς ποὺ ἡττηθήκαμε ἀπὸ τὴν ἀπάτη τῶν ὑλικῶν καὶ χαιρόμαστε τὶς σωματικὲς ἡδονές, δεχόμαστε σὰ νά' ναι σκουλήκι, τὸ λόγο τοῦ Θεοῦ ποὺ χτυπᾶ τὴ συνείδηση καὶ κατατρώει τὴ σχέση πρὸς τὴν ἡδονή, ὅπως τὸ σκουλήκι τὴ ρίζα τῆς κολοκυθιᾶς, κι ἔτσι μὲ τὴν τέλεια ἀνατολὴ τοῦ φωτισμοῦ ἀπὸ τὰ λόγια τοῦ Πνεύματος ἀποξηραίνει τὴν ἐνέργεια τῆς ἁμαρτίας καὶ μὲ τὴν πνοὴ τοῦ καύσωνα, τὴ μνήμη τῶν αἰώνιων κολάσεων, χτυπᾶ, σὰ νά 'ναι κεφάλι, τὴν ἀρχὴ τῶν παθῶν ποὺ προέρχεται ἀπὸ τὶς προσβολὲς τῶν αἰσθήσεων, ὥστε νὰ γνωρίσομε τοὺς λόγους τῆς πρόνοιας καὶ τῆς κρίσης ποὺ προκρίνουν τὰ αἰώνια ἀπὸ τὰ πρόσκαιρα, ποὺ γιὰ τὴ στέρησή τους συνήθισε νὰ λυπᾶται τὸ γένος τῶν ἀνθρώπων. Γιατί, ἂν ὁ λόγος τῆς Γραφῆς παρουσίασε τὸν ἄνθρωπο νὰ λυπᾶται γιὰ τὴ σκηνὴ καὶ τὴν κολοκυθιά, ἐννοῶ τὴ σάρκα καὶ τὴν ἡδονὴ τῆς σάρκας, κι ἀπὸ τὴν ἄλλη τὸ Θεὸ νὰ φροντίζει γιὰ τὴ Νινευή, εἶναι φανερὸ ὅτι ἀπὸ τὰ πολύτιμα καὶ ἐπιθυμητὰ στοὺς ἀνθρώπους, ὅ,τι φαίνεται προσφιλὲς στὸ Θεό, εἶναι πολὺ καλύτερο καὶ πολυτιμότερο ἀπὸ ὅλα ὅσα ἁπλῶς ὑπάρχουν ἢ τουλάχιστο ἀπὸ τὰ μὴ

κρίσιν εἶναι δοκούντων, ὧν οὐδεὶς τὸ παράπαν ἐστὶ κατὰ τὴν ὕπαρξιν λόγος, μόνη δὲ φαντασία τὸν νοῦν φενακίζουσα καὶ σχῆμα τοῖς οὐκ οὖσι διάκενον, ἀλλ' οὐχ ὑπόστασιν τῷ πάθει παρεχομένη.

ΣΧΟΛΙΑ

1 *Ποσαχῶς ἑρμηνεύεται Ἰωνᾶς.*

2 *Ποσαχῶς ἑρμηνεύεται Ἰόππη.*

3 *Πόσοις ἀναλογεῖ πνευματικῶς θεωρούμενος Ἰωνᾶς.*

4 *Τίνος ἀναλογίαν ἔχει νοουμένη πνευματικῶς ἡ Ἰόππη.*

5 *Κατ' ἄλλην ἐπιβολὴν τοῖς καθ' ἕκαστα πρόσφορος θεωρία περὶ τῆς Ἰόππης.*

6 *Πολυταράχου ζάλης.*

7 *Κεφαλὴν λέγει τὸν πρῶτον περὶ μονάδος λόγον, ὡς ἀρχὴν πάσης ἀρετῆς, τὰς δὲ σχισμὰς τῶν ὀρέων τὰς διανοίας τῶν πνευμάτων τῆς πονηρίας, ὑφ' ὧν κατεπόθη διὰ τῆς παραβάσεως ὁ ἡμέτερος νοῦς.*

8 *Γῆν λέγει κατωτάτην, τὴν μηδαμῶς γνώσεως αἰσθανομένην θείας, ἢ τῆς κατ' ἀρετὴν ζωῆς τὴν οἱανοῦν κίνησιν ἔχουσαν ἕξιν.*

9 *Ἄβυσσον καλεῖ τὴν ἄγνοιαν ἐπικειμένην τῇ ἕξει τῆς κακίας, ἐφ' ᾗ βέβηκεν, καθάπερ γῇ, τὰ τῆς κακίας πελάγη.*

10 *Γῆν μὲν τὴν παγίαν τῆς κακίας ἕξιν εἶπεν, αἰωνίους δὲ μοχλοὺς τὰς συγκρατούσας τὴν χειρίστην ἕξιν ἐμπαθεῖς προσπαθείας τῶν ὑλικῶν.*

11 *Φέγγος λέγει τὴν ἀληθῆ γνῶσιν, ζωὴν δὲ βροτῶν τὴν πρέπουσαν λογικοῖς πολιτείαν, ἧς ὁ τὴν κακὴν ἕξιν ἔχων ἐστέρηται.*

12 *Ἐνταῦθα τὴν θάλασσαν εἰς τὸν κόσμον τοῦτον ἔλαβεν, εἰς ὃν διὰ σαρκὸς ὁ Κύριος γέγονεν.*

13 *"Ἀνάπαυσιν" λέγει τὸν Κύριον, ὡς τῶν ἐπ' ἀρετῇ πόνων λυτήριον, 'Ἴασιν δὲ Θεοῦ' ὡς ἰατρὸν τῆς ἐκ τοῦ θανάτου*

ὄντα, καὶ ποὺ θεωροῦνται ὅτι ὑπάρχουν μόνο κατὰ μιὰ γνώμη, καρπὸς σφαλερῆς κρίσης, ἐνῶ γιὰ τὴν ὕπαρξή της κανένας ἀπολύτως λόγος, ἀλλὰ ὑπάρχει μιὰ φαντασία μονάχα ποὺ ἐξαπατᾶ τὸ νοῦ, χωρὶς νὰ παρέχει πραγματικὴ ὑπόσταση στὸ πάθος.

ΣΧΟΛΙΑ

1. Μὲ πόσους τρόπους ἑρμηνεύεται τὸ ὄνομα Ἰωνᾶς.
2. Μὲ πόσους τρόπους ἑρμηνεύεται τὸ ὄνομα Ἰόππη
3. Σὲ πόσους ἀντιστοιχεῖ ὁ Ἰωνᾶς, ὅταν τὸν δοῦμε πνευματικὰ
4. Σὲ τί ἀντιστοιχεῖ ἡ Ἰόππη μὲ πνευματικὸ νόημα.
5. Μὲ ἄλλο νόημα θεωρία γιὰ τὴν Ἰόππη πρόσφορη γιὰ τὸ καθένα.
6. Ἡ πολυτάραχη ζάλη.
7. Τὸν πρῶτο λόγο γιὰ τὴν μονάδα τὸν καλεῖ κεφαλή, ὡς ἀρχὴ κάθε ἀρετῆς, ἐνῶ χαράδρες τῶν βουνῶν λέει τὶς ἐπινοήσεις τῶν πονηρῶν πνευμάτων ποὺ μὲ τὴν παράβαση κατάπιαν τὸ νοῦ μας.
8. Κατώτατη γῆ λέει τὴν ἕξη ποὺ δὲν αἰσθάνεται καθόλου τὴ θεία γνώση ἢ ποὺ δὲν κάνει ὁποιαδήποτε κίνηση γιὰ τὴ ζωὴ τῆς ἀρετῆς.
9. Ἄβυσσο ὀνομάζει τὴν ἄγνοια ποὺ σκεπάζει τὴν ἕξη τῆς κακίας, ἐπάνω στὴν ὁποία ἁπλώνονται, σὰν πάνω στὴ γῆ, τὰ πελάγη τῆς κακίας.
10. Γῆ ὀνόμασε τὴ σταθεροποιημένη ἕξη τῆς κακίας, ἐνῶ αἰώνιους μοχλοὺς τὶς ἐμπαθεῖς συμπάθειες τῶν ὑλικῶν ποὺ συγκρατοῦν τὴ χείριστη ἕξη.
11. Φέγγος ἀποκαλεῖ τὴν ἀληθινὴ γνώση, ζωὴ τῶν θνητῶν, τὴν πολιτεία ποὺ ἁρμόζει νὰ ἔχουν οἱ λογικοὶ ἄνθρωποι καὶ ποὺ τὴν ἔχει στερηθεῖ ὅποιος ἔχει τὴν κακὴ ἕξη.
12. Ἐδῶ χρησιμοποίησε τὴ θάλασσα γιὰ νὰ δηλώσει τὸν κόσμο αὐτό, στὸν ὁποῖο ὁ Κύρος ἦρθε μὲ τὴ σάρκα.
13. 'Ἀνάπαυση' ὀνομάζει τὸν Κύριο, ἐπειδὴ καταργεῖ τοὺς κόπους τῆς ἀρετῆς, 'Ἴαση τοῦ Θεοῦ', ἐπειδὴ εἶναι γιατρὸς τῆς

πληγῆς, 'Θεοῦ δὲ χάριν' ὡς ἀπολύτρωσιν, καὶ 'Θεοῦ πόνον' ὡς τῶν ἡμῶν ἀναδοχέα παθῶν.

14 *Πῶς ἐστι χάρις ὁ Κύριος ἡμῶν καὶ Θεός· ἴδε, Νεῖλε, καὶ μὴ σαλεύου, τῷ «πλήρης χάριτος καὶ ἀληθείας».*

15 *Πῶς δηλοῖ τὴν προφητικὴν χάριν Ἰωνᾶς.*

16 *Ὅτι δαπανᾷ, φησί, προσβάλλουσαν τὴν πονηρὰν δύναμιν ἡ τῶν ἁγίων ὑπομονή.*

17 *Ὅτι σωματικῶς οἱ ἅγιοι πάσχοντες καὶ τὸν ὑπὲρ ἀληθείας ἑκουσίως ὑπερχόμενοι θάνατον τῆς σαρκός, τὴν κατὰ πίστιν ἐν πνεύματι ζωὴν ἐνήργουν τοῖς ἔθνεσι.*

18 *Ὅτι τῆς καθ' ὑπερβολὴν θείας δυνάμεως ἐστιν ὑπόθεσις ἡ κατὰ φύσιν τῶν ἁγίων ἀσθένεια, ἧς ἥττονα τὸν ὑπερήφανον διάβολον ὁ Κύριος ἔδειξεν.*

19 *Τὸν βασιλέα φησὶν εἶναι τὸν φυσικὸν νόμον, τὸν δὲ θρόνον τὴν ἐμπαθῆ κατ' αἴσθησιν ἕξιν, τὴν δὲ στολὴν τὴν τῆς κενῆς δόξης περιβολήν, τὸν δὲ σάκκον τὸν κατὰ τὴν μετάνοιαν πένθος, τὴν δὲ σποδὸν τὴν ταπεινοφροσύνην.*

20 *Ἀνθρώπους λέγει τοὺς περὶ τὸν λόγον, κτήνη δὲ τοὺς περὶ τὴν ἐπιθυμίαν, βόας δὲ τοὺς περὶ τὸν θυμόν, πρόβατα δὲ τοὺς περὶ τὴν θεωρίαν τῶν ὁρατῶν πταίοντας.*

21 *Ὅτι καὶ τὴν ἑκάστου ψυχὴν ἡ Νινευὴ σημαίνει.*

22 *'Οὐκ ἄνευ' εἰσὶ χρόνος καὶ τόπος, ὧν χωρὶς οὐδέν ἐστιν τῶν γενητῶν.*

23 *Τοὺς περὶ ἀρετῆς καὶ γνώσεως λόγους ἔχουσα ἡ Ἐκκλησία καὶ ἡ τοῦ καθ' ἕκαστον ψυχή, ὡς ὑπερβαίνοντας χρόνον καὶ φύσιν, πλέον ἔχει τῶν δώδεκα μυριάδων· ὁ γὰρ τῆς ἀρετῆς λόγος τὴν σαρκός, ὡς ἀριστερᾶς, οὐκ οἶδεν ἁμαρτίαν, ὁ δὲ τῆς γνώσεως λόγος τὴν ψυχῆς, ὡς δεξιάν, οὐ γινώσκει κακίαν.*

λαβωματιᾶς τοῦ θανάτου, 'θεία χάρη', γιατὶ εἶναι ἀπολύτρωση, καὶ 'πόνο Θεοῦ', γιατὶ εἶναι ὁ ἀνάδοχος τῶν παθῶν μας.

14. Πῶς εἶναι χάρη ὁ Κύριος καὶ Θεός μας. Πρόσεξε, Νεῖλε, καὶ μὴν ταράζεσαι γιὰ τὸ χωρίο «γεμάτος χάρη καὶ ἀλήθεια»[27].
15. Πῶς ὁ Ἰωνᾶς δηλώνει τὴν προφητικὴ χάρη.
16. Ἡ ὑπομονὴ τῶν ἁγίων ἐξουδετερώνει, λέει, τὴν πονηρὴ δύναμη ποὺ μᾶς προσβάλλει.
17. Οἱ ἅγιοι μὲ τὰ σωματικά τους παθήματα καὶ ὑποφέροντας θεληματικὰ τὸ θάνατο τῆς σάρκας γιὰ χάρη τῆς ἀλήθειας, ἐνεργοῦσαν στὰ ἔθνη τὴν πνευματικὴ ζωὴ τῆς πίστης.
18. Ἡ φυσικὴ ἀσθένεια τῶν ἁγίων εἶναι ἡ ἀφορμὴ τῆς ὑπέρμετρης θείας δύναμης. Ὁ Κύριος ἀπέδειξε κατώτερή της τὸν ὑπερήφανο διάβολο.
19. Ὁ βασιλιάς, λέει, εἶναι ὁ φυσικὸς νόμος, θρόνος του ἡ ἐμπαθὴς ἕξη τῶν αἰσθήσεων, στολή του, ἡ περιβολὴ τῆς κενῆς δόξας, ἐνῶ ὁ σάκκος εἶναι τὸ πένθος τῆς μετάνοιας καὶ ἡ τέφρα ἡ ταπεινοφροσύνη.
20. Ἀνθρώπους λέει τὰ λογικὰ ὄντα, ζῶα ὅσους κατέχονται ἀπὸ τὴν ἐπιθυμία, βόδια ὅσους κυριαρχοῦνται ἀπὸ τὸ θυμό, καὶ πρόβατα ὅσους σφάλλουν στὴ θεωρία τῶν ὁρατῶν.
21. Ἡ Νινευὴ δηλώνει καὶ τὴν ψυχη τοῦ καθενός.
22. Τὰ «ὄχι χωρὶς αὐτὰ» εἶναι ὁ χρόνος καὶ ὁ τόπος, χωρὶς τὰ ὁποῖα δὲν ὑπάρχει κανένα ἀπὸ ὅσα γίνονται.
23. Ἔχοντας ἡ Ἐκκλησία καὶ ἡ ψυχὴ τοῦ καθενὸς τοὺς λόγους τῆς ἀρετῆς καὶ τῆς γνώσης, ἐπειδὴ ξεπερνοῦν τὸ χρόνο καὶ τὴ φύση, ἔχει περισσότερο ἀπὸ δώδεκα μυριάδες. Γιατὶ ὁ λόγος τῆς ἀρετῆς δὲν γνωρίζει τὴν ἁμαρτία τῆς σάρκας ἐπειδὴ εἶναι στ' ἀριστερά, ἐνῶ ὁ λόγος τῆς γνώσης δὲν γνωρίζει τὴν κακία τῆς ψυχῆς ἐπειδὴ εἶναι στὰ δεξιά.

---

27. Ἰω. 1,14.

24 *Αἰτία τῶν ἀρετῶν ἐστὶν ὁ Θεός, τούτου δὲ κατ' ἐνέργειαν γνῶσίς ἐστιν ἡ τοῦ κατ' ἀλήθειαν ἐπεγνωκότος τὸν Θεὸν πρὸς τὸ πνεῦμα κατὰ τὴν ἕξιν ἀλλοίωσις.*

25 *Ὁ κατὰ φύσιν λόγος, φησί, διὰ μέσων τῶν ἀρετῶν πρὸς τὸν νοῦν ἀνάγειν πέφυκε τὸν ἐπιμελούμενον πράξεως, ὁ δὲ νοῦς πρὸς τὴν σοφίαν εἰσάγει διὰ θεωρίας τὸν ἐφιέμενον γνώσεως, τὸ δὲ παράλογον πάθος πρὸς τὴν αἴσθησιν πείθει κατασείρεσθαι τὸν ἀμελοῦντα τῶν ἐντολῶν, ἧς τέλος ἐστὶ τὸ πρὸς τὴν ἡδονὴν καθηλωθῆναι τὸν νοῦν.*

26 *Ἀπιστίαν λέγει τὴν ἄρνησιν τῶν ἐντολῶν, πίστιν δὲ τὴν αὐτῶν συγκατάθεσιν, τὸ δὲ σκότος τοῦ καλοῦ τὴν ἄγνοιαν, τὸ δὲ φῶς τὴν τούτου ἐπίγνωσιν. Χριστὸν δὲ κέκληκε τὴν οὐσίαν αὐτῶν καὶ τὴν ὑπόστασιν, τὸν διάβολον δὲ τὴν πάντων γεννητικὴν τῶν κακῶν χειρίστην ἕξιν.*

27 *Ἀρετὴν λέγει ἀπαθεστάτην καὶ παγίαν περὶ τὸ καλὸν ἕξιν, ἧς ἐφ' ἑκάτερα καθέστηκεν οὐδὲν Θεοῦ φερούσης χαρακτῆρα, ᾧ οὐδέν ἐστιν ἐναντίον.*

28 *Εἰ λόγος διώρισεν, ὡς πέφυκεν, ἑκάστου τῶν ὄντων τὴν γένεσιν, οὐδὲν τῶν ὄντων ἑαυτοῦ φυσικῶς ἢ ὑπερβέβηκεν ἢ ὑποβέβηκεν. Οὐκοῦν ὅρος μὲν τῶν ὄντων ἐστὶν ἡ κατ' ἔφεσιν τῆς αἰτίας ἐπίγνωσις, μέτρον δὲ ἡ ἐφικτὴ τοῖς οὖσι κατ' ἐνέργειαν τῆς αἰτίας ἐκμίμησις.*

29 *Τὸ ὑπὲρ τὸν ὅρον φέρεσθαι καὶ τὸ μέτρον, φησί, τῶν κινουμένων τὴν ἔφεσιν, ἀνόνητον ποιεῖ τὸν δρόμον, μὴ καταντώντων εἰς Θεόν, ἐν ᾧ ἡ κατ' ἔφεσιν πάντων ἵσταται κίνησις, ἀνθυπόστατον δεχομένη τέλος Θεοῦ τὴν ἀπόλαυσιν.*

30 *Τὸ ὑπὲρ τὸν ὅρον καὶ τὸ μέτρον, καὶ παρὰ τὸν ὅρον καὶ τὸν μέτρον δηλονότι.*

31 *Τῷ λόγῳ δηλονότι.*

32 *Ὅτι καὶ τοὺς τῶν ἀσωμάτων καὶ τοὺς τῶν σωμάτων ἀφίησι λόγους ὁ πρὸς τὸν Θεὸν ἀναδραμὼν κατ' ἔκστασιν*

24. Αἰτία τῶν ἀρετῶν εἶναι ὁ Θεός, ἐνῶ γνώση τοῦ Θεοῦ στὴν πράξη εἶναι ἡ ἀλλοίωση τῆς ἕξης πρὸς τὸ πνεῦμα ἐκείνου ποὺ ἔχει γνωρίσει ἀληθινὰ τὸ Θεό.

25. Ὁ κατὰ φύση λόγος, λέει, μὲ διάμεσες τὶς ἀρετὲς ἀπὸ τὴ φύση του ἀνάγει στὸ νοῦ ὅποιον ἀσχολεῖται μὲ τὴν πράξη, ὁ νοῦς εἰσάγει μὲ τὴ θεωρία πρὸς τὴ σοφία ἐκεῖνον ποὺ ἐπιθυμεῖ τὴ γνώση, καὶ τὸ παράλογο πάθος πείθει ὅποιον ἀμελεῖ τὶς ἐντολὲς νὰ σέρνεται πρὸς τὴν αἴσθηση, ποὺ κατάληξή της εἶναι ἡ καθήλωση τοῦ νοῦ στὴν ἡδονή.

26. Ἀπιστία ἀποκαλεῖ τὴν ἄρνηση τῶν ἐντολῶν, πίστη τὴ συγκατάθεση σ' αὐτές, σκότος τὴν ἄγνοια τοῦ καλοῦ, καὶ φῶς τὴν ἐπίγνωσή του. Χριστὸν ὀνόμασε τὴν οὐσία καὶ τὴν ὑπόσταση αὐτῶν, καὶ διάβολο τὴ χείριστη ἕξη ποὺ εἶναι μητέρα ὅλων τῶν κακῶν.

27. Ἀρετὴ λέει τὴ γεμάτη ἀπάθεια σταθερὴ ἕξη σχετικὰ μὲ τὸ καλό, ἀπὸ τὸ ἕνα καὶ τὸ ἄλλο μέρος τῆς ὁποίας δὲν στέκεται τίποτα, ἐπειδὴ ἔχει τὸ χαρακτήρα τοῦ Θεοῦ, στὸν ὁποῖο τίποτε δὲν ὑπάρχει ἀντίθετο.

28. Ἂν ὁ λόγος καθόρισε, ὅπως εἶναι φυσικό, τὴ γένεση καθενὸς ἀπὸ τὰ ὄντα, κανένα ὂν δὲν πέρασε οὔτε πάνω οὔτε κάτω ἀπὸ τὰ ὅριά του. Ὅριο λοιπὸν τῶν ὄντων εἶναι ἡ μὲ πόθο ἐπίγνωση τῆς αἰτίας καὶ μέτρο τους ἡ ἐφικτὴ στὰ ὄντα ἀπομίμηση τῆς αἰτίας στὴν πράξη.

29. Τὸ νὰ φέρεται ἡ ἐπιθυμία ὅσων κινοῦνται πάνω ἀπὸ τὰ ὅρια καὶ τὸ μέτρο, λέει, κάνει τὸ δρόμο τους ἀνώφελο, γιατὶ δὲν καταλήγουν στὸ Θεό, στὸν ὁποῖο σταματᾶ ἡ κίνηση τῆς ἐπιθυμίας ὅλων, δεχόμενη τέλος αὐτοϋπόστατο, τὴν ἀπόλαυση τοῦ Θεοῦ.

30. Τὸ πάνω ἀπὸ τὸ ὅριο καὶ τὸ μέτρο σημαίνει προφανῶς καὶ τὸ πέρα ἀπὸ τὸ ὅριο καὶ μέτρο.

31. Γιὰ τὸ λόγο προφανῶς.

32. Ἀφήνει τόσο τῶν σωμάτων ὅσο καὶ τῶν ἀσωμάτων τοὺς λόγους ὁ νοῦς ποὺ ἀνέβηκε πρὸς τὸ Θεὸ μὲ ἔκσταση. Γιατὶ

νοῦς. Οὐ γὰρ πέφυκέ τι Θεῷ τῶν μετὰ Θεὸν ἅμα συγκατοπτεύεσθαι.

33 *Πῶς καὶ εἰς τὸν Ἰουδαϊκὸν λαὸν δύναται ληφθῆναι τυπικῶς Ἰωνᾶς.*

34 *Πῶς ἑρμηνευόμενος Ἰωνᾶς προδιελέγχει τυπικῶς τὸν Ἰουδαϊκὸν λαόν.*

35 *Ὅτι νενίκηκε μᾶλλον ὁ Κύριος τὴν τυρράννου δύναμιν σαρκὸς ἀσθένειαν προβαλλόμενος, ἤπερ τὸν Ἀδὰμ ὁ διάβολος ἀξίαν θεότητος ὑποσχόμενος.*

36 *Σκώληξ ἐστὶν ὁ Κύριος διὰ τὴν ἄσπορον σάρκα, ἥλιος δὲ καὶ ὡς διὰ τὴν δύσιν τῆς ταφῆς, καθ' ἣν ὑπὸ γῆν γέγονε ὡς ἄνθρωπος ὁ Λόγος, καὶ ὡς φύσει κατ' οὐσίαν φῶς ὑπάρχων καὶ Θεός.*

37 *Ὅτι τὸ πνεῦμα τοῦ καύσωνος οὐ μόνον τοὺς πειρασμούς, ἀλλὰ καὶ τὴν ἐγκατάλειψιν τοῦ Θεοῦ τὴν ἀφαιρουμένην τῶν Ἰουδαίων τὴν τῶν θείων χαρισμάτων χορηγίαν δηλοῖ.*

38 *Ὑπερηφανίας ἴδιον, φησί, τὸ ἀρνεῖσθαι τὸν Θεὸν ἀρετῆς εἶναι γενέτην καὶ φύσεως, κενοδοξίας δὲ τὸ μερίζειν τὴν φύσιν πρὸς τὴν ὕφεσιν, ὧν ὁ τῦφος εἶναι γέννημα πέφυκεν, ἕξις κακίας ὑπάρχων σύνθετος, Θεοῦ μὲν ἄρνησιν ἑκούσιον ἔχουσα καὶ τῆς κατὰ τὴν φύσιν ἰσοτιμίας ἄγνοιαν.*

39 *Ἡ διὰ πνεύματος κατὰ ψυχὴν ἀγχιστεία σαρκὸς μὲν λύει τὴν σχέσιν τῆς προαιρέσεως, Θεῷ δὲ προσδεσμεῖ κατὰ πόθον προσηλωθεῖσαν.*

40 *Νύκτα φησὶ τὰ νομικὰ σύμβολα, ὑφ' ἃ ὁ νόμος τελεῖ, ἐν οἷς οὐκ ἔστιν εὑρεῖν ψυχῆς φωτισμὸν μὴ νοουμένοις πνευματικῶς.*

41 *Ὅτι διὰ τὸ μέγα καὶ μηδενὶ λόγῳ μετρούμενον τῆς θείας οἰκονομίας μυστήριον, ἡ τῶν ἐθνῶν Ἐκκλησία, φησί, πόλις μεγάλη τῷ Θεῷ προσηγορεύθη.*

δὲν εἶναι φυσικὸ γιὰ τὸ Θεὸ νὰ μπαίνει δίπλα στὰ κάτω ἀπὸ αὐτὸν καὶ νὰ τὸν βλέπομε μαζί τους.

33. Πῶς ὁ Ἰωνᾶς μπορεῖ νὰ θεωρηθεῖ ὡς τύπος καὶ τοῦ Ἰουδαϊκοῦ λαοῦ.
34. Πῶς μποροῦμε νὰ ἐξηγήσομε τὸ ὄνομα τοῦ Ἰωνᾶ, ὥστε νὰ φανερώνει ὡς τύπος τὸν Ἰουδαϊκὸ λαό.
35. Πολὺ περισσότερο ὁ Κύριος νίκησε τὴ δύναμη τοῦ τυράννου προβάλλοντας τὴν ἀσθένεια τῆς σάρκας, παρὰ ὁ διάβολος τὸν Ἀδὰμ μὲ τὸ νὰ τοῦ ὑποσχεθεῖ τὸ ἀξίωμα τῆς θεότητας.
36. Ὁ Κύριος εἶναι σκουλήκι, ἐπειδὴ σαρκώθηκε ἀσπόρως· εἶναι ἥλιος καὶ ἐπειδὴ ἔδυσε μὲ τὴν ταφή, ὁπότε βρέθηκε ὁ Λόγος ὡς ἄνθρωπος μέσα στὴ γῆ, ἀλλὰ κι ἐπειδὴ εἶναι ἀπὸ τὴ φύση του καὶ σύμφωνα μὲ τὴν οὐσία του φῶς καὶ Θεός.
37. Ἡ πνοὴ τοῦ καύσωνα σημαίνει ὄχι μονάχα τοὺς πειρασμούς, ἀλλὰ καὶ τὴν ἐγκατάλειψη αὐτῶν ἀπὸ τὸ Θεό, ποὺ ἀφαιρεῖ ἀπὸ τοὺς Ἰουδαίους τὴ χορηγία τῶν θείων χαρισμάτων.
38. Εἶναι, λέει, γνώρισμα ὑπερηφάνειας ν' ἀρνεῖται κανένας ὅτι ὁ Θεὸς εἶναι ὁ πατέρας τῆς ἀρετῆς καὶ τῆς φύσης· γνώρισμα κενοδοξίας τὸ νὰ χωρίζει τὴ φύση σὲ κατώτερη καὶ ἀνώτερη. Αὐτῶν τῶν δύο γέννημα εἶναι ἡ ἔπαρση, μιὰ ἕξη κακίας σύνθετη, ποὺ περιέχει ἑκούσια ἄρνηση καὶ ἄγνοια τῆς ἰσοτιμίας τῆς φύσης.
39. Ἡ ψυχικὴ ἀγχιστεία μέσω τοῦ πνεύματος διαλύει τὴ σχέση τῆς προαίρεσης μὲ τὴ σάρκα· δεσμεύει ὅμως τὴν ψυχὴ ποὺ προσηλώθηκε σ' αὐτὸν μὲ πόθο.
40. Νύχτα λέει τὰ νομικὰ σύμβολα ποὺ διέπουν τὸ νόμο, τὰ ὁποῖα ἂν δὲν τὰ θεωρήσει κανεὶς πνευματικὰ δὲν εἶναι δυνατὸ νὰ βρεῖ φωτισμὸ τῆς ψυχῆς.
41. Χάρη στὸ μεγάλο, ποὺ δὲν μετριέται μὲ κανένα λόγο, μυστήριο τῆς θείας οἰκονομίας ὀνομάστηκε ἡ Ἐκκλησία «πόλη μεγάλη τοῦ Θεοῦ».

42 Κατὰ μὲν τὴν οὐσίαν ἡ ἀλήθεια, φησί, προηγεῖται τῶν τύπων, κατὰ δὲν τὴν ἔκφασιν οἱ τύποι χρονικῶς προηγοῦνται τῆς ἀληθείας. Οὐκοῦν, ἐπειδὴ προλαβὼν ἐν ἑαυτῷ τυπικῶς τὴν ἀλήθειαν προδιέγραψεν Ἰωνᾶς, μείνας ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, «ἔτι τρεῖς ἡμέραι», φησί, τὰς τρεῖς ἡμέρας τῆς τοῦ Κυρίου ταφῆς καὶ ἀναστάσεως λέγων, μεθ' ἃς ἡ τῶν ἐθνῶν καταστραφήσεται πλάνη καὶ ἀγνωσία.

43 Δηλονότι τῆς πίστεως.

44 Ἐπίτομος ἔκθεσις τῆς ἑρμηνείας τοῦ ὀνόματος Ἰωνᾶ, κατὰ τὴν ἐπικειμένην αὐτῷ περὶ ἑκάστου τῶν ἐκφερομένων προσώπων τε καὶ τρόπων δύναμιν.

45 Νόμος δηλονότι.

46 Ἔργον εἶναι τοῦ φυσικοῦ νόμου, φησί, τὴν γνωμικὴν πάντων πρὸς πάντας ὁμόγνωμον σχέσιν.

47 Κανόνες ἀποδεικτικοὶ τῆς τοῦ φυσικοῦ νόμου χαρακτηριστικῆς ἰδιότητος.

48 Ὁ γραπτὸς νόμος, φησί, κωλύων φόβῳ τὴν ἀδικίαν, ἐθίζει πρὸς τὸ δίκαιον, χρόνῳ δὲ τὸ ἔθος ποιεῖ διάθεσιν φιλοδίκαιον, ὑφ' ἧς ἡ παγία πρὸς τὸ καλὸν ἕξις ἐπιγίνεται, λήθην προλαβούσης πονηρίας ἐπάγουσα.

49 Ὅροι τῆς ἑκάστου τῶν προρρηθέντων νόμων ἐνεργείας ἀποδεικτικοί.

50 Ὅτι τὸ μὲν σχεῖν ὡς ἑαυτὸν τὸν πλησίον μόνης ἐστὶ φροντίδος τῆς πρὸς τὸ εἶναι ζωῆς, ὅπερ φυσικοῦ νόμου καθέστηκε, τὸ δὲ τὸν πλησίον ἀγαπᾶν ὡς ἑαυτὸν καὶ τοῦ πρὸς τὸ εὖ εἶναι κατ' ἀρετήν ἐστι προνοεῖσθαι τοῦ πέλας, ὅπερ ὁ γραπτὸς ἐπιτρέπει νόμοις. Τὸ δὲ ὑπὲρ ἑαυτὸν ἀγαπῆσαι τὸν πλησίον, τοῦ νόμου τῆς χάριτός ἐστιν ἰδιώτατον.

51 Ὅροι κατ' ἐπιτομὴν ἀποδεικτικοὶ τῆς τῶν τριῶν ἡμερῶν κατορθωτικῆς τῶν καλῶν ἰδιότητος.

52 Ἡ ὁδὸς τῶν τριῶν ἡμερῶν ἐστί, φησίν, ἡ διὰ τῶν τριῶν νόμων τοῦ φυλάττοντος αὐτοὺς κατὰ δικαιοσύνην τελείωσις.

42. Ὡς πρὸς τὴν οὐσία ἡ ἀλήθεια προηγεῖται ἀπὸ τοὺς τύπους, ὡς πρὸς τὴν ἐκδήλωση ὅμως οἱ τύποι προηγοῦνται χρονικὰ ἀπὸ τὴν ἀλήθεια. Ἐπειδὴ λοιπὸν ὁ Ἰωνᾶς προδιέγραψε μὲ τύπους τὴν ἀλήθεια μέσω τοῦ ἑαυτοῦ του παραμένοντας στὴν κοιλιὰ τοῦ κήτους τρεῖς μέρες καὶ τρεῖς νύχτες, γι' αὐτὸ λέει «τρεῖς μέρες ἀκόμα», ἐννοώντας τὶς τρεῖς μέρες τῆς ταφῆς καὶ τῆς ἀνάστασης, ἔπειτα ἀπὸ τὶς ὁποῖες θὰ καταστραφεῖ ἡ πλάνη καὶ ἡ ἀγνωσία τῶν ἐθνῶν.
43. Δηλαδὴ τῆς πίστης.
44. Σύντομη ἔκθεση τῆς ἑρμηνείας τοῦ ὀνόματος τοῦ Ἰωνᾶ, γιὰ τὴ σημασία ποὺ ἔχει γιὰ καθένα ἀπὸ τὰ πρόσωπα καὶ τοὺς τρόπους ποὺ ἀναφέρονται.
45. Δηλαδὴ νόμος
46. Ἔργο τοῦ φυσικοῦ νόμου εἶναι ἡ ἑκούσια μὲ κοινὴ γνώμη σχέση ὅλων μὲ ὅλους.
47. Κανόνες ποὺ ἀποδεικνύουν τὴν ἰδιότητα ποὺ χαρακτηρίζει τὸν φυσικὸ νόμο.
48. Ὁ γραπτὸς νόμος ἐμποδίζοντας μὲ φόβο τὴν ἀδικία, ἐθίζει στὸ δίκαιο, μὲ τὸν καιρὸ ὅμως ἡ συνήθεια δημιουργεῖ φιλικὴ διάθεση πρὸς τὸ δίκαιο.
49. Ὁρισμοὶ ποὺ ἀποδεικνύουν τὴν ἐνέργεια καθενὸς ἀπὸ τοὺς νόμους ποὺ ἀναφέρθηκαν προηγουμένως.
50. Τὸ νὰ ἔχεις τὸν πλησίον σου ὅπως τὸν ἑαυτό σου, εἶναι φροντίδα ἁπλῶς γιὰ τὴν ὕπαρξη τῆς ζωῆς, ποὺ περιλαμβάνεται στὸ φυσικὸ νόμο. Τὸ ν' ἀγαπᾶς ὅμως τὸν πλησίον σου ὅπως τὸν ἑαυτό σου, σημαίνει καὶ νὰ προνοεῖς γιὰ τὸν πλησίον σου καὶ τὸ μακάριο εἶναι ἀσκώντας τὴν ἀρετή, πράγμα ποὺ ὁρίζει ὁ γραπτὸς νόμος. Τὸ ν' ἀγαπήσεις τὸν πλησίον σου πάνω ἀπὸ τὸν ἑαυτό σου ἀνήκει ἀποκλειστικὰ στὸ νόμο τῆς χάριτος.
51. Ὁρισμοὶ ποὺ ἀποδεικνύουν μὲ συντομία τὴν ἰδιότητα τῶν τριῶν ἡμερῶν νὰ κατορθώνουν τὰ ἀγαθά.
52. Ἡ ὁδὸς τῶν τριῶν ἡμερῶν εἶναι ἡ μέσω τῶν τριῶν νόμων μὲ δικαιοσύνη τελείωση ἐκείνου ποὺ τοὺς φυλάει.

53 *Ἄλλη θεωρία λεπτοτέρα περὶ τῆς σκηνῆς καὶ τῆς κολοκύνθης καὶ τοῦ σκώληκος καὶ τοῦ καύσωνος καὶ τοῦ ἡλίου.*

54 *Ὁ κωλυόμενος τῶν πρὸς ἡδονὴν σώματος ἀφορμῶν, φησί, μανθάνει προνοίας λόγους ἐπεχούσης τὴν ἐξαπτικὴν ὕλην τῶν παθῶν. Ὁ δὲ τὰς πρὸς ὀδύνην σώματος δεχόμενος μάστιγας, διδάσκεται κρίσεως λόγους, προλαβόντων μολυσμῶν ἀκουσίοις πόνοις αὐτὸν καθαιρούσης.*

53. Ἄλλη θεωρία πνευματικότερη γιὰ τὴ σκηνὴ καὶ τὴν κολοκυθιὰ καὶ τὸ σκουλήκι καὶ τὸν καύσωνα καὶ τὸν ἥλιο.

54. Ὅποιος ἐμποδίζεται ἀπὸ τὶς ἀφορμὲς πρὸς ἡδονὴ τοῦ σώματος, καταλαβαίνει τοὺς λόγους τῆς πρόνοιας ποὺ ἐμποδίζει τὴν ὕλη ποὺ ἀνάβει τὰ πάθη. Ἐνῶ ὅποιος δέχεται τὰ μαστιγώματα γιὰ νὰ πονέσει τὸ σῶμα διδάσκεται τοὺς λόγους τῆς κρίσης ποὺ τὸν καθαίρουν ἀπὸ τοὺς προηγούμενους μολυσμοὺς μὲ ἀκούσιους πόνους.

ΕΡΩΤΗΣΙΣ ΞΕ΄

Ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν γέγραπται· «ὅτι ἐγένετο λιμὸς ἐν ταῖς ἡμέραις Δαβὶδ τρία ἔτη, ἐνιαυτὸς ἐχόμενος ἐνιαυτοῦ. Καὶ ἐξεζήτησε Δαβὶδ τὸ πρόσωπον Κυρίου, καὶ εἶπε Κύριος· Ἐπὶ Σαοὺλ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ ἡ ἀδικία, περὶ οὗ ἐθανάτωσε τοὺς Γαβαωνίτας. Καὶ ἐκάλεσε Δαβὶδ τοὺς Γαβαωνίτας καὶ εἶπεν αὐτοῖς· Τί ποιήσω ὑμῖν καὶ ἐν τίνι ἐξιλάσομαι καὶ εὐλογήσετε τὴν κληρονομίαν Κυρίου; Καὶ εἶπον πρὸς τὸν βασιλέα· Ὁ ἀνήρ, ὃς συνετέλεσεν ἡμᾶς καὶ ἐλογίσατο ἐξολοθρεῦσαι ἡμᾶς, ἀφανίσωμεν αὐτόν, τοῦ μὴ ἑστάναι ἐν παντὶ ὁρίῳ Ἰσραήλ. Δότε ἡμῖν ἑπτὰ ἄνδρας ἐκ τῶν υἱῶν αὐτοῦ καὶ ἐξηλιάσομεν αὐτοὺς τῷ Κυρίῳ ἐν τῷ βουνῷ Σαούλ. Καὶ ἔλαβεν ὁ βασιλεὺς τοὺς δύο υἱοὺς Ρεσφᾶς, θυγατρὸς Ἀϊᾶ παλλακῆς Σαούλ, καὶ τοὺς πέντε υἱοὺς Μερὼβ θυγατρὸς Σαούλ, οὓς ἔτεκε τῷ Ἐσδριήλ, καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ τῶν Γαβαωνιτῶν καὶ ἐξηλίασαν αὐτοὺς ἐν ὄρει ἐναντίον Κυρίου, καὶ ἔπεσον ἐκεῖ οἱ ἑπτὰ ἐπιτοαυτό· καὶ ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ, ἐν ἀρχῇ θερισμοῦ κριθῶν. Καὶ ἔλαβε Ρεσφὰ θυγάτηρ Ἀϊᾶ τὸν σάκκον καὶ διέστρωσεν αὐτὸν ἑαυτῇ ἐπὶ τὴν πέτραν, ἕως ἔσταξαν ἐπ' αὐτοὺς ὕδατα Θεοῦ ἐξ οὐρανοῦ. Καὶ ἐποίησαν πάντα ὅσα ἀνετείλατο ὁ βασιλεύς. Καὶ ἐπήκουσεν ὁ Θεὸς τῇ γῇ μετὰ ταῦτα». Διὰ τί μετὰ τὸν θάνατον Σαοὺλ ὁ Δαβὶδ ἀπῃτήθη δίκας, λιμοῦ κρατήσαντος τὴν γῆν, ἕως ἔδωκεν ἐκ

ΕΡΩΤΗΣΗ ΞΕ΄

Στὸ δεύτερο βιβλίο τῶν Βασιλειῶν ἔχει γραφεῖ· «στὶς μέρες τῆς βασιλείας τοῦ Δαβὶδ ἔγινε πείνα ποὺ κράτησε τρία ἔτη, ὁ ἕνας χρόνος διαδεχόμενος τὸν ἄλλο χρόνο. Καὶ ὁ Δαβὶδ ζήτησε μ' ἐπιμονὴ νὰ δεῖ τὸ πρόσωπο τοῦ Κυρίου. Καὶ τοῦ εἶπε ὁ Κύριος· "Η ἀδικία στὸ Σαοὺλ καὶ στὸν οἶκο του, ἐπειδὴ θανάτωσε τοὺς Γαβαωνῖτες'. Ὁ Δαβὶδ τότε κάλεσε τοὺς Γαβαωνῖτες καὶ τοὺς εἶπε· 'Τί νὰ κάνω γιὰ νὰ ἐξιλεωθῶ σ' ἐσᾶς γιὰ νὰ εὐλογήσετε τὸν κληρονόμο τοῦ Κυρίου;' Καὶ εἶπαν στὸ βασιλιά. 'Αὐτὸν τὸν ἄνθρωπο ποὺ μᾶς συνέτριψε καὶ σκέφθηκε νὰ μᾶς ἐξολοθρεύσει πρέπει νὰ τὸν ἀφανίσομε, ὥστε νὰ μὴ σταθεῖ σὲ καμμιὰ περιοχὴ τοῦ Ἰσραήλ. Δῶστε μας ἑφτὰ ἀπὸ τοὺς υἱούς του γιὰ νὰ τοὺς θανατώσομε στὸ ὄνομα τοῦ Κυρίου στὸ βουνὸ τοῦ Σαούλ'. Πῆρε τότε ὁ βασιλιὰς τοὺς δύο υἱοὺς τῆς Ρεσφᾶ, κόρης τοῦ Ἀϊᾶ, παλλακῆς τοῦ Σαούλ, καὶ τοὺς πέντες υἱοὺς τῆς Μερώβ, κόρης τοῦ Σαούλ, καὶ τοὺς παρέδωσε στὰ χέρια τῶν Γαβαωνιτῶν. Καὶ τοὺς θανάτωσαν στὸ βουνὸ μπροστὰ στὸ Θεὸ κι ἔπεσαν ἐκεῖ στὸ μέρος αὐτὸ καὶ οἱ ἑφτά. Θανατώθηκαν στὴν ἐποχὴ τοῦ θερισμοῦ, ὅταν ἄρχισε ὁ θερισμὸς τῶν κριθαριῶν. Πῆρε ἡ Ρεσφὰ ἡ κόρη τοῦ Ἀιᾶ τὸ σάκκο, τὸν ἔστρωσε πάνω στὴν πέτρα κι ἔπεσε, ὥσπου ἔπεσαν πάνω τους οἱ βροχὲς τοῦ οὐρανοῦ. Ἔκαναν ὅλα ὅσα πρόσταζε ὁ βασιλιάς. Κι ἔπειτα ἀπὸ αὐτὰ ὁ Θεὸς ἄκουσε τὴν κραυγὴ τῆς γῆς»[1]. Γιατί μετὰ τὸ θάνατο τοῦ Σαοὺλ ζητήθηκε νὰ τιμωρηθεῖ ὁ Δαβίδ, ὅταν ἔπεσε πείνα στὴ γῆ, ὡσότου ἔδωσε στοὺς Γαβαωνίτες νὰ θανατω-

1. Β' Βασ. 21,1–14.

τοῦ σπέρματος Σαοὺλ ἑπτὰ ἄνδρας θανατωθῆναι τοῖς Γαβαωνίταις; Τίς ἡ τούτων δύναμις τῶν λόγων καὶ πῶς πνευματικῶς αὐτοὺς θεωρήσομεν;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ μὲν ἀκριβὴς γνῶσις τῶν λογίων τοῦ Πνεύματος μόνοις ἀποκαλύπτεσθαι πέφυκε τοῖς ἀξίοις Πνεύματος, οἳ διὰ πολλὴν τῶν ἀρετῶν ἐπιμέλειαν, τῆς τῶν παθῶν αἰθάλης τὸν νοῦν ἐκκαθάραντες(1)*, ἐσόπτρου δίκην καθαροῦ τε καὶ διαυγοῦς, ἅμα τῇ πρώτῃ προσβολῇ καθάπερ πρόσωπον ἐντυπουμένην αὐτοῖς καὶ ἐμπίπτουσαν, τὴν τῶν θείων ὑποδέχονται γνῶσιν. Οἷς δὲ κατ' ἐμὲ τὴν τῶν παθῶν κηλῖσιν ὁ βίος κατέστικται, μόλις κἂν ἐξ εἰκότων τινῶν στοχασμῶν τεκμηριῶσαι τὴν τῶν θείων γνῶσίν ἐστι δυνατόν, μὴ ὅτι γε νοῆσαί τε καὶ φράσαι ταύτην δι' ἀκριβείας ἀπαυθαδιάζεσθαι. Καὶ οἶδα σαφῶς ἔγωγε, ὅτι πάσχων αὐτὸς γινώσκεις τὰ θεῖα μᾶλλον, τίμιε πάτερ*(2)*, καὶ πείρᾳ λαβὼν ἔχεις τούτων τὴν ἐπιστήμην, ἤπερ ἐγὼ λέγειν ἐπίσταμαι, μηδὲν ἐκ τοῦ παθεῖν ἀποφήνασθαι περὶ τῶν θείων δυνάμενος. Πλὴν καὶ τὸ κατὰ δύναμιν οὐκ ἀπόβλητον, καὶ μάλισθ' ὑμῖν τοῖς ἐπιτάξασι, καὶ τόνδε μοι περὶ τῶν ὑπὲρ δύναμιν τοῦ λέγειν πόνον ἐπιθεμένοις.*

Σαοὺλ τοίνυν ἐστὶ κατὰ τόνδε τῆς Γραφῆς τὸν τόπον(3) *ὁ βασιλεύων κατὰ δύναμιν ἐντολῆς σαρκίνης τῶν σαρκικῶν Ἰουδαίων ἐν γράμματι νόμος, ἤγουν ὁ βασιλεύων τῶν ἀγομένων μόνῳ τῷ γράμματι τοῦ νόμου σωματικὸς τρόπος ἢ λογισμός. 'Αἰτητὸς γὰρ ᾅδης' κατὰ μίαν ἐπιβολὴν Σαοὺλ ἑρμηνεύεται. Τῆς γὰρ ἐν Πνεύματι Θεοῦ κατ' ἀρετὴν διεξαγομένης ζωῆς τε καὶ βασιλείας, προτιμήσας τὴν φιλήδονον ζωὴν ὁ τῶν Ἰουδαίων λαός, ᾐτήσατο τὸν ᾅδην, ἤγουν τὴν ἄγνοιαν, ἀντὶ τῆς γνώσεως αὐτοῦ βασιλεύειν. Πᾶς γὰρ ὁ τῆς θείας ἐκπεπτωκὼς ἀγάπης, τὸν ἐν τῇ σαρκὶ νόμον ἔχει διὰ τῆς ἡδονῆς βασιλεύον-*

θοῦν οἱ ἑπτὰ ἄνδρες ἀπὸ τὴ γενιὰ τοῦ Σαούλ; Τί σημασία ἔχουν αὐτὰ τὰ λόγια καὶ ποιό εἶναι τὸ πνευματικὸ νόημά τους;

ΑΠΟΚΡΙΣΗ

Ἡ ἀκριβὴς βέβαια κατανόηση τῶν λόγων τοῦ Πνεύματος εἶναι φυσικὸ ν' ἀποκαλύπτεται μόνο στοὺς ἄξιους τοῦ Πνεύματος, οἱ ὁποῖοι ἀπὸ τὴν πολλὴ ἐπιμέλεια γιὰ τὶς ἀρετές, ἔχοντας καθάρει τὸ νοῦ τους ἀπὸ τὴν αἰθάλη τῶν παθῶν, σὰν ἔσοπτρο καθαρὸ καὶ διάφανο, δέχονται τὴ γνώση τῶν θείων μὲ τὸ πρῶτο ἐρέθισμα, ἔτσι ὅπως ἀντικρύζομε ἕνα πρόσωπο καὶ μᾶς ἐντυπώνεται. Ὅποιοι ὅμως, κατὰ τὴ γνώμη μου, ἔχουν ζωὴ κατάστικτη ἀπὸ τὶς κηλίδες τῶν παθῶν, μόλις καὶ μὲ δυσκολία μποροῦν ἀπὸ κάποιους πιθανοὺς συλλογισμοὺς νὰ ἐννοήσουν τὴ θεία γνώση, ὄχι βέβαια νὰ καυχηθοῦν ὅτι τὴν ἐννοοῦν καὶ τὴν ἐκφράζουν μὲ ἀκρίβεια. Καὶ βέβαια γνωρίζω μὲ σαφήνεια, σεβαστέ μου πατέρα, ὅτι γνωρίζεις τὰ θεῖα βιώνοντάς τα μᾶλλον ὁ ἴδιος καὶ ὅτι ἡ γνώση ποὺ ἔχεις γι' αὐτὰ προέρχεται ἀπὸ τὴν πείρα σου, καθὼς γνωρίζω ἐγὼ ποὺ δὲν μπορῶ νὰ ἐκφραστῶ γιὰ τὰ θεῖα ἀπὸ πείρα. Ὅμως κι ὅ,τι μπορεῖ κανένας δὲν εἶναι ἀξιοφρόνητο καὶ μάλιστα ἀπὸ ἐσᾶς ποὺ μᾶς τὸ ζητήσατε καὶ μοῦ ἐπιβάλετε καὶ τοῦτον τὸν κόπο νὰ μιλήσω γιὰ πράγματα ποὺ ξεπερνοῦν τὴ δύναμή μου.

Σαοὺλ λοιπὸν στὸ χωρίο αὐτὸ τῆς Γραφῆς εἶναι ὁ γραπτὸς νόμος ποὺ βασιλεύει μὲ τὴ δύναμη τῆς σαρκικῆς ἐντολῆς πάνω στοὺς σαρκικοὺς Ἰουδαίους, δηλαδὴ ὁ σωματικὸς τρόπος ἢ λογισμὸς ποὺ βασιλεύει σ' αὐτοὺς ποὺ κυβερνιοῦνται μόνο μὲ τὸ γράμμα τοῦ νόμου. Γιατὶ κατὰ μίαν ἄποψη τὸ Σαοὺλ ἑρμηνεύεται 'ἅδης ποὺ ἀπαιτεῖται'. Ἐπειδὴ δηλαδὴ ἀντὶ τῆς ζωῆς καὶ τῆς βασιλείας, ποὺ ἀσκοῦνται μὲ πνεῦμα Θεοῦ καὶ ἀρετή, ὁ Ἰουδαϊκὸς λαὸς προτίμησε τὴ φιλήδονη ζωή, γι' αὐτὸ ἀπαίτησε τὸν ἅδη, δηλαδὴ νὰ βασιλεύει σ' αὐτὸν ἡ ἄγνοια ἀντὶ ἡ γνώση. Γιατὶ καθένας ποὺ ἔγινε ἔκπτωτος ἀπὸ τὴ θεία ἀγάπη, ἔχει βασιλέα

τα, τὸν μηδεμίαν θείαν ἐντολὴν φυλάξαι δυνάμενον ἢ μηδὲ βουλόμενον.

Κατ' ἄλλον δὲ τρόπον Σαοὺλ ἑρμηνεύεται, 'δεδανεισμένος', ἢ 'δάνειον'. Οὐ γὰρ ἐδόθη ὁ γραπτὸς νόμος τοῖς λαβοῦσιν εἰς κτῆσιν περιουσίας, ἀλλ' εἰς παιδαγωγίαν προσδοκωμένης ἐπαγγελίας. Διὸ καὶ δοὺς τῷ Σαοὺλ τὴν βασιλείαν ὁ Θεός, ἐν τῇ πρὸς αὐτὸν διαθήκῃ, αἰώνιον οὐ καθυπέσχετο τὴν βασιλείαν. Πᾶν γὰρ δάνειον οὐ γίνεται τῷ λαβόντι κτῆμα περιουσίας, ἀλλὰ πρόφασις καμάτου καὶ πόνου εἰς ἄλλης περιουσίας συλλογήν. Ἡ δὲ τοῦ Σαοὺλ παλλακὴ Ρεσφά, 'δρόμος' ἑρμηνεύεται 'στόματος'. Δρόμος δὲ στόματός ἐστιν ἡ κατὰ μόνην τὴν ἐν λόγῳ προφορὰν τοῦ νόμου μάθησις, ἣν εἰσοικίζεται παρανόμως ὁ μόνην τὴν σωματικὴν τοῦ νόμου περιέπων λατρείαν, ἀφ' ἧς οὐδὲν εὐσεβὲς γεννᾷ καὶ φιλόθεον. Ὁ γὰρ μόνην τὴν σωματικὴν τοῦ νόμου κατὰ προφορὰν λόγου μάθησιν ἐξασκούμενος[4], *νόμιμον οὐκ ἔχει τὴν πρὸς τὸν λόγον, ἤγουν τὴν μάθησιν τοῦ νόμου, συμβίωσιν. Ὅθεν δισγενῆ καὶ ἀπόβλητα καθέστηκεν αὐτοῦ τὰ γεννώμενα. Γεννᾶται γὰρ αὐτῷ διὰ τὴν παράνομον κοίτην ἐκ τῆς Ρεσφᾶς ὁ Ἑρμονθὶ καὶ ὁ Μεμφιβοσθέ, ὅπερ ἐστὶν 'ἀνάθεμα αὐτῶν', καὶ 'αἰσχύνη στόματος αὐτῶν'. Ἑρμονθὶ γὰρ κατὰ μίαν ἐπιβολὴν 'ἀνάθεμα' ἑρμηνεύεται, καὶ Μεμφιβοσθὲ 'αἰσχύνη στόματος αὐτῶν'. Ἀνάθεμα δὲ αὐτῶν ἐστιν ἡ διὰ στόματος καθ' ἁμαρτίαν φθορὰ τῆς τῶν παθῶν ἐνεργείας*[5]. *Μεμφιβοσθὲ δέ ἐστιν ἡ παρὰ φύσιν τοῦ νοῦ πρὸς κακίαν κίνησις, ἤγουν ἡ κατὰ νοῦν ἐπινοητικὴ τῶν φαύλων ἐνθύμησις, αἰσχύνη νοῦ καὶ οὖσα καὶ λεγομένη.*

Ἢ πάλιν ἀνάθεμα αὐτῶν ἐστι[6] *τόπος τοῦ νῦν κρατοῦντος ἐπιτιμίου τῆς φύσεως, τουτέστιν ὁ κόσμος οὗτος, ὡς χωρίον θανάτου καὶ φθορᾶς διὰ τὴν ἁμαρτίαν γενόμενος, εἰς ὃν ἐκ τοῦ παραδείσου μετὰ τὴν παράβασιν τῆς θείας ἐντολῆς ὁ πρῶτος κατέπεσεν ἄνθρωπος, ὅντινα κόσμον κατὰ τὴν τῆς γνώμης φιλήδονον σχέσιν, ἤγουν τὴν κοσμικὴν προσπάθειαν, γεννᾷν πέ-*

του τὸ νόμο τῆς σάρκας ποὺ κυβερνᾶ μὲ τὴν ἡδονή, καὶ δὲν μπορεῖ νὰ φυλάξει καμμιὰ θεία ἐντολὴ ἢ οὔτε κὰν θέλει.

Μὲ ἄλλο τρόπο τὸ Σαοὺλ ἑρμηνεύεται 'δανεισμένος' ἢ 'δάνειο'. Γιατὶ ὁ γραπτὸς νόμος δὲν δόθηκε σ' αὐτοὺς ποὺ τὸν ἔλαβαν νὰ τὸν πάρουν ὡς ἰδιόκτητο περιουσιακὸ στοιχεῖο, ἀλλὰ νὰ γίνει παιδαγωγὸς γιὰ ἐπαγγελία προσδοκώμενη. Γι' αὐτὸ κι ὁ Θεὸς παραχωρώντας τὴ βασιλεία στὸ Σαούλ, κατὰ τὴν παραχώρηση δὲν τοῦ ὑποσχέθηκε τὴ βασιλεία του αἰώνια. Γιατὶ κάθε δάνειο, δὲ γίνεται γιὰ ὅποιον τὸ παίρνει στοιχεῖο περιουσιακό, ἀλλ' ἀφορμὴ γιὰ κούραση καὶ κόπο γιὰ δημιουργία ἄλλης περιουσίας. Ἡ παλλακὴ τοῦ Σαοὺλ Ρεσφὰ ἑρμηνεύεται 'δρόμος στόματος'. Καὶ δρόμος στόματος εἶναι ἡ μάθηση τοῦ νόμου μὲ τὸν προφορικὸ λόγο μόνο, ποὺ τὴν παίρνει στὸ σπίτι του παράνομα αὐτὸς ποὺ ἀσχολεῖται μὲ τὴ σωματικὴ μόνο λατρεία τοῦ νόμου, ἀπὸ τὴν ὁποία δὲ γεννιέται τίποτα τὸ εὐσεβὲς καὶ φιλόθεο. Ὅποιος δηλαδὴ ἀσκεῖ μόνο τὴ σωματικὴ μάθηση τοῦ νόμου μὲ προφορικὸ λόγο, δὲν ἔχει νόμιμη συμβίωση μὲ τὸ λόγο, δηλαδὴ τὴ μάθηση τοῦ νόμου. Γι' αὐτὸ καὶ τὰ γεννήματά του εἶναι μισερὰ κι ἀπόβλητα. Γίνεται δηλαδὴ πατέρας ἀπὸ τὴ Ρεσφὰ τοῦ Ἑρμονθὶ καὶ τοῦ Μεμφιβοσθέ, ποὺ σημαίνει 'ἀνάθεμα σ' αὐτούς' καὶ 'ντροπὴ στὸ στόμα τους'. Κατὰ μιὰ ἄποψη τὸ Ἑρμονθὶ ἑρμηνεύεται 'ἀνάθεμα' καὶ τὸ Μεμφιβοσθὲ 'ντροπὴ τοῦ στόματός τους'. Τὸ ἀνάθεμα γι' αὐτοὺς λοιπὸν εἶναι ἡ μέσω τοῦ στόματος ἁμαρτωλὴ φθορὰ ποὺ προκαλεῖ ἡ ἐνέργεια τῶν παθῶν. Μεμφιβοσθὲ εἶναι ἡ παραφύση κίνηση τοῦ νοῦ πρὸς τὴν κακία, δηλαδὴ ἡ ἐνθύμηση τοῦ νοῦ ποὺ ἐπινοεῖ τὰ φαῦλα· αὐτὴ εἶναι καὶ λέγεται αἰσχύνη τοῦ νοῦ.

Ἢ πάλι 'ἀνάθεμα γι' αὐτοὺς' εἶναι ὁ τόπος τῆς τιμωρίας τῆς φύσης ποὺ ἰσχύει τώρα. Δηλαδὴ ὁ κόσμος αὐτὸς ποὺ ἔγινε ἐξαιτίας τῆς ἁμαρτίας σὰν τόπος θανάτου καὶ διαφθορᾶς, στὸν ὁποῖο μετὰ τὴν παράβαση τῆς θείας ἐντολῆς κατέπεσε ὁ πρῶτος ἄνθρωπος ἀπὸ τὸν παράδεισο, τὸν ὁποῖο κόσμο ὡς πρὸς τὴ φιλήδονη σχέση τῆς γνώμης, δηλαδὴ τὴν προσκόλλη-

φυκεν ἐκ τῆς κατὰ μόνην τὴν ἐν λόγῳ τοῦ νόμου προφορὰν μαθήσεως, ὁ μὴ διαβαίνων κατὰ νοῦν πρὸς τὴν ἔνδον ἐν πνεύματι τοῦ νομικοῦ γράμματος θείαν εὐπρέπειαν. Αἰσχύνη δὲ στόματος αὐτῶν ἐστιν ἡ κατὰ νοῦν φιλόκοσμος μελέτη τῶν λογισμῶν καὶ φιλοσώματος. Ἐν ᾧ γὰρ ὁ κόσμος ἐκ τῆς φαινομένης τῷ γράμματι τοῦ νόμου σωματικῆς διαπλάσεως[7] *κατὰ τὴν γνωμικὴν σχέσιν γεννᾶσθαι πέφυκεν, ἤγουν ἡ τὸν κόσμον φιλοῦσα διάθεσις καὶ ἡ κατὰ νοῦν φιλόκοσμος μελέτη τῶν λογισμῶν εἰκότως συγγεννᾶται καὶ φιλοσώματος.*

Ἢ πάλιν, ἀνάθεμα αὐτῶν ἐστιν[8] *ἡ πρόσυλος καὶ ἀκαλλὴς τῶν παθῶν καὶ ἀδιατύπωτος κίνησις, αἰσχύνη δὲ στόματός ἐστιν ἡ τοῖς πάθεσιν εἶδος ἐπάγουσα καὶ τὸ καθ' ἡδονὴν πρὸς αἴσθησιν διαπλάττουσα κάλλος τοῦ νοῦ κίνησις. Χωρὶς γὰρ τῆς κατὰ νοῦν ἐπινοητικῆς δυνάμεως πρὸς διάπλασιν μορφῆς οὐδαμῶς ἄγεται πάθος. Οὐκοῦν, ὁ μόνῳ τῷ γράμματι τοῦ νόμου περιγράφων τῆς θείας ἐπαγγελίας τὴν δύναμιν παλλακήν, ἀλλ' οὐ γυναῖκα νόμιμον ἔχει τοῦ νόμου τὴν μάθησιν. Ὅθεν ἐξ ἀνάγκης ἡ τοιαύτη μάθησις οὐ δι' ἑαυτήν, ἀλλὰ διὰ τὸν αὐτὴν σωματικῶς ἐκδεχόμενον, ἤγουν συγγενόμενον, γεννᾷ τὸ ἀνάθεμα καὶ τὴν αἰσχύνην. Ὁ γὰρ διὰ τρυφὴν σωματικὴν καὶ ἀνάπαυσιν τὰς θυσίας καὶ τὰς ἑορτάς, τά τε σάββατα καὶ τὰς νεομηνίας κατὰ τὸν νόμον τὸν Θεὸν διατεταχέναι πιστεύων, πάντῃ τε καὶ πάντως ὑπὸ τὴν ἐνοχὴν γενήσεται τῆς τῶν παθῶν ἐνεργείας*[9] *καὶ τὴν αἰσχύνην τῆς τῶν ἐπ' αὐτοῖς αἰσχρῶν λογισμῶν ῥυπαρίας, ὑπό τε τὸν φθειρόμενον ἔσται κόσμον καὶ τὴν ἐν λογισμοῖς φιλοσώματον μελέτην, ὑπό τε τὴν ὕλην τῶν παθῶν καὶ τὸ εἶδος, μηδὲν ἄλλο πλὴν τῶν φθειρομένων τίμιον ἔχειν δυνάμενος καὶ διὰ τοῦτο τυχὸν κακῶς γεννῶν τὴν Μερώβ, τὴν γεννῶσαν υἱοὺς πέντε τῷ Ἐσδριήλ. Μερὼβ δὲ 'πλησμονὴ φάρυγγος' ἑρμηνεύεται, ἥτις ἐστὶν ἡ γαστριμαργία. Μόνη γὰρ αὕτη*

ση στὸν κόσμο, εἶναι φυσικὸ καὶ τὸν γεννᾶ ἀπὸ τὴ μάθηση ποὺ γίνεται μὲ μόνο τὴν προφορικὴ ἐκφώνηση τοῦ νόμου, ὅποιος δὲν εἰσχωρεῖ μὲ τὸ νοῦ του πρὸς τὴν πνευματικὴ θεία ὡραιότητα τοῦ νομικοῦ γράμματος. «Αἰσχύνη τοῦ στόματός τους» εἶναι ἡ φιλόκοσμη καὶ φιλοσώματη νοερὴ μελέτη τῶν λογισμῶν. Σὲ ὅποιον δηλαδὴ εἶναι φυσικὸ ἀπὸ τὴ φαινόμενη μὲ ἑκούσια σχέση στὸ γράμμα σωματικὴ διαμόρφωση τοῦ νόμου νὰ γεννιέται ὁ κόσμος, δηλαδὴ ἡ διάθεσή μας ἡ φιλόκοσμη, εἶναι φυσικὸ νὰ γεννιέται μαζὶ καὶ ἡ νοερὴ φιλόκοσμη καὶ φιλοσώματη μελέτη τῶν λογισμῶν.

Ἢ πάλι τὸ 'ἀνάθεμά τους' εἶναι ἡ προσκολλημένη στὴν ὕλη καὶ ἄσχημη καὶ ἀδιαμόρφωτη κίνηση τῶν παθῶν· 'αἰσχύνη τοῦ στόματός τους' εἶναι ἡ κίνηση ποὺ δίνει μορφὴ στὰ πάθη καὶ ποὺ διαμορφώνει τὴν ὀμορφιὰ τῆς ἡδονῆς γιὰ τὴν αἴσθηση. Γιατὶ χωρὶς τὴν ἐπινοητικὴ ἱκανότητα τοῦ νοῦ κανένα ἀπολύτως πάθος δὲν προχωρεῖ στὴ διάπλαση μορφῆς. Ὅποιος λοιπὸν περιορίζει τὴ δύναμη τῆς θείας ἐπαγγελίας μέσα στὸ γράμμα τοῦ νόμου μονάχα, ἔχει τὴ μάθηση τοῦ νόμου ὡς παλλακὴ καὶ ὄχι ὡς γυναίκα νόμιμη. Ἀναγκαστικὰ λοιπὸν αὐτὴ ἡ μάθηση ὄχι ἐξαιτίας τοῦ ἑαυτοῦ της ἀλλὰ ἐξαιτίας ἐκείνου ποὺ τὴν ἀποδέχεται, δηλαδὴ συνευρίσκεται μαζί της σωματικά, γεννᾶ τὸ ἀνάθεμα καὶ τὴν ντροπή. Ὅποιος δηλαδὴ πιστεύει ὅτι ὁ Θεὸς ὅρισε στὸν νόμο γιὰ σωματικὴ τρυφὴ καὶ ἀνάπαυση, τόσο τὶς θυσίες καὶ τὶς ἑορτὲς ὅσο καὶ τὰ Σάββατα καὶ τὶς πρωτομηνιές, αὐτὸς ἀσφαλῶς παντοῦ καὶ μὲ κάθε τρόπο θὰ γίνει ἔνοχος γιὰ τὴν ἐνέργεια τῶν παθῶν, ἄξιος γιὰ τὴν αἰσχύνη τῆς ρυπαρότητας τῶν αἰσχρῶν λογισμῶν ποὺ προκαλοῦν. Θὰ τὸν βαραίνει αὐτὸς ὁ φθειρόμενος κόσμος καὶ ἡ μελέτη τοῦ φιλοσώματου νοῦ του, καὶ θὰ τὸν καταπλακώσει ἡ ὕλη καὶ τὸ εἶδος τῶν παθῶν, μὴ μπορώντας νὰ ἔχει τίποτε ἄλλο πολύτιμο ἐκτὸς ἀπὸ ὅσα φθείρονται, καὶ γι' αὐτὸ ἴσως γεννᾶ κακῶς τὴ Μερώβ, ποὺ γεννᾶ πέντε υἱοὺς γιὰ τὸν Ἐσδριήλ. Μερὼβ, ἑρμηνεύεται 'πλησμονὴ τοῦ φάρυγγα', ποὺ εἶναι ἡ γαστριμαργία. Γιατὶ αὐτὴ

παρὰ τῆς ἐντολῆς ἰουδαϊκῶς λαβοῦσα τὴν ἄδειαν, τοὺς κατὰ παράχρησιν τρόπους γεννᾷ τῶν αἰσθήσεων τῷ Ἐσδριήλ, ἤγουν τῷ θεωρητικῷ μέρει τῆς ψυχῆς. Ἐσδριὴλ γὰρ ἑρμηνεύεται 'θεία δύναμις' ἢ 'βοητὸς ἰσχυρός', ἢ 'βλέψις δυνατή', ὅπερ ἐστὶν ὁ κατ' εἰκόνα μὲν Θεοῦ γενόμενος νοῦς.

Τὴν δὲ γαστριμαργίαν ὡς τοῦ κατ' ἐντολὴν σαρκὸς νόμου, τουτέστι τοῦ γράμματος, γέννημα, παραπεισθεὶς συνοικισάμενος. Πεισθεὶς γὰρ ὁ νοῦς θείας ἐντολῆς εἶναι διαταγὴν κατὰ τὸν ἐν γράμματι νόμον τὴν κατὰ σάρκα τρυφήν[10]*, ἄλλην οὐ προσίεται πλὴν αὐτῆς πρὸς συμβίωσιν, ὡς θείαν καὶ νόμου τοῦ βασιλεύοντος αὐτὴν ἡγησάμενος γέννημα καὶ τοὺς κατὰ παράχρησιν ἐξ αὐτῆς τῶν αἰσθήσεων συνίστησι τρόπους. Ἐπειδὰν γὰρ τὸ θεωρητικὸν τῆς ψυχῆς, τὴν τρυφὴν κατὰ τὸν ἐν γράμματι νόμον ὡς θείαν διὰ τὴν ἐντολὴν ἀσπάσηται πρὸς συμβίωσιν, τὴν τῶν αἰσθήσεων παρὰ φύσιν μετέρχεται χρῆσιν, μηδεμιᾶς συγχωροῦν κατὰ φύσιν διαφαίνεσθαι τὴν χρῆσιν τῆς ἐνεργείας.*

Ὁ τοίνυν σωματικῶς τοῦ νόμου τὴν μάθησιν ἐξασκούμενος[11]*, οἷα δὴ παλλακήν, ἀλλ' οὐ νόμιμον ἔχων γυναῖκα τῶν θείων τὴν εἴδησιν, καὶ γεννῶν ἐξ αὐτῆς τὸ ἀνάθεμα τῆς τῶν παθῶν ἐνεργείας καὶ τὴν αἰσχύνην τῆς τῶν ἐπ' αὐτοῖς λογισμῶν ἀηδίας, καὶ ἐκ τῆς Μερώβ, τουτέστι τῆς Σαοὺλ θυγατρὸς 'γαστριμαργίας', ἔκγονα λαμβάνων τοὺς κατὰ παράχρησιν τρόπους τῶν αἰσθήσεων, τοὺς ἐν τῇ φύσει τῶν ὄντων, ἤγουν τοὺς κατὰ φύσιν ὡς Γαβαωνίτας ἀποκτείνειν εἴωθε λόγους καὶ λογισμούς. Γαβαωνῖται γὰρ ἑρμηνεύονται 'ὀρεινοὶ' ἢ 'μετέωροι'. Δηλοῦσι δὲ σαφῶς οὗτοι τοὺς κατὰ τὴν φυσικὴν θεωρίαν ὑψηλοτέρους λόγους ἢ τοὺς ἐφ' ἡμῖν κατὰ φύσιν λογισμούς, οὓς ἀποκτείνειν Σαοὺλ καὶ εἴ τις νῦν κατὰ διάθεσιν ἄλλος ὑπάρχει Σαούλ, διὰ τὴν ἐν μόνῳ τῷ νομικῷ γράμματι πλάνην, τοὺς κατὰ φύσιν ἀποπέμπεσθαι καὶ παραχαράττειν οὐ παραιτούμενος λόγους. Οὐδεὶς γὰρ μόνῃ προσανέχων τῇ σωματικῇ τοῦ νό-*

μόνο, ἀφοῦ ἔλαβε τὴν ἄδεια ἀπὸ τὴν ἐντολὴ τοῦ ἰουδαϊκοῦ νόμου, γεννᾶ τὴν κατάχρηση τῶν τρόπων τῶν αἰσθήσεων στὸν Ἐσδριήλ, δηλαδὴ στὸ θεωρητικὸ μέρος τῆς ψυχῆς. Γιατὶ Ἐσδριὴλ ἑρμηνεύεται 'θεία δύναμη' ἢ 'βοηθὸς ἰσχυρὸς' ἢ 'κοίταγμα δυνατό', πράγμα ποὺ εἶναι ὁ νοῦς ποὺ ἔγινε σύμφωνα μὲ τὴν εἰκόνα τοῦ Θεοῦ.

Τὴ γαστριμαργία πάλι ὡς γέννημα τοῦ νόμου ποὺ ὅρισε ἡ σάρκα, δηλαδὴ τοῦ γράμματος, τὴν ἐγκατέστησε μέσα του ξεγελασμένος. Ἐπειδὴ δηλαδὴ πείσθηκε ὁ νοῦς ὅτι ἡ σαρκικὴ ἀπόλαυση εἶναι διαταγὴ τῆς θείας ἐντολῆς σύμφωνα μὲ τὸ νόμο τοῦ γράμματος, δὲν δέχεται νὰ ἀπολαύσει στὴ ζωή του τίποτε ἄλλο ἐκτὸς ἀπὸ αὐτήν, θεωρώντας την ὡς θεϊκὴ καὶ γέννημα τοῦ νόμου ποὺ βασίλευε, κι ἔτσι ἀπὸ αὐτὴν θεσπίζει τοὺς τρόπους κατάχρησης τῶν αἰσθήσεων. Ὅταν δηλαδὴ τὸ θεωρητικὸ τῆς ψυχῆς ἀποδεχτεῖ τὴν τρυφὴ ὡς θεϊκὴ σύμφωνα μὲ τὸ νόμο τοῦ γράμματος καὶ τὴν ἐντολή, γιὰ νὰ ζήσει σύμφωνα μ' αὐτήν, χρησιμοποιεῖ τὴ λειτουργία τῶν αἰσθήσεων παρὰ φύση καὶ δὲν ἐπιτρέπει νὰ διακρίνεται καμμιὰ φυσικὴ χρήση τῆς ἐνέργειας.

Ὅποιος λοιπὸν ἀσκεῖ τὴ μάθηση τοῦ νόμου σωματικά, σὰ νὰ ἦταν παλλακή, χωρὶς νὰ ἔχει νόμιμη γυναίκα τὴ γνώση τῶν θείων, γεννᾶ ἀπὸ αὐτὴ τὸ ἀνάθεμα τῆς ἐνέργειας τῶν παθῶν καὶ τὴν αἰσχύνη ἀπὸ τὴν ἀηδία τῶν λογισμῶν πάνω σ' αὐτά. Ἀπὸ τὴ Μερώβ, δηλαδὴ ἀπὸ τὴν κόρη τοῦ Σαούλ, τὴ γαστριμαργία, παίρνει σὰν ἔκγονα τοὺς τρόπους κατάχρησης τῶν αἰσθήσεων, ποὺ εἶναι μέσα στὴ φύση τῶν ὄντων, δηλαδὴ τοὺς σύμφωνους μὲ τὴ φύση λόγους καὶ λογισμοὺς ποὺ συνήθισε νὰ θανατώνει ὡς Γαβαωνῖτες· γιατὶ οἱ Γαβαωνῖτες ἑρμηνεύονται 'ὀρεινοὶ' ἢ 'μετέωροι', καὶ σημαίνουν αὐτοὶ ὁλοφάνερα τοὺς ὑψηλότερους λόγους τῆς φυσικῆς θεωρίας ἢ τοὺς φυσικοὺς λογισμοὺς τῶν ἀνθρώπων, ποὺ ἀποκτείνει ὁ Σαοὺλ κι ὁποιος ἄλλος Σαοὺλ κατὰ τὴ διάθεση ὑπάρχει τώρα, ποὺ μόνο ἀπὸ πλάνη στὸ νομικὸ γράμμα δὲν παύει νὰ ἀποπέμπει ἢ νὰ παραχαράζει τοὺς σύμφωνους μὲ τὴ φύση λόγους. Γιατὶ κανένας ποὺ εἶναι στραμμέ-

μου λατρείᾳ φυσικὸν τὸ παράπαν δύναιτ' ἂν παραδέξασθαι λόγον ἢ λογισμόν, ὅτι μηδὲ πέφυκε ταυτὸν εἶναι τῇ φύσει τὰ σύμβολα.

Εἰ δὲ ταυτὸν οὐκ ἔστι τῇ φύσει τὰ σύμβολα, κατὰ φύσιν ὁρᾶν τῶν ὄντων τὴν γέννησιν οὐδέποτε δύναται σαφῶς ὁ τοῖς τοῦ νόμου συμβόλοις ὡς πρωτοτύποις προστετηκώς, καὶ διὰ τοῦτο παραλόγως τοὺς κατὰ φύσιν ἀποπέμπεται λόγους, μὴ λογιζόμενος[12]*, ὅτι χρὴ περιποιεῖσθαι τοὺς ὑπὸ Ἰησοῦ διασωθέντας, ὑπὲρ ὧν καὶ πρὸς τοὺς ἐπαναστάντας αὐτοῖς πέντε βασιλεῖς τὸν φοβερὸν ἐκεῖνον συνεκρότησε πόλεμον, ἐν ᾧ καὶ οὐρανὸς αὐτὸς κατὰ τῶν ἐπαναστάντων τοῖς Γαβαωνίταις διὰ λίθων χαλάζης τῷ Ἰησοῦ συνεμάχησεν, οὓς καθέστηκε ξυλοφόρους καὶ ὑδροφόρους τῆς θείας σκηνῆς*[13]*, τουτέστι, τῆς διὰ τῆς σκηνῆς προδιατυπωθείσης ἁγίας Ἐκκλησίας, ὁ σαρκωθεὶς Λόγος. Οὗτος γάρ, οὗτός ἐστιν Ἰησοῦς ὁ ἀποκτείνας τοὺς κατ' αἴσθησιν αὐτοῖς ἐπανισταμένους ἐμπαθεῖς τρόπους καὶ λογισμούς. Ἀεὶ γὰρ τοὺς κατὰ φυσικὴν θεωρίαν λόγους ὁ τοῦ Θεοῦ Λόγος Ἰησοῦς περιποιεῖται, προκαθιστῶν αὐτοῦ τῆς θείας γνώσεως ὕλης καὶ τῆς ρυπτικῆς τῶν παθῶν καθάρσεως καὶ τῆς ἐν πνεύματι ζωτικῆς διαδόσεως ἀφορμῆς χορηγός. Φυσικῆς γὰρ θεωρίας χωρὶς ἐν οὐδενὶ κατ' οὐδένα τρόπον οὐδαμῶς συντηρεῖσθαι πέφυκε τῶν μυστηρίων ἡ δύναμις.*

Εἰ δὲ καὶ τὴν ἐθνικὴν μοῖραν δηλοῦσιν οἱ Γαβαωνῖται[14]*, προσχωροῦσαν τῷ κληροδότῃ τῶν θείων ἐπαγγελιῶν Ἰησοῦ καὶ σωζομένην, διδασκομένην τε ξυλοφορεῖν καὶ ὑδροφορεῖν, τουτέστι τὸν περὶ σταυροῦ καὶ τῆς δι' ὕδατος θείας ἀναγεννήσεως μυστικὸν καὶ σωτήριον λόγον πρακτικῶς τοῖς ὤμοις τῶν*

νος μόνο στὴ σωματικὴ λατρεία τοῦ νόμου δὲν μπορεῖ νὰ παραδεχτεῖ μὲ κανένα τρόπο ἕνα φυσικὸ λόγο ἢ λογισμό, γιατὶ δὲν εἶναι φυσικὸ τὰ σύμβολα νὰ ταυτίζονται μὲ τὴ φύση.

῞Αν λοιπὸν τὰ σύμβολα δὲν εἶναι τὸ ἴδιο μὲ τὴ φύση, ποτὲ δὲν μπορεῖ νὰ κοιτάξει φυσικὰ μὲ σαφήνεια τὴ γέννηση τῶν ὄντων ὅποιος ἐπιμένει νὰ ἐννοεῖ τὰ σύμβολα τοῦ νόμου ὡς πρωτότυπα καὶ γι' αὐτὸ ἀπωθεῖ παράλογα τοὺς φυσικοὺς λόγους. Δὲ σκέπτεται ὅτι πρέπει νὰ φροντίζει ὅσους διασώθηκαν ἀπὸ τὸν Ἰησοῦ[2] ποὺ γιὰ χάρη τους καὶ κατὰ τῶν πέντε βασιλιάδων ποὺ ἐξεγέρθηκαν ἐναντίον τους συγκρότησε ἐκεῖνο τὸ φοβερὸ πόλεμο, ἐνῶ κι ὁ ἴδιος ὁ οὐρανὸς ἐναντίον ἐκείνων ποὺ ξεσηκώθηκαν κατὰ τῶν Γαβαωνιτῶν μὲ χαλάζι σὰν πέτρες συμμάχησε μὲ τὸν Ἰησοῦ[3], καὶ τοὺς ἔκανε μεταφορεῖς ξύλων καὶ νεροῦ γιὰ τὴ θεία σκηνή[4], δηλαδὴ γιὰ τὴν ἁγία Ἐκκλησία ποὺ εἶχε προτυπώσει μὲ τὴ σκηνὴ ὁ Λόγος ποὺ σαρκώθηκε. Γιατὶ αὐτὸς εἶναι ὁ Ἰησοῦς, αὐτός, ποὺ θανάτωσε τοὺς ἐμπαθεῖς τρόπους ἢ λογισμοὺς τῆς αἴσθησης ποὺ ξεσηκώθηκαν ἐναντίον τους. Πάντοτε δηλαδὴ ὁ Λόγος τοῦ Θεοῦ Ἰησοῦς περιποιεῖται τοὺς λόγους τῆς φυσικῆς θεωρίας ἐγκαθιστώντας τους μπροστὰ ἀπὸ τὴ θεία σκηνὴ τῶν μυστηρίων του ὡς μεταφορεῖς ξύλων καὶ νεροῦ, ἐπειδὴ εἶναι χορηγὸς τῆς ὕλης ποὺ ἀνάβει τὸ φωτισμὸ τῆς θείας γνώσης καὶ τῆς κάθαρσης ποὺ ἐξαφανίζει τὸ ρύπο τῶν παθῶν, καὶ χορηγὸς τῆς ἀφορμῆς γιὰ τὴν πνευματικὴ ζωτικὴ διάδοση. Γιατὶ χωρὶς φυσικὴ θεωρία σὲ κανέναν καὶ μὲ κανένα τρόπο δὲν εἶναι φυσικὸ νὰ συντηρεῖται ἡ δύναμη τοῦ μυστηρίου.

῞Αν ὅμως οἱ Γαβαωνίτες σημαίνουν καὶ τμῆμα ἐθνικὸ ποὺ προσχωρεῖ στὸν κληροδότη τῶν θείων ὑποσχέσεων, τὸν Ἰησοῦ, καὶ γι' αὐτὸ σώζεται, ποὺ διδάσκεται νὰ μεταφέρει ξύλα καὶ νερό, δηλαδὴ νὰ περιφέρει πάνω στοὺς ὤμους τῶν ἀρετῶν μὲ τὶς πράξεις του τὸ μυστικὸ καὶ σωτήριο λόγο μὲ τὸ σταυρὸ

---

2. Ἰησ. Ναυῆ 9,3ἑέ. 3. Ἰησ. Ναυῆ 10,5ἑέ. Ἰησ. Ναυῆ 9,27.

ἀρετῶν περιφέρειν καὶ χορηγεῖν τῇ θείᾳ κιβωτῷ τῆς εὐσεβοῦς πίστεως, ξύλων δίκην, διὰ μὲν τῆς πρακτικῆς τῶν ἐπὶ γῆς μελῶν τὴν νέκρωσιν, διὰ θεωρίας δέ, καθάπερ ὕδωρ, τὴν ἐπιρροὴν τῆς ἐν Πνεύματι γνώσεως, οὐκ ἄτοπον, οὐδὲ τῆς εὐσεβείας ἀλλότριον.

Εἴτε γοῦν τοὺς κατὰ τὴν φυσικὴν θεωρίαν λόγους, εἴτε τὴν σωζομένην διὰ πίστεως μερίδα τῶν ἐθνῶν προτυποῦσιν οἱ Γαβαωνῖται, τὸν ἰουδαϊκῶς ζῆν κατὰ τὸν ἐν μόνῳ τῷ γράμματι νόμον προῃρημένον ἔχουσιν ἐχθρὸν καὶ τοῦ σωζομένου πολέμιον. Ὁ γὰρ θεὸν τὴν κοιλίαν ἡγούμενος καὶ ὡς ἐπὶ δόξῃ τῇ αἰσχύνῃ καλλωπιζόμενος, μόνων οἶδεν ὡς θείων ἀνέχεσθαι διὰ σπουδῆς τῶν παθῶν τῆς ἀτιμίας, καὶ διὰ τοῦτο μόνα περιέπει τὰ χρονικά, τουτέστι τὴν ὕλην καὶ τὸ εἶδος[15], καὶ τὴν κατὰ παράχρησιν πενταπλῆν ἐνέργειαν τῶν αἰσθήσεων. Τὰ μὲν ὡς Ρεσφᾶς τῆς παλλακῆς τέκνα, τὰ δὲ ὡς τῆς ἀτίμου θυγατρὸς ἔκγονα Μερώβ. Τῇ γὰρ ὕλῃ καὶ τῷ εἴδει συμπλακεῖσα κατὰ μίξιν ἡ αἴσθησις, ἀποτελεῖν μὲν πάθος, ἀποκτενεῖν δὲ καὶ συντελεῖν τοὺς κατὰ φύσιν πέφυκε λογισμούς. Οὐ γὰρ πέφυκε πάθει συνεμφαίνεσθαι τὸ παράπαν φύσεως λόγος[16], ὥσπερ οὔτε φύσει συναποτίκτεσθαι κατὰ τὴν γένεσιν πάθος.

Οὐκοῦν, ὁ μόνου τοῦ γράμματος τῆς Γραφῆς ἀντεχόμενος κατὰ τὸν Σαοὺλ καὶ τοὺς κατὰ φύσιν ἀποπέμπεται λόγους καὶ τὴν μυστικῶς προκεκηρυγμένην τῶν ἐθνῶν οὐ προσδέχεται κλῆσιν, πρὸς μόνην κεχηνὼς κατὰ νόμον, ὡς οἴεται, τῆς σαρκὸς τὴν ἀπόλαυσιν. Ταύτης οὖν κρατούσης τῶν κατὰ μόνην τὴν αἴσθησιν ζώντων[17], τῆς κατὰ νόμον σωματικῆς διαθέσεως, ὁ λιμὸς οὐ διαδείκνυται τῆς θείας ἐν Πνεύματι γνώσεως. Λιμὸς γάρ ἐστιν, ὡς ἀληθῶς, ἔκλειψις τῶν κατ' αὐτὴν τὴν πεῖραν ἐγνωσμένων ἀγαθῶν, καὶ ἀπορία καὶ σπάνις παντελὴς τῶν τὴν ψυχὴν συγκρατούντων πνευματικῶν βρωμάτων. Πῶς γὰρ λι-

καὶ τὸ νερὸ τοῦ βαπτίσματος τῆς θείας ἀναγέννησης καὶ νὰ προσφέρει στὴ θεία κιβωτὸ τῆς εὐσεβοῦς πίστεως, ὅμοια μὲ ξύλα, μὲ τὶς πράξεις του τὴ νέκρωση τῶν γήινων μελῶν, καὶ μὲ τὴ θεωρία[5], σὰν μὲ νερό, τὴν κατάρδευση τῆς πνευματικῆς γνώσης, αὐτὸ δὲν εἶναι ἄνομο οὔτε ξένο πρὸς τὴν εὐσέβεια.

Εἴτε λοιπὸν τοὺς λόγους τῆς φυσικῆς θεωρίας προτυπώνουν οἱ Γαβαωνῖτες εἴτε τὴ μερίδα τῶν ἐθνικῶν ποὺ σώζονται μὲ τὴν πίστη, ἔχουν ὡς ἐχθρὸ καὶ πολέμιο ἐκείνου ποὺ σώζεται αὐτὸν ποὺ ἐπέλεξε νὰ ζεῖ μὲ τὸν Ἰουδαϊκὸ τρόπο, μόνο κατὰ τὸ νόμο τοῦ γράμματος. Γιατὶ αὐτὸς ποὺ θεωρεῖ θεὸ τὴν κοιλιά του[6] καὶ ποὺ καμαρώνει γιὰ τὴν ντροπή του σὰ νὰ ἦταν δόξα του, ξέρει μόνο ν' ἀνέχεται πρόθυμα τὰ πάθη τῆς ἀτιμίας ὡς θεῖα καὶ γι' αὐτὸ φροντίζει μόνο τὰ παροδικά, δηλαδὴ τὴν ὕλη καὶ τὴ μορφὴ καὶ τὴν καταχρηστικὴ πενταπλὴ λειτουργία τῶν αἰσθήσεων, ἄλλα ὡς τέκνα τῆς Ρεσφᾶ τῆς παλλακῆς, καὶ ἄλλα ὡς παιδιὰ τῆς ἀτιμασμένης κόρης Μερώβ. Ἑνωμένη δηλαδὴ ἡ αἴσθηση μὲ τὴν ὕλη καὶ τὴ μορφὴ μὲ γάμο ἀποτελεῖ πάθος, καὶ χτυπᾶ καὶ θανατώνει τοὺς φυσικοὺς λογισμούς. Γιατὶ δὲν εἶναι φυσικὸ νὰ ἐκδηλώνεται μὲ κανένα τρόπο ὁ λόγος τῆς φύσης μαζὶ μὲ τὸ πάθος, ὅπως οὔτε νὰ ἀποτίκτονται ἢ νὰ γεννιοῦνται μαζὶ πάθος καὶ φύση.

Ὅποιος λοιπὸν προσέχει ὅπως ὁ Σαοὺλ μόνο τὸ γράμμα τῆς Γραφῆς, καὶ τοὺς φυσικοὺς λόγους ἀπωθεῖ καὶ τὴν προαγγελμένη μυστικὰ κλήση τῶν ἐθνῶν δὲν δέχεται, καὶ μόνο χάσκει μπροστὰ στὴν ἀπόλαυση τῆς σάρκας σύμφωνα μὲ τὸ νόμο ὅπως νομίζει. Ὅταν λοιπὸν ἐξουσιάζει ὅσους ζοῦνε σύμφωνα μόνο μὲ τὴν αἴσθηση ἢ τὴ νομικὴ σωματικὴ διάθεση, δὲ φαίνεται ἡ πείνα τῆς πνευματικῆς θείας γνώσης. Γιατὶ πείνα ἀληθινὰ εἶναι ἡ ἐξαφάνιση τῶν ἀγαθῶν ποὺ γνωρίσαμε μὲ τὴν ἴδια τὴν πείρα μας καὶ στέρηση καὶ ἔλλειψη τέλεια τῶν πνευματικῶν τροφῶν ποὺ συγκρατοῦν τὴν ψυχή. Πῶς δηλαδὴ ἀλλιῶς θὰ θε-

5. Κολ. 3,5. 6. Φιλιπ. 3,19.

μὸν ἡγήσεταί τις ἢ ζημίαν, τὴν τῶν καθάπαξ αὐτῷ μηδαμῶς ἐγνωσμένων ἀφαίρεσιν; Ὅθεν ζῶντος Σαοὺλ οὐ γίνεται λιμός, ὅτι μηδὲ πέφυκε ζῶντος τοῦ κατὰ νόμον γράμματος καὶ βασιλεύοντος τῶν ὑλικῶν τὴν διάνοιαν Ἰουδαίων τῆς πνευματικῆς γνώσεως διαγνωσθῆναι τὴν ἔνδειαν· ὁπηνίκα δὲ τῆς εὐαγγελικῆς χάριτος διαλάμψῃ τὸ σέλας καὶ λάβῃ τὴν βασιλείαν τῶν πνευματικῶν τὴν διάνοιαν Δαβὶδ ὁ πανεύφημος, ὅς ἐστιν ὁ κατὰ Πνεῦμα νόμος, μετὰ τὸν θάνατον Σαούλ, ἤγουν μετὰ τὴν τοῦ γράμματος τελευτὴν (ἑρμηνεύεται γὰρ ὁ Δαβίδ, 'ἐξουδένωσις', καὶ 'ἰσχυρὸς ὁράσει'· τὸ μὲν γὰρ λέγεται κατ' Ἰουδαίους πλεονεκτοῦντος τὸ πνεῦμα τοῦ γράμματος[18], τὸ δὲ κατὰ Χριστιανοὺς προσαγορεύεται), νικήσαντος τὸ γράμμα τοῦ πνεύματος, τηνικαῦτα διαγινώσκεται τῆς ἐν πνεύματι γνώσεως ὁ λιμός, κοινῶς μὲν ἐν τῷ πιστῷ λαῷ καὶ τῇ ψυχῇ τοῦ καθ' ἕκαστον ἰδικῶς, ὅταν τῆς ἐν πνεύματι μυστικῆς θεωρίας τὴν ἐκτὸς προφαινομένην τοῦ γράμματος προκρίνει προβολήν, καὶ οἷον εἰπεῖν, τὴν ψυχὴν τῆς Γραφῆς ἀτιμωτέραν ποιεῖται τοῦ σώματος[19]. Λιμώττει γὰρ ἐπ' ἀληθείας τῶν πιστῶν καὶ ἐπεγνωκότων τὴν ἀλήθειαν ὁ λαὸς καὶ ἡ ψυχὴ τοῦ καθ' ἕκαστον ἀφεμένη τῆς ἐν τῇ χάριτι πνευματικῆς θεωρίας καὶ γενομένη τῆς τυπικῆς ἐν τῷ γράμματι δουλείας, μὴ διατρέφουσα τὸν νοῦν ταῖς τῶν νοημάτων μεγαλονοίαις, ἀλλὰ πληροῦσα τὴν αἴσθησιν ἐμπαθοῦς φαντασίας ταῖς σωματικαῖς τῶν γραφικῶν συμβόλων διατυπώσεσι. Διὸ θείας γνώσεως μάλιστα γίνεται «λιμός, τρία ἔτη, ἐνιαυτὸς ἐχόμενος ἐνιαυτοῦ». Πᾶς γὰρ τὴν πνευματικὴν τῆς θείας Γραφῆς θεωρίαν μὴ προσιέμενος, τόν τε φυσικὸν ταύτῃ κατὰ τοὺς Ἰουδαίους συναπώσατο νόμον καὶ τὸν ἐν τῇ χάριτι νόμον ἠγνόησε, καθ' ὃν δίδοται τοῖς κατ' αὐτὸν ἀγομένοις ἡ θέωσις.

Οὐκοῦν, ὁ λιμὸς τῶν τριῶν ἐτῶν[20] δηλοῖ τὸν ἐν τοῖς τρισὶ νόμοις, τῷ τε φυσικῷ λέγω καὶ τῷ γράπτῷ καὶ τῷ τῆς χάρι-

ωρήσει κανένας πείνα ἢ ζημία τὴν ἀφαίρεση τῶν ἀγαθῶν ποὺ καθόλου οὔτε μιὰ φορὰ γνώρισε; Γι' αὐτὸ δὲ γίνεται πείνα ὅσο ζεῖ ὁ Σαούλ· γιατὶ δὲν εἶναι φυσικό, ἐνῶ εἶναι ζωντανὸ τὸ γράμμα τοῦ νόμου καὶ βασιλεύει στοὺς Ἰουδαίους ποὺ ἡ σκέψη τους εἶναι στὰ ὑλικά, νὰ διαπιστωθεῖ ἡ ἔνδεια τῆς πνευματικῆς γνώσης. Ὅταν ὅμως λάμψει τὸ φῶς τῆς εὐαγγελικῆς χάριτος καὶ λάβει τὴ βασιλεία ἐκείνων ποὺ ἡ διάνοιά τους εἶναι πνευματικὴ ὁ Δαβίδ, ποὺ εἶναι ὁ νόμος τοῦ Πνεύματος, μετὰ τὸ θάνατο τοῦ Σαούλ, δηλαδὴ μετὰ τὸ τέλος τοῦ γράμματος (γιατὶ τὸ Δαβὶδ ἑρμηνεύεται 'ἐξουδένωση' καὶ 'δυνατὸς στὸ βλέμμα'· τὸ ἕνα λέγεται ἀπὸ τοὺς Ἰουδαίους ἐπειδὴ τὸ γράμμα πλεονεκτεῖ στὸ πνεῦμα, τὸ ἄλλο εἶναι ἑρμηνεία τῶν Χριστιανῶν, ἐπειδὴ τὸ πνεῦμα νίκησε τὸ γράμμα), τότε διαπιστώνεται ἡ πείνα τῆς πνευματικῆς γνώσης, ἀπὸ κοινοῦ στὸν πιστὸ λαό, καὶ ἰδιαιτέρως στὴν ψυχὴ τοῦ καθενός, ὅταν προκρίνει τὸ γράμμα ποὺ φαίνεται στὴν ἐπιφάνεια ἀπὸ τὴ μυστικὴ πνευματικὴ θεωρία, καί, ὅπως θὰ λέγαμε, βάζει σὲ ὑποδεέστερη μοίρα τὴν ψυχὴ τῆς Γραφῆς ἀπὸ τὸ σῶμα τῆς Γραφῆς. Γιατὶ πεινάει στ' ἀλήθεια ὁ λαὸς γιὰ τοὺς πιστοὺς καὶ γιὰ ὅσους γνώρισαν τὴν ἀλήθεια, πεινάει καὶ ἡ ψυχὴ τοῦ καθενὸς ἰδιαιτέρως ἐγκαταλειμμένη ἀπὸ τὴν πνευματικὴ θεωρία τῆς χάριτος καὶ ὑποδουλωμένη στὴν τυπικὴ δουλεία τοῦ γράμματος, χωρὶς νὰ τροφοδοτεῖ τὸ νοῦ μὲ τὶς ὑψηλὲς ἀλήθειες τῶν νοημάτων ἀλλὰ γεμίζοντας τὴν αἴσθηση ἀπὸ ἐμπαθὴ φαντασία μὲ τὶς ἀπεικονίσεις τῶν Γραφικῶν συμβόλων. Γι' αὐτὸ γίνεται πείνα θείας γνώσης μεγάλη 'τρία χρόνια, ὁ ἕνας χρόνος διαδεχόμενος τὸν ἄλλο χρόνο'. Γιατὶ ὁ καθένας, ποὺ δὲν δέχεται τὴν πνευματικὴ θεωρία τῆς θείας Γραφῆς, ἀπώθησε μαζὶ καὶ τὸ φυσικὸ νόμο κατὰ τὴν ἰουδαϊκὴ ἀντίληψη ποὺ περιέχει, καὶ ἀγνόησε τὸ νόμο τῆς χάριτος, σύμφωνα μὲ τὸν ὁποῖο γίνεται ἡ θέωση ἐκείνων ποὺ ζοῦνε σύμφωνα μ' αὐτόν.

Ἐπομένως ἡ πείνα τῶν τριῶν χρόνων δηλώνει τὴν ἔνδεια τῆς γνώσης ποὺ ἔχει ἀναλόγως ὁ καθένας στοὺς τρεῖς νόμους,

τος, ἀναλόγως ἑκάστῳ γενομένην τῆς γνώσεως ἔνδειαν, τοῖς οὐκ ἐπιμελουμένοις τῆς αὐτῶν κατὰ τὴν θεωρίαν ἀναγωγῆς. Ἐπιμελεῖσθαι γὰρ παντελῶς οὐ δύναται τῆς τῶν Γραφῶν ἐπιστήμης ὁ τοὺς μὲν φυσικοὺς τῶν ὄντων κατὰ τὴν θεωρίαν ἀπωθούμενος λόγους, ἀντεχόμενος δὲ μόνων τῶν ὑλικῶν συμβόλων καὶ μηδεμίαν αὐτοῖς ἐπινοῶν ὑψηγορίαν πνευματικήν. Κρατούσης γὰρ μόνης τῆς ἱστοριώδους τῶν Γραφῶν ἀφηγήσεως(21)*, τὸ τῶν προσκαίρων καὶ χρονικῶν τῆς διανοίας οὐκ ἀπεγένετο κράτος, ἀλλ' ἔτι ζῶσι τὰ τέκνα τοῦ ἀποθανόντος Σαοὺλ καὶ ἔκγονα, ἑπτὰ ὄντα τὸν ἀριθμόν, τουτέστιν ἡ σωματικὴ τοῦ νόμου λατρεία καὶ πρόσκαιρος, ἐξ ἧς ἡ ἐμπαθὴς εἴωθεν ἀπογεννᾶσθαι τοῖς φιλοσωμάτοις κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν διάθεσις, ἐπίκουρον ἔχουσα τῆς πλάνης τὴν πρόδηλον ἐν τοῖς συμβόλοις διαταγήν. Διὰ ταύτην, οἶμαι, τὴν αἰτίαν μὴ γίνεσθαι λιμὸν ἐν ταῖς ἡμέραις Σαούλ, τουτέστιν ἐν τῷ χρόνῳ τῆς νομικῆς κατὰ σάρκα λατρείας, τὴν ἔνδειαν μὴ διαγνωσθῆναι τῆς ἐν πνεύματι γνώσεως, ἀλλ' ἐν τῷ χρόνῳ τῆς εὐαγγελικῆς χάριτος, καθ' ὅν, ὅταν μὴ πᾶσαν πνευματικῶς τὴν Γραφὴν ἐκλαμβάνωμεν, μετὰ τὴν πάροδον τῆς τοῦ γράμματος δυναστείας λιμώττομεν πάντως, τῆς Χριστιανοῖς πρεπούσης μυστικῆς κατὰ Πνεῦμα λατρείας οὐκ ἀπολαύοντες. Ἐὰν δὲ λαβόντες αἴσθησιν, κατὰ τὸν Δαβίδ, ζητήσωμεν τὸ πρόσωπον Κυρίου*(22)*, διδασκόμεθα σαφῶς, ὅτι διὰ τὸ μὴ παραδέξασθαι τοὺς κατὰ φύσιν λόγους πρὸς ἐπίβασιν τῆς ἐν πνεύματι μυστικῆς θεωρίας, ἀλλ' ἔτι τῶν ἐν τῷ γράμματι τοῦ νόμου σωματικῶν ἀντέχεσθαι λογισμῶν, ἡ χάρις ἀφῃρέθη τῆς γνώσεως.*

«Καὶ ἐζήτησε», φησί, «Δαβὶδ τὸ πρόσωπον Κυρίου. Καὶ εἶπε Κύριος· Ἐπὶ τὸν οἶκον Σαοὺλ ἡ ἀδικία, περὶ οὗ ἐθανάτωσε τοὺς Γαβαωνίτας». Δαβὶδ ἐστι πᾶς νοῦς κατὰ Χριστὸν διορατικός(23)*, ἀεὶ ζητῶν τὸ πρόσωπον Κυρίου. Πρόσωπον δὲ Κυρίου καθέστηκεν ἡ κατὰ τὴν ἀρετὴν τῶν θείων ἀληθὴς θεωρία καὶ γνῶσις, ἣν ζητῶν διδάσκεται τὴν αἰτίαν τῆς κατ' αὐτὴν ἐνδείας καὶ ἀπορίας καὶ κελεύεται δοῦναι πρὸς θάνατον τοὺς δύο υἱοὺς*

στὸ φυσικό, στὸ γραπτὸ καὶ στῆς χάριτος ἀπὸ ἐκείνους τοὺς πιστοὺς ποὺ δὲν ἐνδιαφέρονται γιὰ τὴν ἀνύψωσή τους στὴ θεωρία. Γιατὶ δὲν μπορεῖ νὰ φροντίσει καθόλου γιὰ τὴ γνώση τῶν Γραφῶν ὅποιος ἀπωθεῖ κατὰ τὴ θεωρία τοὺς φυσικοὺς λόγους τῶν ὄντων καὶ κρατεῖ μόνο τὰ ὑλικὰ σύμβολα καὶ δὲν ἐπινοεῖ γι' αὐτὰ καμμιὰ ὑψηλὴ πνευματική τους ἐξήγηση. Ὅταν δηλαδὴ ἐπικρατήσει μόνο ἡ ἱστορικὴ ἀφήγηση τῶν Γραφῶν, δὲν καταλύεται ἡ δυναστεία τῆς διάνοιας γιὰ τὰ πρόσκαιρα καὶ παροδικά, ἀλλὰ ζοῦν ἀκόμα τὰ παιδιὰ τοῦ πεθαμένου Σαούλ, ποὺ εἶναι ἑφτὰ στὸν ἀριθμό. Δηλαδή, ἡ σωματικὴ καὶ πρόσκαιρη λατρεία τοῦ νόμου, ἀπὸ τὴν ὁποία συνήθως γεννιέται γιὰ τοὺς φίλους τοῦ σώματος κατὰ τὴν αἰτία ποὺ εἴπαμε ἡ ἐμπαθὴς αἰτία, ἔχοντας βοηθὸ στὴν πλάνη της τὴ φανερὴ ἐντολὴ τῶν συμβόλων. Γι' αὐτὴ νομίζω τὴν αἰτία δὲν ἔγινε πείνα στὶς μέρες τοῦ Σαούλ, δηλαδὴ στὸν καιρὸ τῆς νομικῆς σωματικῆς λατρείας, γιὰ νὰ μὴ διαπιστωθεῖ ἡ ἔνδεια τῆς πνευματικῆς γνώσης, ἀλλ' ἔγινε γνωστὴ στὸν καιρὸ τῆς Εὐαγγελικῆς χάριτος, κατὰ τὸν ὁποῖο καιρὸ ὅταν δὲν ἀποδεχόμαστε πνευματικὰ ὅλη τὴ Γραφὴ μετὰ τὴν παρέλευση τῆς δυναστείας τοῦ γράμματος, πέφτει ὁπωσδήποτε πείνα καὶ δὲν ἀπολαμβάνομε τὴ μυστικὴ πνευματικὴ λατρεία ποὺ πρέπει στοὺς Χριστιανούς. Ὅταν ὅμως συναισθανθοῦμε, ὅπως ὁ Δαβίδ, καὶ ζητήσομε τὸ πρόσωπο τοῦ Κυρίου, μαθαίνομε μὲ σαφήνεια ὅτι μᾶς ἀφαιρέθηκε ἡ χάρη ἐπειδὴ δὲν παραδεχτήκαμε τοὺς φυσικοὺς λόγους γιὰ νὰ ἐπιτύχομε τὴν μυστικὴ πνευματικὴ θεωρία, ἀλλὰ ἐπιμένομε ἀκόμα στοὺς σωματικοὺς λογισμοὺς τοῦ νομικοῦ γράμματος.

«Καὶ ζήτησε», λέει, «ὁ Δαβὶδ τὸ πρόσωπο τοῦ Κυρίου. Καὶ εἶπε ὁ Κύριος. Ἡ ἀδικία νὰ πέσει στὸ σπίτι τοῦ Σαούλ, γιατὶ θανάτωσε τοὺς Γαβαωνίτες». Δαβὶδ εἶναι κάθε νοῦς διορατικὸς κατὰ Χριστὸν ποὺ πάντοτε ἀναζητεῖ τὸ πρόσωπο τοῦ Κυρίου. Πρόσωπο τοῦ Κυρίου εἶναι ἡ σύμφωνη μὲ τὴν ἀρετὴ ἀληθινὴ θεωρία καὶ γνώση τῶν θείων, ποὺ ἀναζητώντας την διδάσκεται τὴν αἰτία τῆς ἔνδειας καὶ τῆς στέρησής της. Διατάσ-

Σαούλ, τοὺς ἐκ τῆς παλλακίδος Ρεσφᾶς, καὶ τοὺς πέντε τῆς αὐτοῦ θυγατρὸς Μερὼβ υἱούς. Σαοὺλ ἐστι, καθὼς ἔφην, 'αἰτητὸς ᾅδης', ἤγουν 'ἄγνοια ποθητή'. Ποθουμένη δὲ σαφῶς ἐστιν ἄγνοια[24] τὸ γράμμα τὸ νομικόν, ἤγουν τὸ σωματικὸν τῆς ἐν νόμῳ λατρείας κράτος, ὅπερ ἐστὶ τὸ τοῦ νόμου σωματικόν, ἢ νοῦς μόνης κατ' αἴσθησιν ἀντεχόμενος σωματικῶς τῆς ὕλης τοῦ γράμματος. Ρεσφὰ δέ ἐστι, κατὰ τὴν αὐτῆς ἑρμηνείαν, 'δρόμος στόματος', ὅπερ ἐστὶν ἡ τοῦ νόμου κατὰ μόνην τὴν ἐν λόγῳ προφορὰν ἐκμάθησις. Δρόμον δὲ ἀληθῶς ἔχει στόματος, ἀλλ' οὐ διανοίας, ὁ τῆς πνευματικῆς τοῦ νόμου θεωρίας ἀλλότριος.

Υἱοὶ δὲ τῆς Ρεσφᾶς ὑπάρχουσιν Ἐρμονθὶ καὶ Μεμφιβοσθέ. Ἐρμονθὶ δέ ἐστιν, 'ἀνάθεμα αὐτῶν', ὅπερ ἐστὶν ἡ καθ' ἁμαρτίαν διὰ σώματος φθορὰ τῆς τῶν παθῶν ἐνεργείας, ἢ ὁ τόπος, τουτέστιν ὁ κόσμος, ἐν ᾧ τῆς παραβάσεως ἐδόθη τὸ ἐπιτίμιον, ἤγουν ἡ καθ' ἡδονὴν πρὸς τὸν κόσμον ἐνδιάθετος σχέσις, ἢ τυχὸν ἡ πρόσυλος καὶ ἀκαλλὴς τῶν παθῶν καὶ ἀδιάπλαστος κίνησις. Μεμφιβοσθὲ δὲ 'αἰσχύνη σώματος αὐτῶν', ὅπερ ἐστὶν ἡ παρὰ φύσιν τοῦ νοῦ περὶ κακίαν κίνησις, ἤγουν ἡ ἐπινοητικὴ τῶν παθῶν ἐνθύμησις, ἢ τυχὸν ἡ φιλόκοσμος μελέτη τῶν λογισμῶν καὶ φιλοσώματος. Ἢ πάλιν ἡ τοῖς πάθεσιν εἶδος ἐπάγουσα καὶ τὸ καθ' ἡδονὴν πρὸς αἴσθησιν διαπλάττουσα κάλλος τοῦ νοῦ κίνησις. Τούτους γὰρ γεννᾷν τοὺς υἱοὺς πέφυκεν ἐκ τῆς κατὰ μόνην τὴν ἐν λόγῳ προφορὰν ἐκμαθήσεως, ὅ τε γραπτὸς νόμος καὶ ὁ μόνῳ προσκαθήμενος τῷ γράμματι τοῦ νόμου νοῦς. Μερὼβ δὲ κατὰ τὴν αὐτῆς ἑρμηνείαν ἐστὶν (ἡ τοῦ Σαοὺλ θυγάτηρ), ἡ 'πλησμονὴ τοῦ φάρυγγος', ὅπερ δηλοῖ τὸ τῆς γαστριμαργίας πάθος. Μόνην γὰρ οἶδε γεννᾷν σώματος τρυφὴν καὶ τὴν τῶν ὑλικῶν ἀπολαυστικὴν διάθεσιν, ὅ τε νόμος κατὰ τὸ γράμμα, τοῖς συμβόλοις τοὺς κατ' αὐτὸν λατρεύοντας, ὅ τε νοῦς, διὰ τὴν φιλάσαρκον ζωήν, κατὰ τὸ γράμμα τὸν νόμον τοῖς τύποις περιορίζων. Πέντε δὲ τῆς Μερὼβ θυγατρὸς υἱοὶ καθεστή-

σεται τότε νὰ δώσει γιὰ νὰ θανατωθοῦν οἱ δύο υἱοὶ τοῦ Σαοὺλ ποὺ εἶχε ἀπὸ τὴν παλλακίδα του Ρεσφὰ καὶ τοὺς πέντε υἱοὺς τῆς κόρης του Μερώβ. Σαούλ, ὅπως εἶπα, εἶναι 'ὁ ἅδης ποὺ ἀπαιτεῖται', δηλαδὴ 'ἄγνοια ποθούμενη'. Καὶ ποθούμενη ἄγνοια σαφῶς εἶναι τὸ νομικὸ γράμμα, δηλαδὴ ἡ σωματικὴ δυναστεία τῆς νομικῆς λατρείας, ποὺ εἶναι ἡ σωματικότητα τοῦ νόμου, ἢ ὁ νοῦς ποὺ ἀντιλαμβάνεται σωματικὰ τὴν αἰσθητὴ ὕλη τοῦ γράμματος. Ρεσφά, σύμφωνα μὲ τὴν ἑρμηνεία της, σημαίνει 'δρόμος τοῦ στόματος', ποὺ εἶναι ἡ προφορικὴ μόνο ἀποστήθιση τοῦ νόμου. Καὶ κάνει ἀληθινὰ δρόμο τοῦ στόματος κι ὄχι τῆς διάνοιας ὅποιος εἶναι ξένος ἀπὸ τὴν πνευματικὴ θεωρία τοῦ νόμου.

Υἱοὶ τῆς Ρεσφᾶ εἶναι ὁ Ἑρμονθὶ καὶ ὁ Μεμφιβοσθέ. Ἑρμουνθὶ σημαίνει 'ἀνάθεμά τους' ποὺ εἶναι ἡ ἁμαρτωλὴ φθορὰ μέσω τοῦ σώματος τῆς ἐνέργειας τῶν παθῶν, ἢ ὁ τόπος, δηλαδὴ ὁ κόσμος ὅπου δόθηκε τὸ ἐπιτίμιο τῆς παράβασης, δηλαδὴ ἡ ἐνδιάθετη ἡδονικὴ σχέση πρὸς τὸν κόσμο, ἢ ἴσως ἡ κίνηση τῶν παθῶν ἡ δεμένη μὲ τὴν ὕλη, ἡ ἄσχημη καὶ ἀδιαμόρφωτη. Μεμφιβοσθὲ σημαίνει 'ντροπὴ τοῦ σώματός τους', πράγμα ποὺ εἶναι ἡ παρὰ φύση κίνηση τοῦ νοῦ γύρω ἀπὸ τὴν κακία, δηλαδὴ ἡ σκέψη ποὺ ἐπινοεῖ τὰ πάθη, ἢ ἴσως καὶ ἡ ἀνακίνηση λογισμῶν φιλόκοσμων καὶ φιλοσώματων. Ἢ ἀκόμα ἡ κίνηση τοῦ νοῦ ποὺ δίνει εἶδος στὰ πάθη καὶ διαπλάθει τὸ κάλλος γιὰ νὰ γίνει αἰσθητὸ μὲ ἡδονή. Αὐτοὺς τοὺς υἱοὺς γεννᾶ, ὡς ἀπὸ τὴ φύση του, ἀπὸ τὴν προφορικὴ μὲ λόγια μόνο μάθηση τόσο ὁ γραπτὸς νόμος, ὅσο κι ὁ νοῦς ποὺ ἐπιμένει στὸ γράμμα μόνο τοῦ νόμου. Μερώβ, ἡ κόρη τοῦ Σαούλ, σύμφωνα μὲ τὴν ἑρμηνεία της εἶναι 'ἡ πλησμονὴ τοῦ φάρυγγα', ποὺ σημαίνει τὸ πάθος τῆς γαστριμαργίας. Γιατὶ γνωρίζει νὰ γεννᾶ μόνο τὴν τρυφὴ τοῦ σώματος καὶ τὴν ἀπολαυστικὴ διάθεση γιὰ τὰ ὑλικὰ τόσο ὁ νόμος τοῦ γράμματος ποὺ περιορίζει στὰ σύμβολά του ὅσους τὸν ἀσκοῦν, ὅσο κι ὁ νοῦς ποὺ γιὰ χάρη τῆς φιλόσαρκης ζωῆς περιορίζει τὸ γράμμα τοῦ νόμου στοὺς τύπους. Ἡ Μερώβ, ἡ κόρη τοῦ Σαούλ, ἀπόχτησε πέντε υἱούς, ποὺ εἶναι οἱ ἐμπαθεῖς

κασιν οἱ κατὰ παράχρησιν ἐμπαθεῖς πέντε τρόποι τῶν πέντε αἰσθήσεων, οὓς τίκτειν πάντως εἴωθε τῷ Ἐσδριήλ, ἤγουν τῷ θεωρητικῷ μέρει, ἡ μόνου τοῦ σώματος κατὰ νόμον διὰ τρυφῆς ἐπιμελουμένη διάθεσις.

Τούτους τοὺς δύο τοῦ Σαοὺλ υἱούς[25] *(ἤγουν τὴν ὕλην καὶ τὸ εἶδος), καὶ τοὺς πέντε τοῦ Σαοὺλ υἱωνούς, ἤγουν τοὺς περὶ τὴν ὕλην καὶ τὸ εἶδος κατὰ παράχρησιν πέντε τρόπους τῶν αἰσθήσεων (λέγω δὴ τὴν ἐμπαθῆ τε καὶ παρὰ φύσιν πρὸς τὰ αἰσθητὰ τῶν αἰσθήσεων συμπλοκήν, ἤγουν τὰ ὑπὸ χρόνον καὶ ῥεῦσιν), μετὰ τὴν τελευτὴν Σαοὺλ (τουτέστι, μετὰ τὴν πάροδον τῆς ἐν νόμῳ κατὰ τὸ γράμμα σωματικῆς λατρείας καὶ τὴν τῆς ἀγνοίας διάβασιν), παραδίδωσι θανατωθῆναι κατὰ τὸν θεῖον χρηματισμόν, Δαβὶδ ὁ θαυμάσιος τοῖς Γαβαωνίταις (τουτέστι, τοῖς κατὰ τὴν φυσικὴν θεωρίαν ὑψηλοτέροις λόγοις καὶ λογισμοῖς, ὁ πνευματικὸς νόμος ἢ νοῦς, τὴν ἐν τοῖς συμβόλοις πρὸς αἴσθησιν καὶ σῶμα καθολικωτάτην τῶν ὑπὸ χρόνον σχέσιν ἀφανίσαι καὶ θανατῶσαι), κατὰ τὸ ὕψος γινομένοις τοῦ βουνοῦ Σαούλ, λέγω δὴ τοῦ νόμου τῆς πνευματικῆς θεωρίας. Εἰ γὰρ μὴ φυσικῶς πρότερόν τις τὴν ἐν τοῖς συμβόλοις τῶν θείων καὶ νοητῶν διασκοπήσας ἀπέμφασιν*[26]*, ἐλθεῖν ποθήσῃ κατὰ νοῦν, ἔξω παντελῶς τῶν θείων ἀδύτων τὴν αἴσθησιν θέμενος, πρὸς τὴν τῶν νοητῶν εὐπρέπειαν τῆς ἐν τοῖς τύποις ἀπολυθῆναι καθάπαξ οὐ δύναται σωματικῆς ποικιλίας, καθ' ἣν ἕως βέβηκε τοῦ γράμματος ἀντεχόμενος τὴν ἐκ τοῦ λιμοῦ τῆς γνώσεως εἰκότως ἀπορίαν οὐ παραμυθεῖται, τῆς Γραφῆς τὴν γῆν, ἤγουν τὸ σῶμα, κατὰ τὸν ἀπατηλὸν ὄφιν ἐσθίειν ἑαυτὸν καταδικάσας, ἀλλ' οὐ κατὰ Χριστὸν τὸν νοῦν, ἤγουν τῆς Γραφῆς τὸ πνεῦμα καὶ τὴν ψυχήν, τουτέστι τὸν οὐράνιον καὶ ἀγγελικὸν ἄρτον (λέγω δὴ τὴν ἐν Χριστῷ τῶν Γραφῶν πνευματικὴν θεωρίαν καὶ γνῶσιν) βρωματιζόμενος, ἣν δίδωσι δαψιλῶς ἐπιχορηγουμένην τοῖς ἀγαπῶσιν αὐτὸν ὁ Θεός, κατὰ τὸ γεγραμμένον· «ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς· ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος».*

τρόποι τῶν πέντε αἰσθήσεων μὲ ὑπέρμετρη χρήση, τοὺς ὁποίους συνήθισε νὰ γεννᾶ γιὰ τὸν Ἐσδριήλ, δηλαδὴ τὸ θεωρητικὸ μέρος τῆς ψυχῆς, ἡ διάθεση ποὺ φροντίζει σύμφωνα μὲ τὸ νόμο μόνο γιὰ τὴν τρυφὴ τοῦ σώματος.

Αὐτοὺς τοὺς δύο υἱοὺς τοῦ Σαοὺλ (δηλαδὴ τὴν ὕλη καὶ τὸ εἶδος) καὶ τοὺς πέντε ἐγγονοὺς τοῦ Σαούλ, δηλαδὴ τοὺς πέντε τρόπους τῶν αἰσθήσεων μὲ κατάχρηση ὡς πρὸς τὴν ὕλη καὶ τὸ εἶδος (ἐννοῶ τὴν παραφύση ἐμπαθὴ συμπλοκὴ τῶν αἰσθήσεων μὲ τὰ αἰσθητά, δηλαδὴ τὰ χρονικὰ καὶ παροδικὰ) μετὰ τὸ θάνατο τοῦ Σαοὺλ (δηλαδὴ μετὰ τὴν παρέλευση τῆς νομικῆς κατὰ τὸ γράμμα σωματικῆς λατρείας καὶ τὴν πάροδο τῆς ἄγνοιας) παραδίδει ὁ θαυμάσιος Δαβὶδ στοὺς Γαβαωνίτες (δηλαδὴ ὁ πνευματικὸς νόμος ἢ νοῦς, στοὺς ὑψηλότερους λόγους καὶ λογισμοὺς τῆς φυσικῆς θεωρίας) γιὰ νὰ θανατώσουν καὶ ν' ἀφανίσουν τὴν καθολικότατη σχέση μέσα στὰ σύμβολα ὅσων διέπονται ἀπὸ τὸ χρόνο πρὸς τὴν αἴσθηση καὶ τὸ σῶμα, ἀφοῦ οἱ Γαβαωνῖτες ἀνεβοῦν τὸ βουνὸ τοῦ Σαούλ, ἐννοῶ τὸ νόμο τῆς πνευματικῆς θεωρίας. Ἂν δηλαδὴ κάποιος δὲν ποθήσει, ἀφοῦ προηγουμένως ἐξετάσει φυσικῶς νὰ βρεῖ νοερὰ τὴν ἀδηλότητα τῶν θείων καὶ νοητῶν μέσα στὰ σύμβολα, θέτοντας τὴν αἴσθηση ἔξω τελείως ἀπὸ τὰ θεῖα ἄδυτα, δὲν θὰ ποθήσει νὰ βαδίσει πρὸς τὴν ὡραιότητα τῶν νοητῶν, δὲν μπορεῖ ν' ἀπελευθερωθεῖ ἀπὸ τὴν πνευματικὴ ποικιλία τῶν τύπων, σύμφωνα μὲ τὴν ὁποία ὡσότου προχωρεῖ κρατούμενος ἀπὸ τὸ γράμμα, δὲν ἐλαττώνεται φυσικὰ ἡ ἀνέχειά του ἀπὸ τὴν πείνα τῆς γνώσης. Τὴ γῆ τῆς Γραφῆς, δηλαδὴ τὸ σῶμα, τὸ καταδίκασε νὰ τρώει τὸν ἑαυτό του, κατὰ τὸ δόλιο φίδι καὶ ὄχι κατὰ τὸ Χριστὸ τὸ νοῦ, δηλαδὴ τὸ πνεῦμα καὶ τὴν ψυχὴ τῆς Γραφῆς, ἤτοι τὸν οὐράνιο καὶ ἀγγελικὸ ἄρτο (ἐννοῶ βέβαια τὴν πνευματικὴ θεωρία καὶ γνώση τῶν Γραφῶν γιὰ τὸ Χριστό), τρώγοντας ὡς τροφή του, ποὺ τὴ δίνει πλούσια ὁ Θεὸς σὲ ὅποιους τὸν ἀγαποῦν σύμφωνα μὲ αὐτὸ ποὺ ἔχει γραφεῖ «τὸν ἄρτο τοῦ οὐρανοῦ τοὺς ἔδωσε· ἄρτο ἀγγέλων ἔφαγε ὁ ἄνθρωπος»[7].

7. Ψαλμ. 77,24.

Χρὴ τοιγαροῦν τὴν κατ' αἴσθησιν πρὸς σῶμα τῆς Γραφῆς ἐκδοχήν, ὡς παθῶν προδήλως καὶ τῆς πρὸς τὰ χρονικὰ καὶ ῥέοντα σχετικῆς διαθέσεως οὖσαν γεννητικὴν (ἤγουν τῆς πρὸς τὰ αἰσθητὰ τῶν αἰσθήσεων ἐμπαθοῦς ἐνεργείας), ὡς Σαοὺλ τέκνα καὶ ἔκγονα, διὰ τῆς φυσικῆς, ὡς ἐν ὄρει τῇ τῶν θείων ἀναγωγῇ λογίων, ἀφανίσας θεωρίας, εἴπερ ἐμφορηθῆναι θείας ἐφιέμεθα χάριτος. Εἰ γὰρ ἐπὶ Σαοὺλ ἡ ἀδικία, κατὰ τὸν θεῖον χρησμόν, καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ, ὑπὲρ οὗ ἐθανάτωσε τοὺς Γαβαωνίτας, δῆλον ὡς ἀδικεῖ τὴν ἀλήθειαν ὅ τε νόμος κατὰ μόνον τὸ γράμμα νοούμενος καὶ ὁ τῶν Ἰουδαίων λαὸς καὶ εἴ τις ἐκείνων μιμητὴς ὑπάρχει κατὰ διάνοιαν (τοῦτον γὰρ οἶδεν ὁ λόγος οἶκον Σαοὺλ εἶναι), μόνῳ τῷ γράμματι περιγράφων τοῦ νόμου τὴν δύναμιν καὶ μὴ δεχόμενος πρὸς τὴν φανέρωσιν τῆς μυστικῶς ἐγκεκρυμμένης τῷ γράμματι γνώσεως τὴν φυσικὴ θεωρίαν, μέσην ὑπάρχουσαν τύπων καὶ ἀληθείας, τῶν μὲν τοὺς ἀγομένους ἀπάγουσαν, πρὸς δὲ τὴν ἐπανάγουσαν, ἀλλ' οἷον ταύτην πάμπαν ἀρνούμενος καὶ τῆς τῶν θείων αὐτὴν ἔξω ποιούμενος μυσταγωγίας.

Ταύτην τοιγαροῦν χρὴ τὴν σωματικὴν τοῦ νόμου καὶ πρόσκαιρον ἐκδοχήν, ὡς ὑπὸ χρόνον καὶ ῥέουσαν, ἀποκτένειν διὰ τῆς φυσικῆς θεωρίας, ὡς ἐν ὄρει τῷ ὕψει τῆς γνώσεως, τοὺς τῶν θείων ἐπιμελητὰς θεαμάτων. «Καὶ ἐκάλεσε» γάρ, φησί, «Δαβὶδ τοὺς Γαβαωνίτας καὶ εἶπεν αὐτοῖς· Τί ποιήσω ὑμῖν καὶ ἐν τίνι ἐξιλάσομαι καὶ εὐλογήσετε τὴν κληρονομίαν Κυρίου; Καὶ εἶπον πρὸς τὸν βασιλέα· Ὁ ἀνὴρ ὃς συνετέλεσεν ἡμᾶς καὶ ἐδίωξεν ἡμᾶς καὶ ἐλογίσατο ἐξολοθρεῦσαι ἡμᾶς, ἀφανίσομεν αὐτὸν τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ. Δότε ἡμῖν ἑπτὰ ἄνδρας ἐκ τῶν υἱῶν αὐτοῦ καὶ ἐξηλιάσομεν αὐτοὺς τῷ Κυρίῳ ἐν τῷ βουνῷ Σαούλ. Καὶ ἔλαβεν ὁ βασιλεὺς τοὺς δύο

Πρέπει λοιπὸν τὴν σύμφωνη μὲ τὴν αἴσθηση ἀντίληψη τῆς Γραφῆς ὡς σώματος, ἐπειδὴ δημιουργεῖ ὁλοφάνερα τὰ πάθη καὶ τὴ διάθεση τὴ σχετικὴ μὲ τὰ χρονικὰ καὶ ῥέοντα (δηλαδὴ τὴν ἐμπαθὴ ἐνέργεια τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητὰ) σὰν παιδιὰ καὶ γόνους τοῦ Σαούλ, νὰ τὰ ἀφανίσομε μέσω τῆς φυσικῆς θεωρίας, σὰν στὸ ὄρος, μὲ τὴν ἀνύψωση τῶν θείων λόγων, ἂν βέβαια ἐπιθυμοῦμε ν' ἀποκτήσομε τὴ θεία χάρη. Ἂν δηλαδὴ ἡ ἀδικία πέφτει, σύμφωνα μὲ τὸ θεῖο χρησμό, στὸ Σαοὺλ καὶ στὸ σπίτι του, γιὰ τὸ λόγο ὅτι θανάτωσε τοὺς Γαβαωνῖτες, εἶναι φανερὸ ὅτι ἀδικεῖ τὴν ἀλήθεια τόσο ὁ νόμος ὅταν ἐννοηθεῖ μόνο κατὰ τὸ γράμμα ὅσο καὶ ὁ λαὸς τῶν Ἰουδαίων καὶ ἂν τυχὸν ὑπάρχει κανένας μιμητὴς τῆς ἀντίληψής τους (αὐτὸν ὁ λόγος γνωρίζει νὰ χαρακτηρίζει ὡς σπίτι τοῦ Σαούλ), περιορίζοντας στὸ γράμμα μόνο τὴ δύναμη τοῦ νόμου καὶ μὴ δεχόμενος γιὰ τὴ φανέρωση τῆς κρυμμένης μυστικὰ μέσα στὸ γράμμα γνώσης τὴ φυσικὴ θεωρία ποὺ εἶναι ἐνδιάμεσο τύπων καὶ ἀλήθειας κι ἀπομακρύνει ἀπὸ αὐτοὺς ὅσους τοὺς ἀκολουθοῦν, ἐνῶ ἐπαναφέρει πρὸς αὐτὴν (τὴν ἀλήθεια). Ἀλλὰ φαίνεται νὰ τὴν ἀρνεῖται τελείως καὶ νὰ τὴν ἐκβάλλει ἀπὸ τὴ μυστικὴ διδασκαλία τῶν θείων.

Αὐτὴ λοιπὸν τὴ σωματικὴ καὶ χρονικὴ ἑρμηνεία τοῦ νόμου πρέπει, σὰν ὑποχείρια στὸ χρόνο καὶ ῥέουσα, νὰ τὴ θανατώσομε μὲ τὴ φυσικὴ θεωρία, ὅπως ἔκαναν στὸ ὄρος, στὸ ὕψος τῆς γνώσης, οἱ ἐπιμελητὲς τῶν θείων θεαμάτων. Γιατὶ λέει, «καὶ κάλεσε ὁ Δαβὶδ τοὺς Γαβαωνῖτες καὶ τοὺς εἶπα· 'Τί θέλετε νὰ σᾶς κάνω καὶ πῶς νὰ σᾶς ἐξιλεώσω καὶ νὰ εὐλογήσετε τὴν κληρονομία τοῦ Κυρίου;' Καὶ ἀπάντησαν στὸν βασιλιά· "Ο ἄνδρας ποὺ μᾶς θανάτωσε καὶ μᾶς καταδίωξε καὶ σκέφτηκε νὰ μᾶς ἐξολοθρεύσει, αὐτὸν θέλομε νὰ τὸν ἐξαφανίσομε, ὥστε νὰ μὴ σταθεῖ πουθενὰ μέσα στὸ ὅρια τοῦ Ἰσραήλ. Δῶστε μας ἑπτὰ ἄνδρες ἀπὸ τοὺς υἱούς του γιὰ νὰ τοὺς κρεμάσομε ἐκτεθειμένους στὸν ἥλιο στὸ ὄνομα τοῦ Κυρίου στὸ βουνὸ τοῦ Σαούλ'. Καὶ πῆρε ὁ βασιλιὰς τοὺς δύο υἱοὺς τῆς Ρεσφᾶ, κόρης τοῦ Ἀϊᾶ,

υἱοὺς Ρεσφᾶς θυγατρὸς Ἀϊᾶ, παλλακῆς Σαούλ, τὸν Ἑρμονθὶ καὶ τὸν Μεμφιβοσθέ, καὶ τοὺς πέντε υἱοὺς Μερὼβ θυγατρὸς Σαούλ, οὓς ἔτεκε τῷ Ἐσδριήλ. Καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ τῶν Γαβαωνιτῶν καὶ ἐξηλίασαν αὐτοὺς ἐν τῷ ὄρει ἔναντι Κυρίου. Καὶ ἔπεσον ἐκεῖ οἱ ἑπτὰ ἐπιτοαυτὸ καὶ ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ, ἐν ἀρχῇ θερισμοῦ κριθῶν».

Ποῦ κατὰ τὴν ἱστορίαν εὑρίσκομεν ὡς ἠφάνισαν τὸν Σαοὺλ οἱ Γαβαωνῖται, τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ, τοῦ υἱοῦ Ἰωνάθαν υἱοῦ Σαοὺλ Μαριβαὰλ παρὰ τῷ βασιλεῖ Δαβὶδ διασωθέντος καὶ ἄλλων πολλῶν τῆς συγγενείας Σαούλ, ὡς ἐν τῇ βίβλῳ φέρεται τῶν Παραλειπομένων; Πῶς δὲ τοὺς ἐκ τοῦ σπέρματος αὐτοῦ λαβόντες ἑπτὰ ἄνδρας, «αὐτόν», εἶπον, «ἀφανίσομεν, τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ», πρὸ τούτου πολλοὺς ἀποθανόντα χρόνους; Ἀλλ', ὡς ἔοικε, παρεμίγη τῷ ῥητῷ τῆς ἱστορίας τὸ παράλογον, ἵνα τὸ τῆς διανοίας ἀληθὲς τῶν γεγραμμένων ζητήσωμεν. Οὐκοῦν, τὸν σωματικὸν νοῦν τῆς Γραφῆς, τουτέστι τὸν Σαούλ, ἀφανίζει παντελῶς ἐκ παντὸς ὁρίου Ἰσραήλ, ὁ πράξει διὰ τῆς φυσικῆς θεωρίας, ὡς διά τινων Γαβαωνιτῶν, ἀποκτένων τὴν γεννωμένην ἐκ τοῦ γραπτοῦ νόμου πρὸς τὴν ἄστατον ὕλην καὶ ῥέουσαν τῇ ψυχῇ, φιλήδονον σχέσιν καὶ φιλοσώματον, κατασφάττων ὡς τέκνα τοῦ Σαοὺλ καὶ ἔκγονα, τὴν χαμαίζηλον τοῦ νόμου διάνοιαν, διὰ μέσης τῆς φυσικῆς θεωρίας, ὡς ἐν ὄρει τῷ ὕψει τῆς γνώσεως, καὶ φανερὰν ποιούμενος ἐνώπιον Κυρίου, δι' ἐξομολογήσεως δηλαδή, τὴν πρὸς σῶμα τοῦ νόμου προτέραν ἐκδοχήν.

Τοῦτο γὰρ «ἐξηλιάσαι» νοεῖσθαι δύναται τοῖς φιλομαθέσιν ἔναντι Κυρίου, εἰς φῶς ἀγαγόντες, διὰ τῆς γνώσεως δηλαδή[27]*, τὴν κατὰ τὸ γράμμα πεπλανημένην τοῦ νόμου πρόληψιν. Πᾶς*

παλλακῆς τοῦ Σαούλ, τὸν Ἑρμονθὶ καὶ τὸν Μεμφιβοσθὲ καὶ τοὺς πέντε υἱοὺς τῆς Μερὼβ τῆς κόρης τοῦ Σαούλ, ποὺ γέννησε γιὰ τὸν Ἐσδριήλ. Καὶ τοὺς παρέδωσε στὰ χέρια τῶν Γαβαωνιτῶν καὶ τοὺς κρέμασαν ἐκτεθειμένους στὸν ἥλιο ἐνώπιον τοῦ Κυρίου. Καὶ ἔπεσαν ἐκεῖ στὸ σημεῖο αὐτὸ ὅλοι μαζὶ καὶ θανατώθηκαν στὴν ἐποχὴ τοῦ θερισμοῦ, ὅταν ἄρχισαν νὰ θερίζουν τὰ κριθάρια»[8].

Σὲ ποιό σημεῖο κατὰ τὴν ἱστορία βρίσκομε ὅτι ἀφάνισαν οἱ Γαβαωνῖτες τὸν Σαούλ, ὥστε νὰ μὴ σταθεῖ πουθενὰ μέσα στὰ ὅρια τοῦ Ἰσραήλ[9], τὴ στιγμὴ ποὺ ὁ Μαριβαὰλ υἱὸς τοῦ Ἰωνάθαν, ἐγγονὸς τοῦ Σαούλ, διασώθηκε κοντὰ στὸ βασιλιὰ Δαβὶδ κι ἄλλοι πολλοὶ συγγενεῖς τοῦ Σαοὺλ ὅπως ἀναφέρεται στὸ βιβλίο τῶν Παραλειπομένων[10]; Καὶ πῶς ἀφοῦ πῆραν ἑφτὰ ἄνδρες ἀπὸ τὴ γενιά του εἶπαν «θὰ τὸν ἀφανίσομε, ὥστε νὰ μὴ σταθεῖ πουθενὰ μέσα στὰ ὅρια τοῦ Ἰσραήλ», ἐνῶ εἶχε πεθάνει πολλὰ χρόνια πρίν; Ὅπως φαίνεται, στὸ κείμενο τῆς ἱστορίας ἀναμίχθηκε τὸ παράλογο, γιὰ νὰ ἀναζητήσομε τὸ ἀληθινὸ νόημα ὅσων γράφονται. Τὸ σωματικὸ λοιπὸν νόημα τῆς Γραφῆς, δηλαδὴ τὸ Σαούλ, τὸν ἀφανίζει τελείως ἀπὸ κάθε σημεῖο τῶν ὁρίων τοῦ Ἰσραήλ, ὅποιος στὴν πράξη μὲ τὴ φυσικὴ θεωρία, σὰν μὲ κάποιους Γαβαωνῖτες, θανατώνει τὴ φιλήδονη καὶ φιλοσώματη σχέση πρὸς τὴν ἄστατη καὶ ρέουσα ὕλη ποὺ γεννιέται στὴν ψυχὴ ἀπὸ τὸ γραπτὸ νόμο, σφάζει σὰν παιδιὰ καὶ ἀπογόνους τοῦ Σαούλ, τὸ πνεῦμα τοῦ νόμου ποὺ εἶναι προσκολλημένο στὰ γήινα, μέσω τῆς φυσικῆς θεωρίας, ὅπως στὸ ὄρος, στὸ ὕψος τῆς γνώσης, καὶ φανερώνει μπροστὰ στὸν Κύριο, μὲ τὴν ἐξομολόγηση δηλαδή, τὴν προηγούμενη ἑρμηνεία τοῦ νόμου τοῦ σώματος.

Ἔτσι μποροῦν νὰ ἐννοήσουν τὸ «θὰ τοὺς κρεμάσομε ἐκτεθειμένους στὸν ἥλιο μπροστὰ στὸν Κύριο» ὅσοι εἶναι φιλομαθεῖς· ἤτοι θὰ φέρομε στὸ φῶς, μὲ τὴ γνώση δηλαδή, τὴν πεπλα-

8. Β΄ Βασ. 21,2–9. 9. Β΄ Βασ. 21,7. 10. Α΄ Παραλ. 12,2.

γὰρ ἀποκτείνας τὴν σωματικὴν τοῦ νόμου διάνοιαν, τὸ γράμμα τοῦ νόμου σαφῶς ἀπέκτεινε καὶ ἠφάνισε, «τοῦ μὴ ἑστάναι ἐν παντὶ ὁρίῳ Ἰσραήλ»[28]*, τουτέστιν ἐν παντὶ λόγῳ πνευματικῆς θεωρίας. Εἰ γὰρ Ἰσραὴλ 'νοῦς ὁρῶν Θεὸν' ἑρμηνεύεται, δῆλον ὡς τὸ σωματικὸν τοῦ νόμου καθάπαξ ἐν οὐδενὶ τρόπῳ πνευματικῆς θεωρίας ὑφέστηκε, τοῖς τὸ πνεῦμα προτιμῶσι τοῦ γράμματος· εἴπερ «Πνεῦμα», κατὰ τὸ γεγραμμένον, ἐστὶν ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν», ἀλλ' οὐ γράμματι. «Τὸ γράμμα γὰρ ἀποκτένει, τὸ δὲ πνεῦμα ζωοποιεῖ». Διὸ χρὴ τὸ ἀποκτένειν πεφυκός, ἀποκτένεσθαι πνεύματι ζωοποιῷ. Συνυπάρχειν γὰρ κατ' ἐνέργειαν ἀλλήλοις ἅμα κατὰ τὸ αὐτὸ τὸ σωματικὸν τοῦ νόμου καὶ τὸ θεῖον*[29]*, ἤγουν τὸ γράμμα καὶ τὸ πνεῦμα, παντελῶς ἀμήχανον, ὅτι μηδὲ συμφωνεῖν πέφυκε τῷ παρεχομένῳ κατὰ φύσιν ζωήν, τὸ ταύτην ἀφαιρεῖσθαι δυνάμενον.*

Οὐκοῦν κατὰ μὲν τὴν ἱστορίαν τοῦτον λαμβάνοντες τὸν τόπον, οὐχ εὑρίσκομεν τὴν Γραφὴν ἀληθεύουσαν. Ποῦ γὰρ ἠφάνισαν οἱ Γαβαωνῖται τὸν Σαοὺλ παντὸς ὁρίου Ἰσραήλ, πολλῆς μετὰ τοῦτο συγγενείας εὑρισκομένης ἐν τῷ λαῷ; Κατὰ δὲ τὴν θεωρίαν νοοῦντες σαφῶς εὑρίσκομεν, ὅτι διὰ μέσης τῆς φυσικῆς θεωρίας, ἐν τῷ ὕψει τῆς γνώσεως, ὁ γραπτὸς παντελῶς ἀπογίνεται νόμος, ἤγουν ὁ σωματικὸς ἐν τοῖς συμβόλοις κατὰ τὴν λατρείαν θεσμός. Ποῦ γὰρ ἔτι στήσεται περιτομὴ σαρκός, νοουμένου τοῦ νόμου πνευματικῶς; Ποῦ τὰ Σάββατα καὶ τῶν μηνῶν αἱ ἀρχαί; Ποῦ τῶν ἑορτῶν αἱ πανηγύρεις; Ποῦ τῶν θυσιῶν καὶ τῆς ἀργίας τῆς γῆς καὶ τῆς λοιπῆς τοῦ νόμου κατὰ τὴν σωματικὴν λατρείαν ἡ παράδοσις; Οἴδαμεν γὰρ φυσικῶς ἐπι-

νημένη ἰδέα τοῦ νόμου κατὰ τὸ γράμμα. Καθένας δηλαδὴ ποὺ σκοτώνει τὸ σωματικὸ νόημα τοῦ νόμου, σκότωσε σαφῶς κι ἀφάνισε τὸ γράμμα τοῦ νόμου, ὥστε «νὰ μὴ σταθεῖ σὲ κανένα σημεῖο τῆς περιοχῆς τοῦ Ἰσραήλ», δηλαδὴ σὲ κανένα λόγο τῆς πνευματικῆς θεωρίας. Ἂν δηλαδὴ Ἰσραὴλ ἑρμηνεύεται νοῦς ποὺ βλέπει, εἶναι φανερὸ ὅτι τὸ σωματικὸ στοιχεῖο τοῦ νόμου δὲν ὑπάρχει συνολικὰ σὲ κανένα τρόπο πνευματικῆς θεωρίας γιὰ ὅσους προτιμοῦν τὸ πνεῦμα ἀπὸ τὸ γράμμα, ἀφοῦ «ὁ Θεὸς εἶναι πνεῦμα», ὅπως ἔχει γραφεῖ, «καὶ ὅσοι τὸν λατρεύουν πρέπει νὰ τοῦ προσφέρουν λατρεία πνευματικὴ κι ἀληθινή»[11] καὶ ὄχι λατρεία μὲ τὸ γράμμα. Γιατὶ «τὸ γράμμα σκοτώνει, ἐνῶ τὸ πνεῦμα δίνει ζωή»[12]. Γι' αὐτὸ πρέπει αὐτὸ ποὺ ἀπὸ τὴ φύση του σκοτώνει νὰ θανατώνεται ἀπὸ τὸ ζωοποιὸ πνεῦμα. Γιατὶ εἶναι τελείως ἀδύνατο νὰ συνυπάρχουν στὴν πράξη ταυτόχρονα τὸ σωματικὸ καὶ τὸ θεῖο στοιχεῖο τοῦ νόμου, δηλαδὴ τὸ γράμμα καὶ τὸ πνεῦμα, ὅπως οὔτε εἶναι φυσικὸ νὰ συμφωνεῖ μ' ἐκεῖνο ποὺ παρέχει ἀπὸ τὴ φύση του ζωὴ αὐτὸ ποὺ ἔχει τὴ δύναμη νὰ τὴν ἀφαιρεῖ.

Ἂν λοιπὸν ἐξετάσομε τὸ σημεῖο αὐτὸ ἀπὸ τὴν ἱστορικὴ ἄποψη, δὲ βρίσκομε ν' ἀληθεύει ἡ Γραφή. Ποῦ ἀφάνισαν οἱ Γαβαωνῖτες τὸ Σαοὺλ ἔξω ἀπὸ κάθε ὅριο τοῦ Ἰσραήλ, ἀφοῦ ἔπειτα ἀπὸ τὸ γεγονὸς αὐτὸ ὑπάρχουν πολλοὶ συγγενεῖς του μέσα στὸ λαό; Ἂν τὸ ἐξετάσομε ὅμως μεταφορικά, βρίσκομε σαφῶς ὅτι μέσω τῆς φυσικῆς θεωρίας στὸ ὕψος τῆς γνώσης ἀπωθεῖται τελείως ὁ γραπτὸς νόμος, δηλαδὴ ὁ σωματικὸς θεσμὸς τῆς λατρείας μὲ σύμβολα. Ποῦ δηλαδὴ θὰ σταθεῖ ἀκόμα ἡ περιτομὴ τῆς σάρκας, ἂν κατανοήσομε τὸ νόμο πνευματικά; Ποῦ θὰ σταθοῦν τὰ Σάββατα καὶ οἱ πρωτομηνιές, ποῦ οἱ ἑορταστικὲς συγκεντρώσεις τοῦ λαοῦ, ποῦ ἡ παράδοση τῶν θυσιῶν, τῆς ἀνάπαυσης τῶν χωραφιῶν κι ὅλα τὰ ὑπόλοιπα νομικὰ τῆς σωματικῆς λατρείας; Γνωρίζομε βέβαια ὅτι ἂν προσεγγίσομε τὰ

11. Ἰω. 4,24. 12. Β' Κορ. 3,7.

βάλλοντες τοῖς πράγμασιν[30], ὡς οὐκ ἔστι τελειότης ἡ τῆς ἐκ Θεοῦ κατὰ φύσιν ἀρτιότητος περιαίρεσις. Οὐ γὰρ ποιεῖ τελειότητα φύσις διὰ τέχνης κολοβουμένη καὶ διὰ περινοίας ἀποτιθεμένη τὸ προσὸν αὐτῇ θεόθεν κατὰ λόγον δημιουργίας, ἵνα μὴ τὴν τέχνην Θεοῦ πρὸς βεβαίωσιν δικαιοσύνης ἰσχυροτέραν εἰσαγάγωμεν καὶ τὴν περινενοημένην τῆς φύσεως ἔλλειψιν ἀναπληρωτικὴν ποιώμεθα τῆς ἐν δικαιοσύνῃ κατὰ τὴν δημιουργίαν ἐλλείψεως, ἀλλ' ἐκ τῆς τυπικῆς τοῦ περιτεμνομένου μυρίου θέσεως διδασκόμεθα ποιεῖσθαι γνωστικῶς τὴν περιτομὴν τῆς κατὰ ψυχὴν ἐμπαθοῦς διαθέσεως, καθ' ἣν μᾶλλον τῇ φύσει συντρέχει ἡ γνώμη ρυθμίζεται, τὸν ἐμπαθῆ τῆς ἐπικτήτου γενέσεως νόμον διορθουμένη.

Περιτομὴ γάρ ἐστι μυστικὴ[31] τῆς ἐμπαθοῦς κατὰ νοῦν περὶ τὴν ἐπείσακτον γένεσιν σχέσεως παντελὴς περιαίρεσις. Τὸ δὲ Σάββατον[32] τελεία παθῶν ἐστιν ἀπραξία καὶ τῆς περὶ τὰ πεποιημένα καθολικὴ τοῦ νοῦ παῦλα κινήσεως, καὶ πρὸς τὸ θεῖον τελεία διάβασις, ἐν ᾧ τὸν δι' ἀρετῆς καὶ γνώσεως κατὰ τὸ θεμιτὸν ἀφικόμενον, οὐ δεῖ καθάπερ ξύλα τὴν οἱανοῦν παντελῶς ὕλην ἐξαπτικὴν ἐνθυμεῖσθαι παθῶν, οὔτε μὴν φύσεως τὸ παράπαν ἀναλέγεσθαι λόγους, ἵνα μή, πάθεσιν ἡδόμενον ἢ φύσεως ὅροις μετρούμενον, κατὰ τοὺς Ἕλληνας τὸν Θεὸν δογματίζωμεν, ὅνπερ ἡ τελεία μόνη κέκγραγε σιγὴ[33] καὶ ἡ παντελὴς καθ' ὑπεροχὴν ἀγνωσία παρίστησι. Τὰς δὲ νεομηνίας εἶναί φαμεν[34] τοὺς ἐν τῷ δρόμῳ τῶν κατ' ἀρετὴν καὶ γνῶσιν ἡμερῶν διαφόρους φωτισμούς, οἷς προτροπάδην ἅπαντας ἐνθέοντες τοὺς αἰῶνας, τὸν δεκτὸν ἐνιαυτὸν τοῦ Κυρίου πληροῦμεν, «τῷ τῆς χρηστότητος στεφάνῳ» κοσμούμενον. Στέφανος δὲ χρηστότητός ἐστι[35] πίστις καθαρὰ λίθων τιμίων δίκην, ταῖς τῶν δογμάτων ὑψηγορίαις καὶ λόγοις διηνθισμένη πνευματικοῖς καὶ νοήμασι, τὸν θεοφιλῆ καθάπερ κεφαλὴν διασφίγγουσα νοῦν. Ἢ μᾶλλον στέφανος πάλιν χρηστότητός ἐστιν[36] αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ τῇ ποικιλίᾳ τῶν κατὰ πρόνοιαν καὶ κρίσιν τρό-

13. Ἀριθ. 15,32. 14. Ἠσ. 58,5.

πράγματα φυσικά, δὲν εἶναι τελειότητα ἡ κολόβωση τῆς δοσμένης ἀπὸ τὸ Θεὸ ἀρτιότητας τῆς φύσης μας. Γιατὶ δὲν ἀποτελεῖ τελειότητα ἡ φύση ποὺ κολοβώνεται ἀπὸ τὴν τέχνη καὶ μὲ κάποια ἐπινόηση ἀποθέτει ὅ,τι ἔλαβε ἀπὸ τὸ Θεὸ κατὰ τὴ δημιουργία, γιὰ νὰ μὴν παρουσιάσομε τὴν τέχνη ἰσχυρότερη ἀπὸ τὸ Θεὸ πρὸς βεβαίωση τῆς δικαιοσύνης, καὶ τὴν ἔλλειψη τῆς φύσης σὰν ἀποτέλεσμα ἐφευρικότητας τὴν προκαλέσομε γιὰ νὰ ἀναπληρώσομε τὴ δίκαιη κατὰ τὴ δημιουργία ἔλλειψη, ἀλλὰ ἀπὸ τὴν τυπικὴ χρήση τοῦ μέλους ποὺ περιτέμνεται διδασκόμαστε νὰ κάνομε μὲ γνώση τὴν περιτομὴ τῆς ἐμπαθοῦς ψυχικῆς διάθεσης, σύμφωνα μὲ τὴν ὁποία ρυθμίζεται νὰ συντρέχει μᾶλλον ἡ γνώμη μὲ τὴ φύση ἐπανορθώνοντας τὸν ἐμπαθὴ νόμο τῆς ἐπίκτητης γένεσης.

Γιατὶ περιτομὴ εἶναι ἡ τέλεια ἀφαίρεση τῆς ἐμπαθοῦς σχέσεως τοῦ νοῦ μὲ τὴν ἐπείσακτη γένεση. Ἐνῶ τὸ Σάββατο εἶναι τέλεια ἀπραξία παθῶν καὶ καθολικὴ παύλα τῆς κίνησης τοῦ νοῦ σχετικὰ μὲ ὅσα ἔχουν γίνει καὶ ἡ τέλεια μετάβαση πρὸς τὸ θεῖο, στὸ ὁποῖο ὅταν φτάσει κατὰ τὸ θεμιτὸ ὅποιος ἀσκεῖ τὴν ἀρετὴ καὶ τὴ γνώση, δὲν πρέπει νὰ βάζει στὸ νοῦ του καθόλου τὴν ὁποιαδήποτε ὕλη ποὺ συντελεῖ, ὅπως τὰ ξύλα[13], στὸ ἄναμμα τῶν παθῶν, οὔτε βέβαια νὰ κάνει ἀπολύτως κανένα ἀναλογισμὸ τῶν λόγων τῆς φύσης, γιὰ νὰ μὴ δογματίζομε, σύμφωνα μὲ τοὺς Ἕλληνες, ὅτι ὁ Θεὸς εὐχαριστεῖται μὲ τὰ πάθη ἢ μετριέται μὲ τοὺς ὅρους τῆς φύσης, αὐτὸ ποὺ μόνο ἡ τέλεια σιγὴ τὸν καλεῖ καὶ τὸν παριστάνει ἡ πλήρης καθ' ὑπεροχὴ ἀγνωσία. Οἱ πρωτομηνιὲς λέμε πὼς εἶναι οἱ διάφοροι φωτισμοὶ στὸ πέρασμα τῶν ἡμερῶν μὲ ἀρετὴ καὶ γνώση, μὲ τοὺς ὁποίους, τρέχοντας ολοταχῶς ὅλους τοὺς αἰῶνες, ὁλοκληρώνομε τὸν ἀποδεκτὸ ἐνιαυτὸ τοῦ Κυρίου[14] στολισμένο «μὲ τὸ στεφάνι τῆς χρηστότητας». Στεφάνι τῆς χρηστότητας εἶναι πίστη καθαρή, ὅμοια μὲ πολύτιμους λίθους, διανθισμένη μὲ λόγους πνευματικοὺς καὶ νοήματα, πού σὰν τὸ κεφάλι, δένει τὸν θεοφιλὴ νοῦ. Ἢ καλύτερα στεφάνι χρηστότητας εἶναι ὁ ἴδιος ὁ λόγος τοῦ Θεοῦ, ποὺ μὲ τὴν ποι-

πων, ἤγουν ἐγκρατείᾳ τῶν ἑκουσίων[37] καὶ ὑπομονῇ τῶν ἀκουσίων παθῶν, ὡς κεφαλὴν τὸν νοῦν περιγράφων καὶ τῇ μετοχῇ τῆς κατὰ τὴν θέωσιν χάριτος αὐτὸς ἑαυτοῦ τὸν νοῦν ποιῶν ὡραιότερον.

Τῶν ἑορτῶν δὲ τὴν μὲν πρώτην[38] πρακτικῆς εἶναι φιλοσοφίας σύμβολον, πρὸς ἀρετὴν ὡς ἀπ᾽ Αἰγύπτου τῆς ἁμαρτίας τοὺς ὑπ᾽ αὐτῆς κρατουμένους διαβιβάζουσαν, τὴν δὲ δευτέραν[39] τῆς ἐν πνεύματι φυσικῆς τύπον ὑπάρχειν θεωρίας, τὴν περὶ τὸν ὄντων εὐσεβῆ δόξαν, ὡς ἀπαρχὴν θέρους τῷ Θεῷ προσκομίζουσαν, τὴν δὲ τρίτην θεολογίας εἶναι μυστήριον[40], τὴν πάντων τῶν ἐν τοῖς γεγονόσι πνευματικῶν λόγων γνωστικὴν ἕξιν καὶ τὴν κατ᾽ οἰκονομίαν τοῦ σαρκωθέντος Λόγου παντελῆ διὰ τῆς χάριτος ἀναμαρτησίαν καὶ τὴν ἐπ᾽ αὐταῖς ἐν τῷ ἀγαθῷ τελείαν καὶ ἀθάνατον ἀτρεψίαν περιέχουσα, ὡς σαλπίγγων καὶ ἱλασμοῦ καὶ σκηνοπηγίας ποιητικήν.

Ταύτην ἔχω τέως κατὰ μίαν ἐπιβολὴν ἐκ τῆς τῶν ἡμερῶν τιμῆς τὴν ὑπόνοιαν. Οὐ γὰρ δὴ τιμᾶσθαι θέλων ὁ Θεὸς ἡμέρας ὑπὸ τῶν ἀνθρώπων, προσέταξε τιμηθῆναι τό τε Σάββατον καὶ τὰς νεομηνίας καὶ τὰς ἑορτάς. Οὕτω γὰρ ἂν λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα κατὰ νόμον ἐντολῆς ἐξεδίδαξεν[41], οἰομένους σεπτὰς εἶναι φύσει τὰς ἡμέρας, καὶ διὰ τοῦτο προσκυνητάς, ἀλλ᾽ ἑαυτὸν τιμᾶσθαι συμβολικῶς διὰ τῶν ἡμερῶν παρεδήλωσεν. Αὐτὸς γάρ ἐστι Σάββατον μὲν[42] ὡς τῶν ἐν σαρκὶ τῆς ψυχῆς μόχθων ἀνάπαυσις καὶ τῶν κατὰ δικαιοσύνην πόνων κατάπαυσις, Πάσχα δὲ[43] ὡς ἐλευθερωτὴς τῶν τῇ πικρᾷ δουλείᾳ κεκρατημένων τῆς ἁμαρτίας, Πεντηκοστὴ δὲ[44] ὡς ἀρχὴ καὶ τέλος τῶν ὄντων καὶ λόγος, ᾧ τὰ πάντα φύσει συνέστηκεν. Εἰ γὰρ μετὰ τὴν εἰς ἑαυτὴν ἑβδοματικὴν τῆς ἑβδομάδος περίοδόν ἐστιν ἡ Πεντηκοστή, πενταδικὴ δὲ σαφῶς ὑπάρχει

κιλία τῶν τρόπων πρόνοιας καὶ κρίσης, δηλαδὴ μὲ τὴν ἐγκράτεια τῶν ἑκούσιων καὶ μὲ τὴν ὑπομονὴ τῶν ἀκούσιων παθῶν περιδένει, σὰν τὸ κεφάλι, τὸ νοῦ καὶ μὲ τὴ μετοχὴ τῆς χάριτος τῆς θέωσης κάνει αὐτὸς ὁ ἴδιος τὸ δικό του νοῦ ὡραιότερο.

Ἀπὸ τὶς ἑορτές, ἡ πρώτη εἶναι σύμβολο τῆς πρακτικῆς φιλοσοφίας, ποὺ διαβιβάζει πρὸς τὴν ἀρετή, σὰν ἀπὸ τὴν Αἴγυπτο, ἀπὸ τὴν ἁμαρτία ὅσους κρατιοῦνται ἀπὸ αὐτήν. Ἡ δεύτερη εἶναι τύπος τῆς πνευματικῆς φυσικῆς θεωρίας ποὺ προσκομίζει στὸ Θεὸ τὴν εὐσεβὴ ἀντίληψη γιὰ τὰ ὄντα ὡς ἀπαρχὴ τοῦ θέρους. Ἡ τρίτη εἶναι τὸ μυστήριο τῆς θεολογίας, ποὺ περιέχει ἡ γνωστικὴ κτήση ὅλων τῶν πνευματικῶν λόγων ποὺ ὑπάρχουν στὰ δημιουργήματα καὶ τὴν τέλεια ἀναμαρτησία τοῦ Λόγου ποὺ ἀπὸ θεία χάρη κατ' οἰκονομία σαρκώθηκε, καθὼς καὶ τὴν τέλεια καὶ ἀθάνατη ἐξαιτίας τους ἀτρεψία στὸ ἀγαθό, ἐπειδὴ δημιουργεῖ τὶς σάλπιγγες καὶ τὸν ἱλασμὸ καὶ τὴ σκηνοπηγία.

Αὐτὴν τὴν γνώμη ἔχω σχηματίσει κατὰ μία ἑρμηνεία ἀπὸ τὴν τιμὴ ποὺ ἀπονέμεται στὶς μέρες. Δὲν πρόσταξε δηλαδὴ ὁ Θεὸς νὰ τιμηθεῖ τὸ Σάββατο καὶ οἱ πρωτομηνιὲς καὶ οἱ ἑορτὲς θέλοντας νὰ τιμοῦν οἱ ἄνθρωποι τὶς ἡμέρες. Γιατὶ ἔτσι θὰ μᾶς εἶχε διδάξει νὰ λατρεύομε τὴν κτίση κι ὄχι τὸν δημιουργό[15], σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ νόμου, νομίζοντας πὼς οἱ ἡμέρες εἶναι σεβαστὲς ἀπὸ τὴ φύση τους καὶ γι' αὐτὸ πρέπει νὰ τὶς προσκυνοῦμε, ἀλλὰ δήλωσε μ' αὐτὸ συμβολικὰ νὰ τιμοῦμε ἐκεῖνον μέσω τῶν ἡμερῶν. Γιατὶ αὐτὸς εἶναι Σάββατο, ἐπειδὴ εἶναι ἡ ἀνάπαυση τῶν σαρκικῶν μόχθων τῆς ψυχῆς καὶ τὸ σταμάτημα τῶν κόπων γιὰ δικαιοσύνη. Εἶναι Πάσχα ὡς ἐλευθερωτὴς ὅσων κρατοῦνται στὴν πικρὴ δουλεία τῆς ἁμαρτίας. Εἶναι Πεντηκοστή, ὡς ἀρχὴ καὶ τέλος τῶν ὄντων καὶ Λόγος μὲ τὸν ὁποῖο τὰ πάντα ἔλαβαν φυσικῶς τὴν ὕπαρξή τους. Ἂν δηλαδὴ ἡ Πεντηκοστὴ εἶναι μετὰ τὸ διάστημα τῆς ἕβδομης ἑβδομάδας καὶ ἡ Πεντηκοστὴ εἶναι ἡ πέμπτη δεκάδα, εἶναι λοιπὸν ὁλοφά-

15. Ρωμ. 1,25.

δεκὰς ἡ Πεντηκοστή, προδήλως ἄρα τῶν ὄντων ἡ φύσις κατὰ τὸν ἑαυτῆς λόγον ὑπάρχουσα πενταδικὴ διὰ τὰς αἰσθήσεις, μετὰ τὴν φυσικὴν τοῦ χρόνου καὶ τῶν αἰώνων διάβασιν ἐν τῷ Θεῷ ἔσται, τῷ κατὰ φύσιν ἑνί, μὴ δεχομένῃ πέρας, ἐν ᾧ παντελῶς οὐκ ἔστι διάστασις.

Φασὶ γάρ τινες εἶναι μονάδα τὸν λόγον, ὡς πρόνοιαν κατὰ πρόοδον τῇ δεκάδι τῶν ἐντολῶν πλατυνόμενον. Ὁπηνίκα δὲ συναφθῇ τῷ λόγῳ κατὰ χάριν ἡ φύσις, οὐκ ἔσται τὰ 'ὧν οὐκ ἄνευ', τῆς τῶν φύσει κινουμένων ἀλλοιωτικῆς ἀπογενομένης κινήσεως. Δεῖ γὰρ τὴν πεπερασμένην στάσιν, ἐν ᾗ γίνεσθαι πέφυκεν ἐξ ἀνάγκης κατ' ἀλλοίωσιν τῶν κινουμένων ἡ κίνησις, δέξασθαι τέλος τῇ παρουσίᾳ τῆς ἀπεράντου στάσεως, ἐν ᾗ παύεσθαι πέφυκε τῶν κινουμένων ἡ κίνησις. Ἐν ᾧ γὰρ πέρας κατὰ φύσιν ἐστί, καὶ ἀλλοιωτικὴν πάντως ἡ τῶν ἐν αὐτῷ καθέστηκε κίνησις, ἐν ᾧ δὲ πέρας κατὰ φύσιν οὐκ ἔστιν, οὐδεμία παντελῶς ἀλλοιωτικὴ τῶν ἐν αὐτῷ γνωσθήσεται κίνησις. Οὐκοῦν ὁ μὲν κόσμος τόπος ἐστὶ πεπερασμένος καὶ στάσις περιγεγραμμένη, ὁ δὲ χρόνος περιγραφομένη καθέστηκεν ἡ κατὰ τὴν ζωὴν κίνησις.

Ὁπηνίκα δὲ τὸν τόπον διελθοῦσα καὶ τὸν χρόνον κατ' ἐνέργειάν τε καὶ ἔννοιαν ἡ φύσις (ἤγουν τὰ 'ὧν οὐκ ἄνευ', τουτέστι τὴν πεπερασμένην στάσιν καὶ κίνησιν), ἀμέσως συναφθῇ τῇ προνοίᾳ, λόγον εὑρίσκει τὴν πρόνοιαν κατὰ φύσιν ἁπλοῦν καὶ στάσιμον καὶ μηδεμίαν ἔχοντα πάντῃ περιγραφὴν καὶ διὰ τοῦτο παντελῶς οὔτε κίνησιν. Διόπερ ἐν μὲν τῷ κόσμῳ ὑπάρχουσα χρονικῶς ἡ φύσις ἀλλοιωτικὴν ἔχει τὴν κίνησιν, διὰ τὴν τοῦ κόσμου πεπερασμένην στάσιν καὶ τὴν καθ' ἑτεροίωσιν τοῦ χρόνου φθοράν, ἐν δὲ τῷ Θεῷ γινομένη, διὰ τὴν φυσικὴν τοῦ ἐν ᾧ γέγονε μονάδα, στάσιν ἀεικίνητον ἕξει καὶ στάσιμον ταυτοκινησίαν, περὶ τὸ ταυτὸν καὶ ἓν καὶ μόνον ἀϊδίως γινομένην, ἣν

νερο ὅτι ἡ φύση τῶν ὄντων μὲ τὸ νὰ εἶναι κατὰ τὸ ὄνομά της πενταδικὴ ἐξαιτίας τῶν αἰσθήσεων ἔπειτα ἀπὸ τὸ φυσικὸ πέρασμα τοῦ χρόνου καὶ τῶν αἰώνων, θὰ εἶναι χωρὶς νὰ ἐπιδέχεται πέρας μέσα στὸ Θεό, ποὺ εἶναι κατὰ τὴ φύση του ἕνας, καὶ δὲν ὑπάρχει σ' αὐτὸν καμμιὰ ἀπολύτως διάσταση.

Μερικοὶ λένε πὼς ὁ Λόγος εἶναι μονάδα ποὺ πλατύνεται προοδευτικὰ σὰν πρόνοια στὶς δέκα ἐντολές. Ὅταν ὅμως συναφθεῖ κατὰ χάρη ἡ φύση μὲ τὸ Λόγο, δὲ θὰ ὑπάρχουν τὰ 'χωρὶς τὰ ὁποῖα', ἀφοῦ θὰ σταματήσει ἡ ἀλλοιωτικὴ κίνηση ὅσων κινοῦνται ἀπὸ τὴ φύση τους. Γιατὶ πρέπει ἡ στάση ποὺ ὁλοκληρώθηκε, στὴν ὁποία καταλήγει φυσικῶς ἡ κίνηση ἐκείνων ποὺ κατ' ἀνάγκη κινοῦνται μεταβαλλόμενα, νὰ δεχτεῖ τέλος μέσα στὴν παρουσία τῆς ἀπέραντης στάσης, στὴν ὁποία εἶναι φυσικὸ νὰ σταματᾶ ἡ κίνηση ὅσων κινοῦνται. Γιατὶ σὲ ὅποιο ὑπάρχει κατὰ φύση πέρας, σ' αὐτὸ ὁπωσδήποτε ὑπάρχει κίνηση ἀλλοιωτικὴ ἐκείνων ποὺ εἶναι μέσα του· σ' ὅποιο ὅμως δὲν ὑπάρχει κατὰ φύση πέρας, δὲ θὰ συναντήσομε σ' αὐτὸ καμμιὰ γενικὰ κίνηση ποὺ μεταβάλλει τὰ μέσα σ' αὐτό. Ὁ κόσμος λοιπὸν εἶναι τόπος περιορισμένος καὶ στάση περιγραμμένη, ἐνῶ ὁ χρόνος εἶναι κίνηση ποὺ περιγράφεται ἀκόμη, γι' αὐτὸ καὶ εἶναι ἀλλοιωτικὴ ἡ κίνηση τῆς ζωῆς τῶν μέσα σ' αὐτόν.

Ὅταν ὅμως ἡ φύση περάσει τὸν τόπο καὶ τὸ χρόνο στὴν ἐνέργεια καὶ στὴ σκέψη (δηλαδὴ τὰ 'ὄχι χωρὶς αὐτά', ἤτοι τὴν πεπερασμένη στάση καὶ κίνηση) καὶ ἑνωθεῖ ἄμεσα μὲ τὴν πρόνοια, βρίσκει τὴν πρόνοια ὡς λόγο κατὰ φύση ἁπλὸ καὶ στάσιμο ποὺ δὲν περιγράφεται ἀπὸ τίποτε καὶ γι' αὐτὸ δὲν ἔχει οὔτε κίνηση. Γι' αὐτὸ τὸ λόγο ὅσο εἶναι ἡ φύση μέσα στὸν κόσμο χρονικά, ἔχει κίνηση ἀλλοιωτικὴ ἐξαιτίας τῆς τελειωμένης στάσης καὶ τῆς φθορᾶς ποὺ προκαλεῖ ὁ χρόνος μὲ τὴν ἀλλοιωτική του ἰδιότητα. Ὅταν ὅμως φτάσει στὸ Θεό, ἐπειδὴ αὐτὸς στὸν ὁποῖο ἔφτασε εἶναι ἀπὸ τὴ φύση του μονάδα, θὰ ἀποκτήσει στάση ἀεικίνητη καὶ στάσιμη ταυτοκινησία ποὺ θὰ γίνεται αἰώνια γύρω ἀπὸ τὸ ταυτὸ καὶ ἕνα καὶ μόνο, ποὺ ὁ λόγος τὴν

οἶδεν ὁ Λόγος ἄμεσον εἶναι περὶ τὸ πρῶτον αἴτιον τῶν ἐξ αὐτοῦ πεποιημένων μόνιμον ἵδρυσιν.

Πεντηκοστῆς οὖν ἐστι τὸ μυστήριον ἡ πρὸς τὴν πρόνοιαν ἄμεσος τῶν προνοουμένων ἕνωσις, ἤγουν ἡ πρὸς τὸν Λόγον κατὰ τὴν τῆς προνοίας ἐπίπνοιαν φύσεως ἕνωσις, καθ' ἣν οὐδεμία τὸ παράπαν ἐστὶν χρόνου καὶ γενέσεως ἔμφασις. Σάλπιγξ δὲ πάλιν[45] *ἡμῶν ἐστιν ὁ Λόγος, ὡς τὰς θείας καὶ ἀρρήτους ἡμῖν ἐνηχούμενος γνώσεις· ἱλασμὸς δὲ ὡς ἐν ἑαυτῷ τὰ ἡμέτερα, καθ' ἡμᾶς γενόμενος, διαλύων ἐγκλήματα καὶ τῇ δωρεᾷ τῆς χάριτος ἐν Πνεύματι τὴν ἁμαρτήσασαν φύσιν θεοποιῶν· σκηνοπηγία δὲ ὡς τῆς ἡμῶν κατὰ τὴν θεομίμητον ἕξιν περὶ τὸ καλὸν ἀτρεψίας πῆξις καὶ τῆς πρὸς ἀθανασίαν μεταποιήσεως συνεκτικὸς ὑπάρχων δεσμός.*

Σφαγαῖς δὲ ζώων ἀλόγων[46] *καὶ ραντισμοῖς αἱμάτων ἡδόμενον τὸν Θεὸν καὶ οἷον τῆς θεραπείας μισθὸν τὴν τῶν ἁμαρτημάτων παρεχόμενον τοῖς προσφέρουσιν ἄφεσιν, τῇ Γραφῇ φυσικῶς ἐπιβάλλοντες, οὐ πιστεύομεν, ἵνα μὴ Θεὸν ἐμπαθῆ λάθωμεν σέβοντες, ὡς ἐμπαθῶς ἐκείνων διὰ πολλῆς ἐφιέμενον τῆς σπουδῆς, περὶ ἃ καὶ ἀνθρώπους περιπαθῶς ἔχοντας ἂν θεωρήσωμεν, ὡς ἀκολάστους καὶ ἀκρατεῖς διαβάλλομεν. Θυσίας γὰρ πνευματικὰς εἶναι γινώσκομεν*[47] *οὐ μόνον τὴν τῶν παθῶν νέκρωσιν, σφαττομένων τῇ μαχαίρᾳ τοῦ Πνεύματος, ὅπερ ἐστὶ ρῆμα Θεοῦ καὶ πάσης τῆς ἐν σαρκὶ ζωῆς ὡς αἵματος τὴν κατὰ πρόθεσιν κίνησιν, ἀλλὰ καὶ τῶν κατὰ φιλοσοφίαν ἠθῶν καὶ πασῶν τῶν κατὰ φύσιν δυνάμεων προσαγωγή, ἀφιερουμένων Θεῷ καὶ τῷ πυρὶ τῆς ἐν Πνεύματι χάριτος πρὸς τὴν θείαν λῆξιν ὁλοκαυτουμένων.*

Οὕτως ἕκαστον τῶν ἐμφερομένων τῇ Γραφῇ συμβόλων φυσικῶς ἐποπτεύοντες, ὡς ἐν ὄρει τῷ ὕψει τῆς μυστικῆς θεω-

γνωρίζει σὰν ἄμεση μόνιμη σταθερότητα γύρω ἀπὸ τὸ πρῶτο αἴτιο ὅσων ἔχουν δημιουργηθεῖ ἀπὸ ἐκεῖνο.

Εἶναι λοιπὸν τὸ μυστήριο τῆς Πεντηκοστῆς ἡ ἄμεση ἕνωση μὲ τὴν πρόνοια ὅσων διευθετεῖ ἡ πρόνοια, δηλαδὴ ἡ ἕνωση τῆς φύσης μὲ τὸ Λόγο σύμφωνα μὲ τὴν ἐπινόηση τῆς πρόνοιας, στὴν ὁποία ἕνωση δὲν ὑπάρχει ἀπολύτως τίποτα ποὺ νὰ φανερώνει χρόνο καὶ γένεση. Σάλπιγγα πάλι εἶναι ὁ λόγος μας, ἐπειδὴ μεταφέρει στὴν ἀκοή μας τὶς θεῖες καὶ ἀνείπωτες γνώσεις. Ἱλασμὸς εἶναι, ἐπειδὴ διαλύει τὰ ἁμαρτήματά μας μὲ τὸν ἑαυτό του παίρνοντας τὴ δική μας φύση καὶ μὲ τὴν πνευματικὴ δωρεὰ τῆς χάριτος θεοποιεῖ τὴ φύση μας ποὺ ἁμάρτησε. Εἶναι ἀκόμα σκηνοπηγία, ἐπειδὴ εἶναι παγίωση τῆς ἀτρεψίας μας στὸ καλὸ κατὰ μίμηση τοῦ Θεοῦ καὶ δεσμὸς ποὺ μᾶς συγκρατεῖ στὴ μεταποίησή μας πρὸς τὴν ἀθανασία.

Ὅτι τώρα ὁ Θεὸς εὐχαριστιέται μὲ σφαγὲς ἄλογων ζώων καὶ ραντισμοὺς μὲ αἵματα καὶ μᾶς παρέχει κατὰ κάποιο τρόπο μισθὸ γιὰ τὴ λατρεία μας τὴν ἄφεση τῶν ἁμαρτημάτων, ἂν θεωρήσομε τὴ Γραφὴ μὲ φυσικὸ τρόπο δὲν τὸ πιστεύομε, γιὰ νὰ μὴ βρεθοῦμε κατὰ λάθος νὰ λατρεύομε ἐμπαθὴ Θεό, ἀφοῦ θὰ τὸν κάνομε νὰ ἐπιθυμεῖ σφοδρὰ καὶ μ' ἐμπάθεια πράγματα ποὺ ἂν δοῦμε καὶ τοὺς ἀνθρώπους νὰ τὰ ἐπιθυμοῦν μὲ πάθος, τοὺς κατηγοροῦμε ὡς ἀκόλαστους καὶ ἀκρατεῖς. Γιατὶ θυσίες πνευματικὲς δεχόμαστε ὄχι μόνο τὴ νέκρωση τῶν παθῶν, ὅταν τὰ σφάζομε μὲ τὸ μαχαίρι τοῦ Πνεύματος, ποὺ εἶναι ὁ λόγος τοῦ Θεοῦ[16], καθὼς καὶ τὴν κατὰ πρόθεση κίνηση ὅλης τῆς σαρκικῆς ζωῆς σὰ νά 'ναι αἷμα (τῆς θυσίας), ἀλλὰ καὶ τὴν προσφορὰ τῶν ἠθῶν τῆς εὐσεβοῦς ζωῆς καὶ ὅλων τῶν φυσικῶν δυνάμεων, ποὺ ἀφιερώνονται στὸ Θεὸ καὶ στὴ φωτιὰ τῆς χάριτος τοῦ Πνεύματος, καὶ γίνονται ὁλοκαύτωμα γιὰ τὴ θεία μακαριότητα.

Ἔτσι βλέποντας φυσικῶς καθένα ἀπὸ τὰ σύμβολα ποὺ ὑπάρχουν στὴ Γραφή, σὰν στὸ βουνό, στὸ ὕψος τῆς μυστικῆς

16. Ἐφ. 6,17.

ρίας, καθάπερ ἄνδρας ἑπτὰ τῶν υἱῶν Σαούλ, τὴν χρονικὴν ἀποκτένομεν καὶ πρόσκαιρον τοῦ νόμου παράδοσιν καὶ ἀφανίζομεν τὸν Σαούλ, τουτέστι τὸν ἐν μόνῳ τῷ ρητῷ τῆς Γραφῆς χοϊκὸν νοῦν, «τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ», τουτέστι τρόπῳ θεωρίας πνευματικῆς. Οὗτος γὰρ ζῶν ἐπ' ἀληθείας συντελεῖ καὶ διώκει[48] καὶ ἀπόλλυσι, σαρκὶ μόνῃ τὸν νόμον περιγράφων, τοὺς κατὰ φύσιν λόγους καὶ λογισμούς, τιμῶν ὡς θεῖα τὰ πάθη τῆς ἀτιμίας, ἅπερ οἱ κατὰ φύσιν λογισμοί, λαμβάνοντες ἄδειαν ὑπὸ τοῦ νόμου τοῦ Πνεύματος, ἀποκτένουσιν ἐπιτοαυτὸ καὶ θανατοῦσιν ἐν ἀρχῇ θερισμοῦ κριθῶν. Ἀρχὴ δὲ θερισμοῦ κριθῶν ἐστιν ἡ κατὰ τὴν πρακτικὴν φιλοσοφίαν μετά τινος συμμέτρου λόγου τῶν ἀρετῶν συλλογή, καθ' ἣν τὸ γεῶδες τῶν Γραφῶν ἀποκτένεσθαι πέφυκε καὶ πᾶν χοϊκὸν παντελῶς ἀφανίζεσθαι κίνημα. Ἅμα γάρ τις τὴν τῶν ἀρετῶν λογικῶς μετάλθοι φιλοσοφίαν[49], ἅμα καὶ τὴν τῶν Γραφῶν πρὸς τὸ Πνεῦμα φυσικῶς μετήνεγκεν ἐκδοχήν, ἐν καινότητι πνεύματος πρακτικῶς διὰ τῶν ὑψηλῶν θεωρημάτων τῷ Θεῷ λατρεύων, καὶ οὐ παλαιότητι γράμματος, διὰ τῆς κατ' αἴσθησιν πρὸς σῶμα ταπεινοτέρας τοῦ νόμου παραδοχῆς, τροφεὺς παθῶν κατὰ τοὺς Ἰουδαίους γινόμενος καὶ ἁμαρτίας θεραπευτής.

Πράξει γὰρ χρή, διὰ τῶν κατὰ φύσιν λογισμῶν, τὴν ἐμπαθῆ καὶ σωματικὴν τοῦ νόμου διάνοιαν διαχειρίζεσθαι, καθὼς ὁ τῆς Γραφῆς ὑφηγεῖται λόγος, φάσκων· «καὶ ἔλαβεν ὁ βασιλεὺς τοὺς δύο υἱοὺς Ρεσφᾶς θυγατρὸς Ἀΐα παλλακῆς τοῦ Σαούλ, τὸν Ἐρμονθὶ καὶ τὸν Μεμφιβοσθέ, καὶ τοὺς πέντε υἱοὺς τῆς Μερὼβ τῆς θυγατρὸς Σαούλ, οὓς ἔτεκε τῷ Ἐσδριήλ, καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ τῶν Γαβαωνιτῶν. Χείρ ἐστι τῶν Γαβαωνιτῶν[50] ἡ κατ' ἀρετὴν πρᾶξις τῶν φυσικῶν λογισμῶν, δι' ἧς υἱοὶ Ρεσφᾶς Ἐρμονθὶ καὶ Μεμφιβοσθέ, τουτέστιν ἡ ἐκ τῆς ἐν

θεωρίας, θανατώνομε, σὰν ἑφτὰ ἄνδρες ἀπὸ τοὺς υἱοὺς τοῦ Σαούλ, τὴν πρόσκαιρη παράδοση τοῦ νόμου καὶ ἀφανίζομε τὸ Σαούλ, δηλαδὴ τὸ χοϊκὸ νοῦ ποὺ ὑπάρχει στὸ γράμμα τῆς Γραφῆς μόνο, ὥστε νὰ μὴ σταθεῖ πουθενὰ μέσα στὰ ὅρια τοῦ Ἰσραήλ, δηλαδὴ στὴν περιοχὴ τῆς πνευματικῆς θεωρίας. Αὐτὸς δηλαδή, ζώντας στ' ἀλήθεια, σκοτώνει καὶ καταδιώκει καὶ ἐξοντώνει περιορίζοντας στὴ σάρκα μόνο τὸ νόμο, τοὺς σύμφωνους μὲ τὴ φύση λόγους καὶ λογισμούς, τιμώντας ὡς θεῖα τὰ πάθη τῆς ἀτιμίας[17], τὰ ὁποῖα οἱ σύμφωνοι μὲ τὴ φύση λογισμοὶ παίρνοντας ἄδεια ἀπὸ τὸ νόμο τοῦ πνεύματος τὰ φονεύουν αὐτοστιγμεὶ καὶ τὰ θανατώνουν ὅταν ἀρχίζει ὁ θερισμὸς τῶν κριθαριῶν. Ἀρχὴ τοῦ θερισμοῦ τῶν κριθαριῶν εἶναι ἡ συλλογὴ τῶν ἀρετῶν κατὰ τὴν πρακτικὴ φιλοσοφία μὲ κάποιο σύμμετρο λόγο, κατὰ τὴν ὁποία εἶναι φυσικὸ νὰ θανατώνεται τὸ γεῶδες στοιχεῖο τῆς Γραφῆς καὶ κάθε χοϊκὸ κίνημα νὰ ἀφανίζεται τελείως. Γιατὶ μόλις κάποιος ἐπιδοθεῖ λογικὰ στὴν ἄσκηση τῶν ἀρετῶν, ταυτόχρονα μεταφέρει φυσικῶς καὶ τὴν ἑρμηνεία τῶν Γραφῶν πρὸς τὸ πνεῦμα λατρεύοντας τὸ Θεὸ στὴν πράξη μὲ τὰ ὑψηλὰ θεωρήματα στὴ νέα ζωὴ τοῦ Πνεύματος καὶ ὄχι στὴν παλαιότητα τοῦ γράμματος[18] μὲ τὴν ταπεινότερη ἀποδοχὴ τοῦ νόμου κλίνοντας στὴν αἴσθηση καὶ στὸ σῶμα, ὁπότε γίνεται, ὅπως οἱ Ἰουδαῖοι, τροφέας παθῶν καὶ λάτρης τῆς ἁμαρτίας.

Πρέπει λοιπὸν στὴν πράξη νὰ ρυθμίζει κανεὶς μὲ τοὺς κατά φύση λογισμοὺς τὴν ἐμπαθὴ καὶ σωματικὴ διάνοια τοῦ νόμου, ὅπως ὑποδεικνύει ὁ λόγος τῆς Γραφῆς λέγοντας· «καὶ πῆρε ὁ βασιλιὰς τοὺς δύο υἱοὺς τῆς Ρεσφᾶ, τῆς κόρης τοῦ Ἀιᾶ, παλλακῆς τοῦ Σαούλ, τὸν Ἐρμονθὶ καὶ τὸ Μεμφιβοσθέ, καὶ τοὺς πέντε υἱοὺς τῆς Μερώβ, τῆς κόρης τοῦ Σαούλ, ποὺ γέννησε στὸν Ἐσδριήλ, καὶ τοὺς παρέδωσε στὰ χέρια τῶν Γαβαωνιτῶν». Χέρια τῶν Γαβαωνιτῶν εἶναι ἡ πραγματοποίηση σύμφωνα μὲ τὴν ἀρετὴ τῶν φυσικῶν λογισμῶν, μὲ τὴν ὁποία σκοτώνονται οἱ

17. Ρωμ. 1,26,27. 18. Ρωμ. 7,6.

μόνῃ τῇ προφορᾷ τοῦ λόγου σωματικῆς τοῦ νόμου διδαχῆς γεννωμένη τῶν παθῶν ἐνέργεια καὶ ἡ τῶν λογισμῶν ἀκόλαστος κίνησις, ἀποκτένονται. Πρὸς δὲ καὶ οἱ πέντε υἱοὶ τῆς Μερώβ, τουτέστιν οἱ ἐκ τῆς τρυφῆς γεννώμενοι κατὰ τὴν παρὰ φύσιν τῆς ἐνεργείας χρῆσιν ἀκόλαστοι πέντε τρόποι τῶν πέντε αἰσθήσεων, οὓς ἀποκτένειν ἐπιτοαυτὸ πέφυκεν ὡς ἐν ὄρει τῷ ὕψει τῆς πνευματικῆς θεωρίας, ἐν ἀρχῇ θερισμοῦ κριθῶν, ὅπερ ἐστὶν ἐν προοιμίοις τῆς κατ' ἀρετὴν πράξεως, ἢ τῆς κατὰ φύσιν εὐσεβοῦς θεωρίας, πᾶς νοῦς κατὰ Θεὸν ὑψηλὸς καὶ μετέωρος, κατὰ τὸ αὐτὸ τήν τε τῶν παθῶν κατασφάττων ἐνέργειαν καὶ τὴν τῶν λογισμῶν ἄσχημον κίνησιν. Πρὸς δὲ καὶ τοὺς κατὰ παράχρησιν τῆς τῶν αἰσθήσεων ἐνεργείας ἀκολάστους τρόπους.

«Καὶ ἔπεσον», φησίν, «ἐπὶ τὸ αὐτὸ οἱ ἑπτὰ καὶ ἐθανατώθησαν ἐν ἀρχῇ θερισμοῦ κριθῶν. Καὶ ἔλαβε Ρεσφὰ θυγάτηρ Ἀΐα τὸν σάκκον καὶ διέστρωσεν αὐτὸν ἑαυτῇ ἐπὶ τὴν πέτραν, ἕως ἔσταξεν ἐπ' αὐτοὺς ὕδατα Θεοῦ ἐξ οὐρανοῦ». Ρεσφά, καθὼς ἔφην, ἐστὶν ἑρμηνευομένη 'δρόμος στόματος', ὅπερ ἐστὶν ἡ κατὰ μόνην τοῦ λόγου προφορὰν σωματικὴ τοῦ νόμου διδαχή, ἡ μετὰ τὸν θάνατον τῶν ἐξ αὐτῆς γεννωμένων παθῶν, καὶ τὴν φανέρωσιν τὴν ἐν ὄρει τῷ ὕψει γενομένην τῆς φυσικῆς θεωρίας[51] ἐν τῇ τοῦ καθ' ἕκαστον καρδίᾳ τῶν αὐτῇ προκατειλημμένων, καθάπερ σάκκον τὴν μετάνοιαν στρώννυσιν ἐπὶ τὴν πέτραν (λέγω δὴ τὸν λόγον τῆς κατὰ Κύριον πίστεως), τὸν ἐν πνεύματι διὰ τῆς μετανοίας κατὰ Χριστὸν ἐπιμελουμένη θεσμῶν, ἔχουσα κατ' ὀφθαλμοὺς ἡμέρας καὶ νυκτὸς διὰ τῆς μνήμης, ὡς τέκνα, τὴν ἐν σαρκὶ τοῦ νόμου προτέραν ἀναγωγήν, ἕως στάξουσιν ὕδατα Θεοῦ ἐξ οὐρανοῦ, τουτέστιν ἕως καταπεμφθῶσιν αἱ θεῖαι τῶν Γραφῶν γνώσεις ἐκ τοῦ ὕψους τῆς πνευματικῆς θεωρίας[52], αἱ σβεστικαὶ μὲν τῶν παθῶν, ἀνανεωτικαὶ δὲ τῶν ἀρετῶν. Πέφυκε γὰρ ἡ τοῦ νόμου μάθησις πρὸς

υἱοὶ τῆς Ρεσφὰ Ἐρμονθὶ καὶ Μεμφιβοσθέ, δηλαδὴ ἡ ἐνέργεια τῶν παθῶν, ποὺ γεννιέται ἀπὸ τὴ σωματικὴ διδαχὴ τοῦ νόμου ποὺ περιορίζεται στὰ λόγια μόνο καὶ τὴν ἀκόλαστη κίνηση τῶν λογισμῶν. Μαζὶ μ' αὐτοὺς σκοτώνονται καὶ οἱ πέντε υἱοὶ τῆς Μερὼβ, δηλαδὴ οἱ ἀκόλαστοι πέντε τρόποι τῶν πέντε αἰσθήσεων ποὺ γεννιοῦνται ἀπὸ τὴν τρυφὴ κατὰ τὴν παραφύση χρήση τῆς ἐνέργειας, τοὺς ὁποίους μὲ μιά, ὡς ἀπὸ τὴ φύση του, τοὺς σκοτώνει, σὰν στὸ βουνό, στὸ ὕψος τῆς πνευματικῆς θεωρίας, στὴν ἀρχὴ τοῦ θερισμοῦ τῶν κριθαριῶν, ποὺ σημαίνει στὰ προοίμια τῆς πραγματοποίησης τῆς ἀρετῆς ἢ τῆς κατὰ φύση εὐσεβοῦς θεωρίας, κάθε νοῦς κατὰ Θεὸν ὑψηλὸς καὶ οὐράνιος, κατασφάζοντας ταυτόχρονα καὶ τὴν ἐνέργεια τῶν παθῶν καὶ τὴν ἄμορφη κίνηση τῶν λογισμῶν. Καὶ συνάμα καὶ τοὺς ἀκόλαστους τρόπους ποὺ κάνουν κακὴ χρήση τῆς ἐνέργειας τῶν αἰσθήσεων.

«Κι ἔπεσαν», λέει, «μὲ μιὰ καὶ οἱ ἑφτὰ καὶ θανατώθηκαν στὴν ἀρχὴ τοῦ θερισμοῦ τῶν κριθαριῶν. Καὶ ἡ Ρεσφά, ἡ κόρη τοῦ Ἀιᾶ, πῆρε τὸ σάκκο καὶ τὸν ἔστρωσε πάνω στὴν πέτρα, ὡσότου ἔπεσαν σ' αὐτὸν τὰ νερὰ τοῦ Θεοῦ ἀπὸ τὸν οὐρανό». Ρεσφά, ὅπως εἶπα, ἑρμηνεύεται 'δρόμος στόματος', ποὺ σημαίνει σωματικὴ διδαχὴ τοῦ νόμου μόνο μὲ τὴν προφορὰ τῶν λόγων, ἡ ὁποία μετὰ τὸ θάνατο τῶν παθῶν ποὺ γεννᾶ καὶ τὴ φανέρωση τῆς φυσικῆς θεωρίας ποὺ ἔγινε στὸ ὄρος στὸ ὕψος μέσα στὴν καρδιὰ καθενὸς ἀπὸ ἐκείνους ποὺ εἶχε ἀπὸ πρῶτα κυριέψει, στρώνει, σὰν σάκκο, τὴ μετάνοια πάνω στὴν πέτρα (κι ἐννοῶ βέβαια τὴ διδασκαλία τῆς πίστης στὸν Κύριο), φροντίζοντας μὲ τὴ μετάνοια γιὰ τὰ πνευματικὰ δεσμὰ ἐν Χριστῷ. Εἶχε μπροστὰ στὰ μάτια της μὲ τὴ μνήμη, μέρα καὶ νύχτα, σὰν παιδιά, τὴν προηγούμενη σαρκικὴ ἐξήγηση τοῦ νόμου, ὥσπου ἔπεσαν τὰ νερὰ τοῦ Θεοῦ ἀπὸ τὸν οὐρανό, δηλασὴ ὥσπου στάλθηκαν στὴ γῆ οἱ θεῖες γνώσεις τῶν Γραφῶν ἀπὸ τὸ ὕψος τῆς πνευματικῆς θεωρίας ποὺ σβήνουν τὰ πάθη κι ἀνανεώνουν τὶς ἀρετές. Γιατὶ εἶναι φυσικὸ ἡ μάθηση τοῦ νόμου, πηγαίνοντας

Χριστὸν τὸν ἀληθῆ καὶ στερρὰν πέτραν διὰ τῆς μετανοίας προσχωροῦσα, τὸν θεῖον τῆς πνευματικῆς τῶν Γραφῶν γνώσεως ὑετὸν ὑποδέχεσθαι, κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως Δαβίδ, τουτέστι 'τοῦ ἰσχυροῦ τὴν δρασιν' νοῦ. Φησὶ γάρ· «καὶ ἐποίησε πάντα ὅσα ἀνετείλατο ὁ βασιλεύς. Καὶ ἐπήκουσεν ὁ Θεὸς τῇ γῇ μετὰ ταῦτα».

Οὐκοῦν ἡ τῶν θείων Γραφῶν μάθησις κατὰ τὴν ἐντολὴν Δαβὶδ τοῦ βασιλέως (τουτέστι τοῦ πνευματικοῦ νόμου ἢ τοῦ ἰσχυροῦ τὴν δρασιν νοῦ), διὰ μέσης τῆς μετανοίας, ἧς ὁ σάκκος ὑπάρχει σύμβολον, κατὰ τὴν πρᾶξιν τῶν ἀρετῶν, ἐπὶ τὴν πέτραν, ἤγουν Χριστόν, μεταφερομένη, τὸν θεῖον ἐκκαλεῖσθαι τῆς γνώσεως πέφυκεν ὑετόν, ἐπακοῦσαί τε τὸν Θεὸν τῇ γῇ τῆς καρδίας εἴωθε δυσωπεῖν καὶ δοῦναι θείους χαρισμάτων ὄμβρους καὶ τῶν ἐν δικαιοσύνῃ καρπῶν χορηγῆσαι τὴν ἀφθονίαν καὶ λῦσαι τὴν καθάπερ λιμὸν τὴν προλαβοῦσαν τῶν θείων ἀγνωσίαν, καὶ ποιῆσαι χώραν πλήρη τῶν πνευματικῶν ἀγαθῶν, τὴν ψυχὴν σίτῳ βρίθουσαν καὶ οἴνῳ καὶ ἐλαίῳ· τῷ μὲν ὡς λόγῳ πρακτικῆς γνώσεως στηριζομένην[53], τῷ δὲ ὡς θείῳ πόθῳ καὶ ἀνανεωτικῷ τῆς κατ' ἔφεσιν πρὸς Θεὸν ἑνωτικῆς ζέσεως εὐφραινομένην[54], τῷ δὲ ὡς λείῳ καὶ ὁμαλῷ[55] καὶ διαυγεῖ καὶ φωτιστικῷ καὶ παντὸς γεώδους ἐλευθέρῳ κινήματος, τῆς ἀπαθείας τρόπῳ τε καὶ λόγῳ τὸ πρόσωπον ἱλαρυνομένην τῶν ἀρετῶν[56].

Ἀλλὰ καὶ ἡμεῖς, κατὰ τὸν μέγαν Δαβίδ, ἀφανίσωμεν τὸν Σαοὺλ ἐκ παντὸς ὁρίου Ἰσραήλ, τουτέστι τὸν γεώδη καὶ σωματικὸν τοῦ νόμου θεσμόν, ἤγουν τὸν ἰουδαϊκὸν τῆς λατρείας τρόπον, καὶ τὸν ἐν μόνῳ τῷ ῥητῷ πρόχειρον τῆς ὅλης Γραφῆς καὶ σωματικώτερον νοῦν, ἐκ παντὸς τρόπου θεωρητικῆς μυσταγωγίας, καὶ μετέλθωμεν πρὸς τὴν πνευματικὴν τῶν νοουμένων

μὲ τὴ μετάνοια κοντὰ στὸ Χριστό, τὴν ἀληθινὴ καὶ στερεὰ Πέτρα, νὰ δέχεται τὴ θεία βροχὴ τῆς πνευματικῆς γνώσης τῶν Γραφῶν σύμφωνα μὲ τὸ πρόσταγμα τοῦ βασιλιᾶ Δαβίδ, δηλαδὴ τοῦ νοῦ 'ποὺ ἔχει ἰσχυρὴ δράση'. Γιατὶ λέει· «καὶ ἔκανε ὅλα ὅσα διάταξε ὁ βασιλιάς. Κι ἔπειτα ἀπὸ αὐτὰ ὁ Θεὸς ἄκουσε τὴν κραυγὴ τῆς γῆς»[19].

Ἐπομένως ἡ μάθηση τῶν θείων Γραφῶν σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ βασιλιᾶ Δαβὶδ (δηλαδὴ τοῦ πνευματικοῦ νόμου ἢ τοῦ ἰσχυροῦ στὴν δραση νοῦ) διαμέσου τῆς μετάνοιας, ποὺ συμβολίζει ὁ σάκκος καὶ μεταφέρεται κατὰ τὴν ἐκτέλεση τῶν ἀρετῶν πάνω στὴν πέτρα, δηλαδὴ τὸ Χριστό, εἶναι φυσικὸ νὰ κάνει ἔκκληση στὴ θεία βροχὴ τῆς γνώσης καὶ συνήθως παρακαλεῖ τὸ Θεὸ νὰ ἐπακούσει στὴν κραυγὴ τῆς γῆς–καρδιᾶς καὶ νὰ δώσει θεῖες βροχὲς χαρισμάτων καὶ νὰ χορηγήσει τὴν ἀφθονία τῶν καρπῶν τῆς δικαιοσύνης καὶ νὰ διαλύσει τὴν προηγούμενη ἀγνωσία τῶν θείων ποὺ εἶχε πέσει σὰν πείνα καὶ νὰ ξεχειλίσει τὴ χώρα ἀπὸ πνευματικὰ ἀγαθά, ὥστε ἡ ψυχὴ νὰ γίνει κατάμεστη ἀπὸ σιτάρι καὶ κρασὶ καὶ λάδι[20]· μὲ τὸ σιτάρι, ὡς στηριζόμενη μὲ τὸ λόγο τῆς πρακτικῆς γνώσης· μὲ τὸ κρασί, ὡς εὐφραινόμενη μὲ τὸν θεῖο καὶ ἀνανεωτικὸ πόθο τῆς ἑκούσιας θέρμης πρὸς τὸ Θεό· καὶ μὲ τὸ λάδι, ποὺ εἶναι ἁπαλὸ καὶ μαλακὸ καὶ διαυγὲς καὶ φωτιστικὸ κι ἐλεύθερο ἀπὸ κάθε γήινη κίνηση, ὡς ἔχοντας ἱλαρὸ τὸ πρόσωπο τῶν ἀρετῶν καὶ μὲ τὸν τρόπο καὶ τὸ λόγο τῆς ἀπάθειας.

Ἀλλὰ κι ἐμεῖς, σύμφωνα μὲ τὸ μεγάλο Δαβίδ, ἂς ἀφανίσομε τὸ Σαοὺλ ἀπὸ ὁποιοδήποτε σημεῖο τῆς χώρας τοῦ Ἰσραήλ, δηλαδὴ τὸν γεώδη καὶ σωματικὸ νόμο (ποὺ εἶχε δοθεῖ), ἤτοι τὸν ἰουδαϊκὸ τρόπο λατρείας, καὶ τὸ ἐπιφανειακὸ καὶ σωματικότερο νόημα στὸ γράμμα μόνο τῆς Γραφῆς ἂς τὸ βγάλομε ἔξω ἀπὸ κάθε τρόπο θεωρητικῆς μυσταγωγίας, κι ἂς μεταβοῦμε στὴν πνευματικὴ ἐκθέωση τῶν νοουμένων, κι ἂς συμφιλιωθοῦ-

19. Α΄ Κορ. 10,4. 20. Ψαλμ. 103,15.

ἐκθέωσιν καὶ περιποιησώμεθα τοὺς Γαβαωνίτας, τουτέστι τοὺς κατὰ φύσιν τῶν ὄντων λόγους, οὓς ἀπαθεῖς διετήρησεν ὁ ἀληθινὸς κληροδότης τῶν θείων ἐπαγγελιῶν Ἰησοῦς, δι' οὓς ἀναιρουμένους ὑπὸ Σαούλ, τὸν θεῖον ἀνέσχε τῆς μυστικῆς γνώσεως ὑετὸν ὁ Θεός· καὶ ἀποκτείνωμεν δι' αὐτῶν τῶν Γαβαωνιτῶν, τῆς φυσικῆς δηλαδὴ θεωρίας, ὥσπερ ἄνδρας ἑπτὰ τῶν υἱῶν Σαούλ, τὴν ἐμπαθῆ τοῦ νόμου, πρόσυλόν τε καὶ χρονικὴν ἐκδοχήν, ἣν τίκτειν πέφυκεν ἡ Ρεσφά, 'στόματος' ὑπάρχουσα 'δρόμος' (ὅπερ ἐστὶν ἡ σωματικὴ τοῦ νόμου μάθησις), καὶ ἡ Μερώβ, 'πλησμονὴ φάρυγγος' ἑρμηνευομένη, τουτέστιν ἡ τρυφὴ τῆς γαστρός. Ἡ μὲν τὸν Μεμφιβοσθὲ τίκτουσα καὶ τὸν Ἑρμονθὶ (τὸν μὲν 'αἰσχύνη στόματος' ἑρμηνευόμενον, τὸν δὲ 'ἀνάθεμα αὐτῶν'), ἤγουν τὴν ἕξιν τῶν παθῶν καὶ τὴν ἐνέργειαν· ἡ δὲ τοὺς πέντε υἱοὺς τῷ Ἐσδριήλ, τῷ θεωρητικῷ δηλαδὴ τῆς ψυχῆς μέρει, τοὺς κατὰ παράχρησιν ἐμπαθεῖς πέντε τρόπους τῶν ἐν ἡμῖν αἰσθήσεων, οὓς διὰ τῆς φυσικῆς ἀναιροῦντες θεωρίας, ὠργισμένον τὸν Θεὸν ἱλεούμεθα, πρὸς τὸ πνεῦμα μετενεχθέντες ὑπὸ τοῦ γράμματος, καὶ τοὺς θείους ἐκκαλούμεθα τῆς γνώσεως ὄμβρους καὶ τῶν ἐξ αὐτῆς δαψιλῶς τῆς δικαιοσύνης καρπῶν ἀπολαύομεν. Τὸ γὰρ γράμμα τοῦ νόμου, καθάπερ τινὰ Σαούλ, ἢ τὴν ἐκ τοῦ γράμματος γεννωμένην πράσυλον ἐκδοχὴν τοῖς χοϊκοῖς τὴν διάνοιαν, ὡς τέκνα Σαοὺλ καὶ ἔκγονα, διὰ μέσης τῆς φυσικῆς θεωρίας πρὸς τὸ ὕψος τῆς πνευματικῆς μυσταγωγίας ἀναγαγόντες πᾶν σωματικὸν τοῦ νόμου καὶ πρόσκαιρον νόημα, καὶ κυριώτερον εἰπεῖν, χοϊκὸν ἀποκτείνομεν, εἴπερ καὶ ἡμεῖς μετὰ τοῦ Θεοῦ τὸν Σαοὺλ μεμισήκαμεν καὶ ἐξουδενώκαμεν αὐτόν, τοῦ μὴ βασιλεύειν ἐπὶ Ἰσραήλ, ἤγουν τὸν κατὰ σάρκα προφανῆ τῆς Γραφῆς τρόπον, τουτέστι τὸν Ἰουδαϊσμόν, ἀπωσάμεθα, τοῦ μὴ βασιλεύειν πρὸς σαρκὸς δουλείαν τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως·

με μὲ τοὺς Γαβαωνῖτες, δηλαδὴ τοὺς φυσικοὺς λόγους τῶν ὄντων, ποὺ τοὺς διαφύλαξε ἀπαθεῖς ὁ κληροδότης τῶν θείων ἐπαγγελιῶν Ἰησοῦς[21], ἐξαιτίας τῶν ὁποίων, ὅταν τοὺς σκότωσε ὁ Σαούλ, ὁ Θεὸς ἐμπόδισε τὴ θεία βροχὴ τῆς μυστικῆς γνώσης. Κι ἂς θανατώσομε μὲ αὐτοὺς τοὺς Γαβαωνῖτες, δηλαδὴ τὴ φυσικὴ θεωρία, σὰν ἑφτὰ ἀπὸ τοὺς υἱοὺς τοῦ Σαούλ, τὴν ἐμπαθὴ καὶ ὑλόφρονη καὶ χρονικὴ ἑρμηνεία τοῦ νόμου, τὴν ὁποία ὡς ἀπὸ τὴ φύση της γεννᾶ ἡ Ρεσφά, 'ὁ δρόμος τοῦ στόματος' (ποὺ σημαίνει τὴ σωματικὴ μάθηση τοῦ νόμου), καὶ ἡ Μερώβ, ποὺ ἑρμηνεύεται 'πλησμονὴ φάρυγγα', δηλαδὴ ἀπόλαυση τῆς κοιλιᾶς. Ἡ πρώτη γεννώντας τὸν Μεμφιβοσθὲ καὶ τὸν Ἑρμονθὶ (ὁ ἕνας ἑρμηνεύεται 'ντροπὴ τοῦ στόματός του', καὶ ὁ ἄλλος 'ἀνάθεμά τους'), δηλαδὴ τὴ συνήθεια τῶν παθῶν καὶ τὴν ἐνέργεια, καὶ ἄλλη γεννώντας τοὺς πέντε υἱοὺς στὸν Ἐσδριήλ, στὸ θεωρητικὸ δηλαδὴ μέρος τῆς ψυχῆς, τοὺς ἐμπαθεῖς πέντε τρόπους μὲ παραβίαση τῆς σωστῆς χρήσης τῶν αἰσθήσεών μας. Αὐτούς, ἀναιρώντας τους μὲ τὴ φυσικὴ θεωρία, ἐξιλεώνομε τὸν Θεὸ ὅταν εἶναι ὀργισμένος, περνώντας ἀπὸ τὸ γράμμα στὸ Πνεῦμα, ἐπικαλούμαστε τὶς θεῖες βροχὲς τῆς γνώσης καὶ ἀπολαμβάνομε τοὺς πλούσιους χάρη σ' αὐτὴν καρποὺς τῆς δικαιοσύνης. Τὸ γράμμα δηλαδὴ τοῦ νόμου, σὰν κάποιο Σαούλ, ἢ τὴν φιλόυλη ἔννοια ποὺ γεννιέται ἀπὸ τὸ γράμμα στοὺς γηΐνους στὸ νοῦ, σὰν παιδιὰ κι ἀπογόνους τοῦ Σαούλ, ἀνεβάζοντας μέσω τῆς φυσικῆς θεωρίας στὸ ὕψος τῆς πνευματικῆς μυσταγωγίας, σκοτώνομε κάθε σωματικὸ καὶ πρόσκαιρο καὶ πιὸ κυριολεκτικά, κάθε γήινο νόημα τοῦ νόμου, ἂν βέβαια μαζὶ μὲ τὸ Θεὸ ἔχουμε μισήσει κι ἐμεῖς τὸ Σαοὺλ καὶ τὸν ἐξοντώσαμε, ὥστε νὰ μὴ βασιλεύει στὸν Ἰσραήλ[22], δηλαδὴ ἂν ἀπωθήσαμε τὴν κατὰ σάρκα ἀντίληψη τῆς Γραφῆς ποὺ βλέπομε μὲ τὰ μάτια, δηλαδὴ τὸν Ἰουδαϊσμό, γιὰ νὰ μὴ βασιλεύει στὴ μέσα μας νοερὴ δύναμη πρὸς ὑποταγὴ στὴ σάρκα.

---

21. Ἰησ. Ναυῆ 9,20. 22. Α' Βασ. 16,1.

Δεῖ γὰρ τὸν Σαοὺλ (ἤγουν τὸν σωματικὸν τοῦ νόμου θεσμὸν) μισηθῆναι[56] *καὶ ἀπωσθῆναι τῆς βασιλείας, ὡς τὸν Ἀγὰγ βασιλέα Ἀμαλήκ, καὶ τὰ πίονα τῶν ποιμνίων καὶ βουκολίων καὶ τὴν ἄμπελον καὶ τὴν ἐλαίαν (τὰ τοῦ θυμοῦ λέγω καὶ τῆς ἐπιθυμίας ὑπεκκαύματα, καὶ τὰ περιποιητικὰ τῆς τρυφῆς αἴτια) περιποιούμενον, καὶ αὐτὸν ζῶντα τὸν Ἀγὰγ πρὸς τὴν γῆν μεταφέροντα τῆς ἐπαγγελίας (τουτέστι «τὸν μόσχον», ἤγουν τὸ χοϊκὸν φρόνημα τῆς σαρκός), εἰς τὸν τῆς θείας ἐπιγνώσεως τόπον, λέγω δὴ τὴν καρδίαν· 'μόσχος' γὰρ ὁ Ἀγὰγ ἑρμηνεύεται· μόσχος ἐκεῖνος τυχόν, ὃν ὁ μωρὸς καὶ ἀσύνετος Ἰσραὴλ*[57] *κατὰ τὴν ἔρημον χωνεύσας ἐθεοποίησε καὶ τῆς θείας θεραπείας τὴν ἡδονὴν τῆς γαστρὸς προετίμησεν, ὅντινα μόσχον Μωϋσῆς ἀφανίζει καὶ Σαμουήλ· ὁ μὲν λεαίνων καὶ διασπείρων ὑπὸ τὸ ὕδωρ, ὁ δὲ μαχαίρᾳ πνευματικῇ κατασφάττων, τουτέστιν ἡ ζῶσα καὶ ἐνεργὴς τοῦ ἁγίου Πνεύματος χάρις (τοῦτο γὰρ Μωϋσῆς), καὶ ἡ διὰ τῶν ἐντολῶν ὑπακοὴ τοῦ Θεοῦ (τοῦτο γὰρ Σαμουήλ). Μωϋσῆς γὰρ 'ὕδωρ' ἑρμηνεύεται 'σπαίρων', καὶ Σαμουὴλ 'ὑπακοὴ Θεοῦ', ὅπερ ἐστὶ πίστις ἀληθὴς καὶ βίος ἔνθεος.*

Οὐκοῦν τὸ κράτος τῆς ἁμαρτίας, ἤγουν τὸ φρόνημα τῆς σαρκός, ἡ χάρις ἀφανίζειν πέφυκε τοῦ ἁγίου βαπτίσματος, καὶ ἡ κατ' ἐνέργειαν ὑπακοὴ τῶν θείων ἐντολῶν ἀποκτένειν τῇ μαχαίρᾳ τοῦ Πνεύματος (ἤγουν τῷ ῥήματι τῆς θείας ἐν Πνεύματι γνώσεως), βοῶσα μυστικῶς πρὸς τὸ πάθος τῆς ἁμαρτίας, ὡς ὁ μέγας πρὸς τὸν Ἀγὰγ Σαμουήλ· «καθὼς ἠτέκνωσε γυναῖκας ἡ μάχαιρά σου, ἀτεκνωθήσεται σήμερον ἐκ γυναικῶν ἡ μήτηρ σου». Πολλὰς γὰρ τὸ πάθος τῆς γαστριμαργίας, ὡς ἐν μαχαίρᾳ, τῷ λείῳ τῆς ἡδονῆς λογισμῷ ἠτέκνωσεν ἀρετάς. Τῆς μὲν γὰρ σωφροσύνης διὰ τῆς ἀκρασίας ἀποκτένει τὰ σπέρματα, τῆς δι-

23. Α' Βασ. 15,8. 24. Ἐξ. 32,4.

Ὁ Σαούλ, δηλαδὴ ὁ σωματικὸς θεσμὸς τοῦ νόμου, πρέπει νὰ μισηθεῖ καὶ νὰ παραμεριστεῖ ἀπὸ τὴ βασιλεία, ὅπως ὁ Ἀγάγ, ὁ βασιλιὰς τῶν Ἀμαληκιτῶν, ποὺ φροντίζει τὰ παχιά του πρόβατα καὶ γελάδια καὶ τὰ ἀμπέλια καὶ τὶς ἐλιὲς (ἐννοῶ τὰ προσανάμματα τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας καὶ τὰ αἴτια ποὺ προκαλοῦν τὴν τρυφή)[23], καὶ νὰ μεταφερθεῖ ὁ ἴδιος ὁ Ἀγὰγ ζωντανὸς στὴ γῆ τῆς ἐπαγγελίας (δηλαδὴ ὁ μόσχος, ἤτοι τὸ χοϊκὸ φρόνημα τῆς σάρκας), στὸν τόπο τῆς θείας ἐπίγνωσης, ἐννοῶ βέβαια τὴν καρδιά. Γιατὶ ὁ Ἀγὰγ ἑρμηνεύεται 'μόσχος', ἐκεῖνος ὁ μόσχος ἴσως, ποὺ ὁ μωρὸς κι ἀνόητος Ἰσραὴλ χύνοντάς τον στὸ μέταλλο τὸν θεοποίησε στὴν ἔρημο καὶ ἐπροτίμησε τὴν ἡδονὴ τῆς κοιλιᾶς ἀπὸ τὴ θεία λατρεία[24]. Τὸν μόσχο αὐτὸ τὸν ἀφανίζουν ὁ Μωυσῆς καὶ ὁ Σαμουήλ· ὁ ἕνας λιανίζοντάς τον καὶ σκορπίζοντάς τον κάτω ἀπὸ τὸ νερό, καὶ ὁ ἄλλος σφάζοντάς τον μὲ τὴν πνευματικὴ μάχαιρα[25], δηλαδὴ ἡ ζωντανὴ καὶ ἐνεργὸς χάρη τοῦ ἁγίου Πνεύματος (γιατὶ αὐτὸ εἶναι ὁ Μωυσῆς), καὶ ἡ ὑπακοὴ πρὸς τὸ Θεὸ μέσω τῶν ἐντολῶν (αὐτὸ εἶναι ὁ Σαμουήλ). Γιατὶ Μωυσῆς σημαίνει 'νερὸ ποὺ σπαρταρᾶ' καὶ Σαμουὴλ 'ὑπακοὴ στὸ Θεό', πράγμα ποὺ εἶναι πίστη ἀληθινὴ κι ἔνθεος βίος.

Ἑπομένως τὸ κράτος τῆς ἁμαρτίας, δηλαδὴ τὸ φρόνημα τῆς σάρκας, τὸ ἀφανίζει, ὡς ἀπὸ τὴ φύση της, ἡ χάρη τοῦ ἁγίου βαπτίσματος καὶ ἡ ἐνεργὸς ὑπακοὴ στὶς θεῖες ἐντολὲς τὸ σκοτώνει μὲ τὴ μάχαιρα τοῦ Πνεύματος (δηλαδὴ μὲ τὸ λόγο τῆς θείας πνευματικῆς γνώσης), φωνάζοντας μυστικὰ στὸ πάθος τῆς ἁμαρτίας, ὅπως ὁ μέγας Σαμουὴλ πρὸς τὸν Ἀγάγ· «ὅπως τὸ μαχαίρι σου στέρησε τὶς μητέρες ἀπὸ τὰ παιδιά τους, ἔτσι θὰ χάσει σήμερα ἡ μητέρα σου τὸ παιδί της ἀπὸ τὶς γυναῖκες»[26]. Γιατὶ τὸ πάθος τῆς γαστριμαργίας μὲ τὴ γλυκιὰ σκέψη τῆς ἡδονῆς, σὰν μὲ μαχαίρι, στερεῖ πολλὲς ἀρετὲς ἀπὸ τὰ παιδιά τους. Τὰ σπέρματα δηλαδὴ τῆς σωφροσύνης τὰ σκοτώνει μὲ τὴν

25. Ἐξ. 32,30· Α' Βασ. 15,32. 26. Α' Βασ. 15,33.

καιοσύνης δὲ διὰ τῆς πλεονεξίας διαφθείρει τὴν ἰσονομίαν, τῆς φιλανθρωπίας δὲ διὰ τῆς φιλαυτίας τὴν ἐκ φύσεως διατέμνει συνέχειαν· καὶ συντόμως εἰπεῖν[58], πάντων τῶν κατ᾽ ἀρετὴν γεννημάτων ἀναιρετικόν ἐστι τῆς γαστριμαργίας τὸ πάθος[59]. Τοῦτο δὲ μόνη, καθὼς ἔφην, ἀναιρεῖ τὸ πάθος ἥ τε τοῦ βαπτίσματος χάρις καὶ ἡ καθ᾽ ὑπακοὴν Θεοῦ τῶν ἐντολῶν ἀγωγή.

Τὸν οὖν τούτου τοῦ πάθους περιποιητικὸν ἐν γράμματι νόμον μεταμελεῖται χρίσας εἰς βασιλέα τοῦ Ἰσραὴλ ὁ Θεὸς καὶ μεταφέρει τὸ κράτος τῆς βασιλείας καὶ δίδωσι τῷ Δαβὶδ (τῷ εὐαγγελικῷ δηλαδὴ καὶ πνευματικῷ νόμῳ), τουτέστι τῷ υἱῷ Ἰεσσαί. Ἑρμηνεύεται δὲ Ἰεσσαὶ ʻΘεοῦ ποίησιςʼ. Οὐκοῦν τὸ ἅγιον Εὐαγγέλιον γέννημα τυγχάνει τῆς ποιήσεως, ἤγουν τῆς τοῦ Θεοῦ διὰ σαρκὸς αὐτουργίας, τῆς ἐχούσης εἰς τοὺς ἀπείρους αἰῶνας τὴν βασιλείαν, καθ᾽ ἣν ἔχομεν ἀγαλλίασιν ἀκατάλυτον καὶ τὴν εὐφροσύνην ὡς ἡμέραν οὖσαν ἀνέσπερον καὶ ἀτελεύτητον. Φησὶ γάρ· «αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Θεός, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ», ἡμέραν λέγων τὴν εὐαγγελικὴν χάριν ἢ τὸ μυστήριον αὐτοῦ τοῦ ταύτην ποιησαμένου τὴν χάριν, ἐν ᾧ βούλεται πάντας ἡμᾶς, κατὰ τὸν θεῖον Ἀπόστολον, «ὡς ἐν ἡμέρᾳ γνώσεως καὶ ἀληθείας εὐσχημόνως περιπατεῖν». Ἡμέρα γὰρ ἀϊδίου φωτός ἐστιν ὁ Χριστός, ἐν ᾧ δεῖ πάντας τοὺς αὐτῷ πεπιστευκότας διὰ τῆς τῶν ἀρετῶν εὐσχημοσύνης καλῶς πολιτεύεσθαι. Οὗτος γάρ ἐστιν ὁ πεποιημένος ἄνευ σπορᾶς ὑπὸ Θεοῦ μόνος τὸ κατὰ σάρκα, καὶ τῶν κατὰ φύσιν θεσμῶν καινοτομήσας τοὺς νόμους καὶ κατὰ πρόσωπον πάντων τῶν λαῶν ἡτοιμασμένος καὶ «φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ Ἰσραήλ». Φῶς γάρ ἐστιν ἀληθῶς ἐθνῶν ὁ Κύριος ἡμῶν[60], ἀποκαλύπτων αὐτοῖς, διὰ τῆς ἀληθοῦς ἐπιγνώσεως, τοὺς τῷ ζόφῳ τῆς ἀγνοίας ἐπιμεμυκότας ὀφθαλμοὺς τῆς διανοίας, καὶ θείας ἀγωγῆς πάλιν ἑαυτὸν ἑτοιμάσας[61]) τοῖς πιστοῖς

ἀκράτεια, τὴν ἰσονομία τῆς δικαιοσύνης τὴ διαφθείρει μὲ τὴν πλεονεξία, τὴν μὲ τὴ φύση συνοχὴ τῆς φιλανθρωπίας τὴ διακόπτει μὲ τὴ φιλαυτία, καὶ γιὰ νὰ μιλήσομε μὲ συντομία, τὸ πάθος τῆς γαστριμαργίας καταστρέφει ὅλα τὰ γεννήματα τῆς ἀρετῆς. Καὶ τὸ πάθος αὐτό, καθὼς εἶπα, τὸ ξερριζώνει μόνη ἡ χάρη τοῦ βαπτίσματος καὶ ἡ ζωὴ ποὺ ὑπακούει στὶς ἐντολὲς τοῦ Θεοῦ.

Τὸ νόμο λοιπὸν τοῦ γράμματος ποὺ περιποιεῖται τοῦτο τὸ πάθος μετανοεῖ ὁ Θεὸς ποὺ τὸν ἔχρισε βασιλέα τοῦ Ἰσραὴλ καὶ μεταφέρει τὴν ἐξουσία τῆς βασιλείας καὶ τὴ δίνει στὸ Δαβίδ, στὸν εὐαγγελικὸ δηλαδὴ καὶ πνευματικὸ νόμο, δηλαδὴ στὸν υἱὸ τοῦ Ἰεσσαί. Τὸ ὄνομα Ἰεσσαὶ ἑρμηνεύεται 'δημιουργία Θεοῦ'. Τὸ ἅγιο Εὐαγγέλιο λοιπὸν εἶναι γέννημα τῆς δημιουργίας, δηλαδὴ τῆς ἐνέργειας τοῦ ἴδιου τοῦ Θεοῦ μέσω τῆς σάρκας, ποὺ ἔχει τὴ βασιλεία στοὺς ἄπειρους αἰῶνες, κατὰ τὴν ὁποία ἔχομε ἀκατάλυτη ἀγαλλίαση, καὶ εὐφροσύνη ποὺ εἶναι σὰν ἡμέρα ἀνέσπερη καὶ ἀτελεύτητη. Γιατὶ λέει· «αὐτὴ εἶναι ἡ ἡμέρα ποὺ δημιούργησε ὁ Θεός· ἂς νιώσομε ἀγαλλίαση καὶ εὐφροσύνη κατ' αὐτή»[27]. Ἡμέρα λέει τὴν Εὐαγγελικὴ χάρη ἢ τὸ μυστήριο ἐκείνου ποὺ ἔκανε αὐτὴ τὴ χάρη, μὲ τὸ ὁποῖο θέλει, σύμφωνα μὲ τὸν θεῖο Ἀπόστολο, «ὅλοι ἐμεῖς νὰ περπατοῦμε μὲ εὐπρέπεια, ὅπως πρέπει σὲ ἡμέρα γνώσης κι ἀλήθειας»[28]. Γιατὶ ἡμέρα ἀιδίου φωτὸς εἶναι ὁ Χριστός, μέσα στὸν ὁποῖο πρέπει ὅλοι ὅσοι πίστεψαν σ' αὐτὸν νὰ πολιτεύονται καλὰ μὲ τὴν εὐπρέπεια τῶν ἀρετῶν. Γιατὶ ὁ Χριστὸς μόνο εἶναι αὐτὸς ποὺ ἔγινε ἀπὸ τὸ Θεὸ κατὰ σάρκα ἀσπόρως, θεσμοθετώντας καινούργιους νόμους στὴ θέση τῆς φυσικῆς νομοθεσίας, καὶ εἶχε ἑτοιμαστεῖ γιὰ ὅλους τοὺς λαοὺς καὶ ἦταν φῶς γιὰ νὰ φωτίσει τὰ ἔθνη καὶ νὰ δοξαστεῖ ὁ λαὸς τοῦ Ἰσραήλ[29]. Γιατὶ πραγματικὰ ὁ Κύριός μας εἶναι φῶς ἐθνῶν, ἀνοίγοντας σ' αὐτὰ μὲ τὴν ἀληθινὴ ἐπίγνωση τὰ κλειστὰ ἀπὸ τὸ ζόφο τῆς ἄγνοιας μάτια τῆς διάνοιας. Κι ἑτοιμάζοντας πάλι τὸν ἑαυτό του γιὰ τοὺς πιστοὺς

27. Ψαλμ. 117,24. 28. Ρωμ. 13,13. 29. Λουκᾶ 2,31.

λαοῖς ἀγαθὸν ἀρετῆς ἐξεμπλάριον, προσώπου τοῦ κατ' ἀρετὴν ὑπογραμμὸς αὐτοῖς γενόμενος καὶ ὑποτύπωσις, πρὸς ὃν ἀφορῶντες, ὡς ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, τὰς ἀρετὰς κατὰ μίμησιν, ὡς ἡμῖν ἐστι δυνατόν, κατορθοῦμεν διὰ τῆς πράξεως.

Ἀλλὰ καὶ δόξα λαοῦ Ἰσραὴλ» αὐτός ἐστιν ὁ Θεὸς καὶ Λόγος[62]*, ὡς τῷ θείῳ τῆς γνώσεως φωτὶ διὰ τῆς μυστικῆς θεωρίας καταφαιδρύνων τὸν νοῦν. Ἢ τυχὸν λαούς φησιν ὁ λόγος*[63] *τοὺς κατὰ φύσιν λόγους, πρόσωπον δὲ τούτων τὴν ἄπταιστον δόξαν, ἧς ἑτοιμασία, φῶς πρὸς ἐπίγνωσιν αὐτὸς καθέστηκεν ὁ Λόγος, ὡς κτίστης τῆς φύσεως· ἔθνη δὲ τὰ παρὰ φύσιν πάθη*[64]*, ἅπερ ἀποκαλύπτει λανθάνοντα, φῶς δωρούμενος γνώσεως καὶ παντελῶς ἐξωθεῖται τῆς φύσεως. Δόξα δὲ γίνεται τοῦ Ἰσραὴλ ὁ Λόγος*[65]*, ὡς τῶν παρὰ φύσιν παθῶν ἀποκαθαίρων τὸν νοῦν καὶ τοῖς κατὰ φύσιν λόγοις κατακοσμῶν, πρὸς δὲ καὶ τῷ διαδήματι τῆς κατὰ τὴν θέωσιν ἀτρεψίας ἐπισφίγγων. Δόξα γὰρ ἀληθῶς ὑπάρχει τοῦ Ἰσραὴλ ἥ τε τῶν παρὰ φύσιν ἀπαλλαγὴ παθῶν καὶ τῶν κατὰ φύσιν λόγων κατόρθωσις καὶ τῶν ὑπὲρ φύσιν ἐπίκτησις ἀγαθῶν. Ὁ τοῦτον τὸν νοητὸν Δαβὶδ προσδεχόμενος, κἂν φθονῆται ὑπὸ τοῦ Σαούλ, ἀλλ' οὐχ ἁλίσκεται, ἀλλὰ καὶ τοὐναντίον, διὰ πολλὴν φιλανθρωπίαν ὡς ἀπαθὴς καὶ μισούμενος θεραπεύει τῇ κιθάρᾳ τοῦ Πνεύματος τὸν ἐχθρόν, πονηρῷ καταπνιγόμενον πνεύματι, καὶ ποιεῖ σώφρονα, λύων αὐτόν, καθάπερ δαίμονος πονηροῦ, τῆς κακῆς τοῦ χοϊκοῦ φρονήματος ἐπιληψίας. Πᾶς γὰρ διὰ φθόνον μισῶν καὶ κακῶς διαθρυλλῶν ταῖς διαβολαῖς τὸν ἐν τοῖς ἀγῶσι τῶν ἀρετῶν καὶ τῇ περιουσίᾳ τοῦ λόγου τῆς πνευματικῆς γνώσεως δυνατώτερον, Σαοὺλ ἐστι πονηρῷ καταπνιγόμενος πνεύματι, μὴ φέρων τὸ κλέος τῆς κατ' ἀρετὴν καὶ γνῶσιν εὐδαιμονίας τοῦ*

λαοὺς θείας ζωῆς ἀγαθὸ παράδειγμα ἀρετῆς, μὲ τὸ νὰ γίνει ὁ ἴδιος γι' αὐτοὺς ἀρετῆς τύπος καὶ ὑπογραμμός, πρὸς τὸν ὁποῖο ἀποβλέποντας ὡς ἀρχηγὸ τῆς σωτηρίας μας μὲ μίμηση αὐτοῦ κατορθώνομε ὅσο μᾶς εἶναι δυνατὸ βέβαια μὲ τὶς πράξεις μας τὶς ἀρετές.

Ἀλλὰ εἶναι καὶ ἡ δόξα τοῦ λαοῦ τοῦ Ἰσραὴλ ὁ ἴδιος ὁ Θεὸς καὶ Λόγος, ἐπειδὴ καταφαιδρύνει τὸ νοῦ μέσω τῆς μυστικῆς θεωρίας μὲ τὸ θεῖο φῶς τῆς γνώσης. Ἢ ἴσως ἡ Γραφὴ ὀνομάζει λαοὺς τοὺς φυσικοὺς λόγους καὶ πρόσωπό τους τὴν ἄσφαλτη δόξα, ποὺ προετοιμασία της καὶ φῶς γιὰ ἐπίγνωση στάθηκε ὁ ἴδιος ὁ Λόγος, ὡς κτίστης τῆς φύσης. Ἔθνη εἶναι τὰ παραφύση πάθη, ποὺ τὰ ἀποκαλύπτει ἐνῶ ἦταν κρυφά, δωρίζοντάς τους τὸ φῶς τῆς γνώσης, καὶ τὰ ἀπομακρύνει τελείως ἀπὸ τὴ φύση μας. Γίνεται ἀκόμα ὁ Λόγος δόξα τοῦ Ἰσραήλ, ἐπειδὴ ἀποκαθαίρει τὸ νοῦ ἀπὸ τὰ παραφύση πάθη καὶ τὰ κατακοσμεῖ μὲ τοὺς καταφύση λόγους κι ἐπιπλέον τοὺς σφίγγει μὲ τὸ διάδημα τῆς μονιμότητας στὴ θέωση. Γιατὶ εἶναι ἀληθινὰ δόξα τοῦ Ἰσραὴλ καὶ ἡ ἀπαλλαγὴ ἀπὸ τὰ παραφύση πάθη καὶ ἡ κατόρθωση τῶν καταφύση λόγων καὶ ἡ πρόσθετη κτήση τῶν ὑπερφύση ἀγαθῶν. Ὅποιος δέχεται αὐτὸν τὸ νοητὸ Δαβίδ, ἀκόμα κι ἂν φθονεῖται ἀπὸ τὸ Σαούλ, δὲν αἰχμαλωτίζεται, τὸ ἀντίθετο μάλιστα, ἀπὸ τὴ μεγάλη φιλανθρωπία, ὡς ἀπαλλαγμένος ἀπὸ πάθη, ἀκόμα κι ἂν μισεῖται, θεραπεύει μὲ τὴν κιθάρα τοῦ Πνεύματος τὸν ἐχθρό του, ποὺ τὸν πνίγει τὸ πονηρὸ πνεῦμα[30], καὶ τὸν σωφρονίζει, ἐλευθερώνοντάς τον, σὰν ἀπὸ πονηρὸ δαίμονα, ἀπὸ τὴν κακὴ κατοχή του ἀπὸ τὸ γήινο φρόνημα. Γιατὶ ὅποιος μισεῖ ἀπὸ φθόνο καὶ διαδίδει κακῶς διαβολὲς γι' αὐτὸν ποὺ ἀγωνίζεται γιὰ τὴν ἀρετὴ καὶ εἶναι δυνατότερος στὴν ἀφθονία τοῦ λόγου τῆς πνευματικῆς γνώσης, αὐτὸς εἶναι Σαοὺλ ποὺ τὸν καταπνίγει τὸ πονηρὸ πνεῦμα καὶ δὲν ἀντέχει τὴ δόξα τῆς εὐδαιμονίας τοῦ καλύτερού του στὴν ἀρετὴ καὶ τὴ γνώση καὶ γι' αὐτὸ καὶ μανιάζει

30. Α΄ Βασ. 16,18· 18,9.

κρείττονος, καὶ διὰ τοῦτο πλέον μαινόμενος, ὅτι μὴ δύναται τὸν εὐεργέτην διαχειρίσασθαι.

Πολλάκις δὲ καὶ αὐτὸν ἀποπέμπεται πικρῶς τὸν φίλτατον Ἰωνάθαν, τὸν ἔμφυτον λόγον λέγω κατὰ συνείδησιν λογισμόν, τὸν ἄδικον μῖσος ἐλέγχοντα καὶ τοῦ μισουμένου φιλαλήθως ἀφηγούμενον τὰ κατορθώματα, κατὰ τὸν πάλαι καὶ μάταιον ὄντως Σαοὺλ, πρὸς ὃν φησι Σαμουὴλ ὡς παραβάτην τῶν θείων ἐντολῶν· «μεματαίωταί σοι, ὅτι παρέβης τὴν ἐντολήν μου, ἣν ἐνετείλατό σοι ὁ Θεός». Σαούλ, ὡς προέφην, ἐστὶν ἢ ὁ γραπτὸς νόμος ἢ ὁ κατὰ τὸν γραπτὸν νόμον πολιτευόμενος λαὸς τῶν Ἰουδαίων. Ἀμφοτέρων γὰρ οὕτω χοϊκῶς ἀλλήλοις συμπεπλεγμένων ἀφίσταται τὸ πνεῦμα Κυρίου, ὅ ἐστιν ἡ πνευματικὴ θεωρία καὶ ἡ γνῶσις, καὶ ἐπέρχεται πνεῦμα πονηρὸν (τουτέστι τὸ ὑλικὸν φρόνημα), ταῖς ἀλλεπαλλήλοις τῶν ὑπὸ γένεσιν καὶ φθορὰν ταραχαῖς καὶ δινήσεσιν, ὡς ἐπιλήπτους τῇ ἀστασίᾳ τῶν λογισμῶν καταπνίγον. Ὅ τε γὰρ νόμος χοϊκῶς πρὸς μόνον τὸ γράμμα νοούμενος ἐπίληπτός ἐστί μυρίαις δονούμενος ἐναντιώσεσι καὶ μηδεμίαν ἔχων πρὸς ἑαυτὸν συμφωνίαν, ὅ τε ἰουδαΐζων νοῦς, τῇ ἀστάτῳ περιφορᾷ τῶν ὑλικῶν ἐπιμαινόμενος, ἀστάτως ἐξ ἀνάγκης καὶ αὐτὸς τὴν οἰκείαν συμμεταβαλλομένην ἔχει διάθεσιν. Ὁπηνίκα δὲ Δαβίδ, ὁ κατ' ἀλήθειαν φύσει μουσικός, ὁ Κύριος ἡμῶν Ἰησοῦς, ἐπᾴσει τῷ Πνεύματι τῆς μυστικῆς θεωρίας, τόν τε νόμον καὶ τὸν Ἰουδαῖον, τὸν μὲν ἀντὶ χοϊκοῦ ποιεῖ πνευματικόν, τὸν δὲ μετάγει πρὸς πίστιν ἐξ ἀπιστίας. Ἔστιν οὖν κατὰ τὸν Σαούλ, ὅ τε νόμος καὶ ὁ τῶν Ἰουδαίων λαός, καὶ ἐπίληπτος καὶ σώφρων. Ἐπίληπτος γὰρ ὁ νόμος

περισσότερο, γιατὶ δὲν μπορεῖ νὰ βγάλει ἀπὸ τὴ μέση τὸν εὐεργέτη του[31].

Πολλὲς φορὲς διώχνει σκληρὰ κι αὐτὸν τὸν πολυαγαπητό του Ἰωνάθαν, ἐννοῶ τὸν ἔμφυτο ἢ συνειδητὸ λογισμό, ὅταν ἐλέγχει τὸ ἄδικο μίσος καὶ ἀφηγεῖται μὲ φιλαλήθεια τὰ κατορθώματα τοῦ μισούμενου[32], ὅπως ἔκανε ὁ παλαιὸς κι ἀνόητος ἐκεῖνος Σαούλ, πρὸς τὸν ὁποῖο, ὡς παραβάτη τῶν θείων ἐντολῶν, λέει ὁ Σαμουήλ· «φέρθηκες ἀνόητα, ἐπειδὴ πάτησες τὴν ἐντολή μου, ποὺ σοῦ ἔδωσα ἐγὼ ὁ Θεός»[33]. Σαούλ, ὅπως εἶπα πρωτύτερα, εἶναι εἴτε ὁ γραπτὸς νόμος εἴτε ὁ λαὸς τῶν Ἰουδαίων ποὺ πολιτεύεται σύμφωνα μὲ τὸ γραπτὸ νόμο. Γιατὶ καὶ ἀπὸ τοὺς δύο αὐτοὺς πλεγμένους ἔτσι χοϊκὰ μεταξύ τους ἀποχωρεῖ τὸ πνεῦμα τοῦ Κυρίου, ποὺ εἶναι ἡ πνευματικὴ θεωρία καὶ γνώση, κι ἔρχεται πνεῦμα πονηρὸ (δηλαδὴ τὸ ὑλικὸ φρόνημα), ποὺ μὲ τὶς ἀλλεπάλληλες ταραχὲς καὶ τὰ στριφογυρίσματα, ἐκείνων ποὺ ὑπακούουν στὴ γένεση καὶ στὴ φθορά, τοὺς καταπνίγει σὰν νὰ πάσχουν, σὰν ἀπὸ ἐπιληψία, ἀπὸ τὴν ἀστάθεια τῶν λογισμῶν. Γιατὶ καὶ ὁ νόμος, ὅταν νοεῖται χοϊκὰ σὲ σχέση πρὸς τὸ γράμμα μονάχα, γίνεται κι ἐπιληπτικός, δονούμενος ἀπὸ μύριες ἐναντιώσεις καὶ μὴ μπορώντας νὰ συμφωνήσει καθόλου μὲ τὸν ἑαυτό του· καὶ ὁ νοῦς ποὺ σκέπτεται Ἰουδαϊκὰ ξετρελαμένος ἀπὸ τὴν ἀκατάστατη περιφορὰ τῶν ὑλικῶν ἔχει κι αὐτὸς διάθεση νὰ συμμεταβάλλεται ἐξανάγκης ὑποχρεωτικά. Ὅταν ὅμως ὁ Δαβὶδ ἡ ἀληθινὴ μουσικὴ φύση, ὁ Κύριος μας Ἰησοῦς Χριστός, τραγουδήσει μὲ τὴν πνευματικὴ ἐπωδὸ τῆς μυστικῆς θεωρίας τόσο τὸ νόμο, ὅσο καὶ τὸν Ἰουδαῖο, τὸν ἕνα ἀπὸ χοϊκὸ τὸν κάνει πνευματικὸ καὶ τὸν ἄλλο ἀπὸ τὴν ἀπιστία τὸν ὁδηγεῖ στὴν πίστη. Εἶναι λοιπόν, ὅπως ὁ Σαούλ, καὶ ὁ νόμος καὶ ὁ Ἰουδαϊκὸς λαὸς καὶ μανιώδης καὶ φρόνιμος. Μανιώδης εἶναι ὁ νόμος, ὅπως εἶπα, ὅταν χρησιμοποιεῖται χοϊκά, καὶ μανιώδης εἶναι ὁ Ἰουδαῖος θέλοντας νὰ λατρεύει τὸ Θεὸ μὲ χοϊ-

31. Α' Βασ. 20,30. 32. Α' Βασ. 19,5. 33. Α' Βασ. 15,19.

ἐστίν, ὡς ἔφην, χοϊκῶς τῷ Θεῷ λατρεύειν βουλόμενον, καὶ πάλιν σώφρων ὁ νόμος ἐστί, πνευματικῶς νοούμενος· καὶ ὁ Ἰουδαῖος ὡσαύτως σώφρων ἐστίν, ἐκ τῆς σωματικῆς λατρείας ἐπὶ τὴν πνευματικὴν τοῦ Θεοῦ θεραπείαν μεταφερόμενος.

Σημειωτέον δέ, ὅτι τοὺς ὑπὸ Ἰησοῦ διασωζομένους ἀποκτένει Σαούλ. Οὓς γὰρ περιποιεῖται τὸ πνεῦμα τῆς Γραφῆς, ἀποκτένειν τὸ γράμμα πέφυκε. Διὸ τοῦτον, λέγω δὴ τὸν γραπτὸν νόμον, μεταμελεῖται χρίσας βασιλεύειν τοῦ Ἰσραὴλ ὁ Θεός, ὑπὸ Ἰουδαίων σαρκικῶς λαμβανόμενον, καὶ δίδωσι τῷ πνεύματι τὸ κράτος τῆς βασιλείας, τῷ πλησίον τοῦ γράμματος καὶ ἀγαθῷ ὑπὲρ τὸ γράμμα. «Καὶ δώσω», φησί, «τὴν βασιλείαν τῷ πλησίον σου τῷ ἀγαθῷ ὑπὲρ σέ». Καθὼς γὰρ ὁ Δαβὶδ ἦν πλησίον τοῦ Σαούλ, οὕτω τῷ γράμματι τοῦ νόμου τὸ πνεῦμα σοφῶς παραπέπηγεν, ὅπερ μετὰ τὸν θάνατον τοῦ γράμματος πέφυκε διαφαίνεσθαι([66]).

Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν νοητὸν Δαβὶδ([67]) ἐπηχῆσαι τῇ κιθάρᾳ τῆς πνευματικῆς θεωρίας καὶ γνώσεως ἐπιληπτευόμενον τοῖς ὑλικοῖς τὸν ἡμέτερον νοῦν, καὶ ἀπελάσαι τὸ πονηρὸν πνεῦμα τῆς πρὸς αἴσθησιν ὑλικῆς περιπετείας, ἵνα δυνηθῶμεν νοῆσαι τὸν νόμον πνευματικῶς καὶ τὸν ἐν αὐτῷ κεκρυμμένον μυστικὸν λόγον εὑρεῖν καὶ κτῆμα ποιήσασθαι διαρκὲς πρὸς ἐφόδιον ἀϊδίου ζωῆς, ὅπως μὴ τὸν δεδανεισμένον ἐν γράμματι συμβολικὸν ἔχωμεν νόμον([68]), ἀποροῦντες τῆς κατὰ χάριν ἐν Πνεύματι γνώσεως, καὶ μόνην στέργωμεν, ὡς μὴ βλέποντες, τὴν περὶ τῶν θείων ἐρώτησιν, ἐστερημένοι τῆς τῶν μυστικῶν λογίων κατ' ἀλήθειαν παμφαοῦς αὐτοψίας. Ἄμφω γὰρ λέγεται Σαούλ, πρὸς τὴν Ἑλλάδα φωνὴν μεταφερόμενος. Ἑρμηνεύεται γὰρ πρὸς τοῖς εἰρημένοις καὶ 'δεδανεισμένος' καὶ 'ἐρώτησις', ἅπερ δὴ καὶ ὁ γραπτὸς ὑπάρχων καθέστηκε νόμος·

κὸ πνεῦμα. Καὶ πάλι ὁ νόμος εἶναι φρόνιμος ὅταν τὸν ἀντιληφθοῦμε πνευματικά, καὶ ὁ Ἰουδαῖος ἐπίσης εἶναι φρόνιμος, ὅταν μεταβαίνει ἀπὸ τὴν σωματικὴ λατρεία τοῦ Θεοῦ στὴν πνευματικὴ θεραπεία.

Πρέπει νὰ σημειωθεῖ ὅτι ὁ Σαοὺλ σκοτώνει ὅσους διασώζει ὁ Ἰησοῦς. Γιατὶ ὅποιους περιποιεῖται τὸ πνεῦμα τῆς Γραφῆς, τοὺς σκοτώνει ἀπὸ τὴ φύση του τὸ γράμμα. Γι' αὐτὸ μετανοεῖ ὁ Θεὸς ποὺ ἔχρισε τοῦτον, ἐννοῶ τὸ γραπτὸ νόμο, νὰ βασιλεύει στὸν Ἰσραήλ, ποὺ οἱ Ἰουδαῖοι τὸν βλέπουν μὲ σαρκικὸ πρίσμα, καὶ δίνει τὴν ἐξουσία τῆς βασιλείας στὸ πνεῦμα, ποὺ εἶναι κοντὰ στὸ γράμμα καὶ περισσότερο ἀπὸ τὸ γράμμα ἀγαθό. «Καὶ θὰ δώσω», λέει, «τὴ βασιλεία στὸν πλησίον σου ποὺ εἶναι ἀγαθὸς περισσότερο ἀπὸ ἐσένα»[34]. Ὅπως δηλαδὴ ὁ Δαβὶδ ἦταν πλησίον τοῦ Σαούλ, ἔτσι τὸ πνεῦμα εἶναι σοφὰ δεμένο μὲ τὸ γράμμα τοῦ νόμου, ποὺ ἀπὸ τὴ φύση του γίνεται φανερὸ μετὰ τὸ θάνατο τοῦ γράμματος.

Ἂς παρακαλέσομε λοιπὸν κι ἐμεῖς τὸ νοητὸ Δαβίδ, νὰ δώσει μὲ τὴν κιθάρα του τοὺς ἤχους τῆς πνευματικῆς θεωρίας καὶ γνώσης στὸ νοῦ μας ποὺ εἶναι μανιώδης μὲ τὰ ὑλικά, καὶ ν' ἀπελάσει τὸ πονηρὸ πνεῦμα τῆς σύμφυτης μὲ τὴν αἴσθηση ὑλικῆς μεταβολῆς, γιὰ νὰ μπορέσομε νὰ ἐννοήσομε τὸ νόμο πνευματικά, νὰ βροῦμε τὸ μυστικὸ λόγο ποὺ κρύβει καὶ νὰ τὸν κάνομε κτῆμα μας παντοτινό, ἐφόδιο τῆς αἰώνιας ζωῆς. Γιὰ νὰ μὴ συμβαίνει νὰ ἔχομε τὸ συμβολικὸ νόμο ποὺ δανείστηκε σ' ἐμᾶς μὲ τὸ γράμμα, νὰ εἴμαστε ὅμως ἄποροι ἀπὸ τὴν κατὰ χάρη πνευματικὴ γνώση, καὶ ν' ἀρκούμαστε μόνο, σὰν αὐτοὺς ποὺ δὲν βλέπουν, σὲ μιὰ ἐρώτηση γιὰ τὰ θεῖα, στερημένοι ἀπὸ τὴν ἀληθινὰ ὁλόφωτη αὐτοψία τῶν μυστικῶν λογίων. Γιατὶ λέγεται καὶ γιὰ τὰ δύο τὸ ὄνομα Σαούλ, μεταφερόμενο στὴν ἑλληνικὴ γλώσσα· ἑρμηνεύεται, ἐκτὸς ἀπὸ ὅσα εἰπώθηκαν, καὶ 'δανεισμένος' καὶ 'ἐρώτηση', πράγματα ποὺ εἶναι ὁ γραπτὸς νόμος,

34. Α' Βασ. 15,28.

τὸ μὲν ὡς μὴ οἰκειότατον κτῆμα τῆς φύσεως καὶ τῇ κατ' αὐτὴν ὑπάρξει παντελῶς συμπαρατεινόμενος, τὸ δὲ ὡς περὶ γνῶσιν ἀληθῆ κινῶν ἡμᾶς καὶ πρωτότυπον σοφίαν, τοὺς μὴ νομίζοντας τὴν ἐρώτησιν κατάληψιν εἶναι τῆς ζητουμένης τῶν θείων ἀρχετυπίας, ἀλλὰ μόνον διὰ τῶν ἐν νόμῳ σωματικῶν συμβόλων, ὡς δι' ἐρωτήσεώς τινος πρὸς τὴν τῶν θείων ἀγαθῶν ἐπειγομένους κατάληψιν, ἵνα παυσώμεθα τῆς κατὰ τὴν ἐρώτησιν φροντίδος, ἐν ᾗ τυχόν ἐστι πολλάκις καὶ πλάνησις[69]*, ἐν τῇ τῶν ζητουμένων ἀληθείᾳ γενόμενοι, καὶ τῆς αὐτῶν μεταποιηθῶμεν μακαριότητος, φαινομένης ἐν ἡμῖν ἀναλλοιώτως κατὰ τὴν μέθεξιν*[70]*, καὶ τὸ κατ' αὐτὴν εἶδος τῆς ἡμῶν γνώρισμα ποιουμένης ὑπάρξεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Θεῷ καὶ Σωτῆρι ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.*

ΣΧΟΛΙΑ

1 *Νοῦς εἰς ἄκρον διὰ τῶν ἀρετῶν καθαιρόμενος, τοὺς τῶν ἀρετῶν πέφυκεν εἰκότως ἐκδιδάσκεσθαι λόγους, τὴν ἐξ αὐτῶν θειωδῶς χαρακτηρισθεῖσαν γνῶσιν οἰκεῖον ποιούμενος πρόσωπον. Καθ' ἑαυτὸν γὰρ ἀνείδεός τε καὶ ἀχαρακτήριστος πᾶς καθέστηκε νοῦς, μορφὴν ἔχων ἐπίκτητον, ἢ τὴν ἐκ τῶν ἀρετῶν ὑποστᾶσαν ἐν πνεύματι γνῶσιν ἢ τὴν ἐκ τῶν παθῶν ἐπισυμβαίνουσαν ἄγνοιαν.*

2 *Ὁ τὴν νοῦ μορφὴν τὴν ἐξ ἀρετῶν ἐν Πνεύματι θείαν δεξάμενος γνῶσιν, τὰ θεῖα λέγεται παθεῖν, ὅτι μὴ φύσει κατὰ τὴν ὕπαρξιν, ἀλλὰ χάριτι κατὰ τὴν μέθεξιν ταύτην προσέλαβεν. Ὁ δὲ τὴν ἐκ χάριτος μὴ δεξάμενος γνῶσιν, κἂν λέγῃ τι γνωστικόν, οὐκ οἶδε κατὰ τὴν πεῖραν τοῦ λεγομένου τὴν δύναμιν. Ψιλὴ γὰρ μάθησις τὴν καθ' ἕξιν γνῶσιν οὐ δίδωσιν.*

3 *Καλῶς κατὰ τόνδε τῆς Γραφῆς εἶπε τὸν τόπον λαμβάνεσθαι τὸν Σαούλ, διὰ τὸ κατὰ πολλοὺς ἐν ἄλλοις τόποις*

ἀπὸ τὴ μιά, ἐπειδὴ δὲν εἶναι κτῆμα ποὺ ἀνήκει στὴ φύση καὶ ποὺ συμπαρατείνεται ἀπόλυτα μὲ τὴν ὕπαρξή της· ἀπὸ τὴν ἄλλη, ἐπειδὴ μᾶς ὠθεῖ στὴν ἀληθινὴ γνώση καὶ τὴν πρωτότυπη σοφία ἐμᾶς, ποὺ δὲ νομίζομε ὅτι ἡ ἐρώτηση εἶναι κατανόηση τῆς ἀρχετυπίας τῶν θείων ποὺ ζητοῦμε, ἀλλὰ μόνο μὲ τὰ αἰσθητὰ σύμβολα τοῦ νόμου ποὺ σπεύδομε μὲ τὴν ἐρώτηση νὰ κατανοήσομε τὰ θεῖα ἀγαθά, ὥστε νὰ παύσομε νὰ ἐνδιαφερόμαστε γιὰ τὴν ἐρώτηση (ὅπου συχνὰ μπορεῖ νὰ εἰσχωρήσει καὶ πλάνη) φτάνοντας στὴν ἀλήθεια ὅσων ζητοῦμε, κι ἐπιτύχομε τὴ μακαριότητά τους, ποὺ λάμπει σ' ἐμᾶς ἀναλλοίωτη ὅταν τὴ μετέχομε καὶ κάνει γνώρισμα τῆς ὕπαρξής μας τὴ θεωρία στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ καὶ σωτήρα μας, στὸν ὁποῖο ἡ δόξα διαρκεῖ στοὺς αἰῶνες. Ἀμήν.

ΣΧΟΛΙΑ

1. Ὁ νοῦς ποὺ καθαίρεται μὲ τὶς ἀρετὲς στὸ ἔπαρκο, εἶναι φυσικὸ νὰ μαθαίνει τοὺς λόγους τῶν ἀρετῶν, κάνοντας πρόσωπό του τὴ γνώση ἀπὸ αὐτοὺς σφραγισμένη μὲ τὴ θεία σφραγίδα. Γιατὶ καθεαυτὸν κάθε νοῦς εἶναι χωρὶς μορφὴ καὶ χαρακτήρα παίρνοντας ἐπίκτητη μορφὴ ἢ τὴν πνευματικὴ γνώση ποὺ τῆς ἔδωσαν ὕπαρξη οἱ ἀρετὲς ἢ τὴν ἄγνοια ποὺ προκαλεῖται ἀπὸ τὰ πάθη.
2. Ὅποιος δέχτηκε τὴν πνευματικὴ θεία γνώση ποὺ προκαλοῦν οἱ ἀρετὲς ὡς μορφὴ τοῦ νοῦ αὐτὸς λέγεται ὅτι βίωσε τὰ θεῖα, γιατὶ δὲν τὴν προσέλαβε ὡς φυσικὸ γνώρισμα τῆς φύσης του, ἀλλὰ τὴ μέθεξη σ' αὐτὴ τὴν ἔλαβε κατὰ χάρη. Ὅποιος ὅμως δὲν δέχτηκε τὴν κατὰ χάρη γνώση, ἀκόμα κι ἂν λέει κάτι γνωστικό, δὲν γνωρίζει ἀπὸ πείρα τὸ νόημα αὐτοῦ ποὺ λέει. Γιατὶ ἡ ἁπλὴ μάθηση δὲν δίνει τὴν κτήση τῆς γνώσης.
3. Καλὰ εἶπε ὅτι ἀναφέρεται ὁ Σαοὺλ σ' αὐτὸ τὸ σημεῖο τῆς Γραφῆς, ἐπειδὴ σὲ ἄλλα σημεῖα ἀναφέρεται κατὰ πολλοὺς

λαμβάνεσθαι τρόπους, πρὸς τὴν ἐκ τῆς ἱστορίας ἀναδεικνυμένην θεωρίαν προσφυῶς ἁρμοζόμενον.

4 *Ὥσπερ, φησίν, ὁ παλλακῇ συναπτόμενος, νόμιμον οὐ κέκτηται τὸν γάμον, οὕτως ὁ σωματικῶς τὴν νομικὴν ἐξασκούμενος μάθησιν νόμιμον τὴν πρὸς αὐτὴν οὐκ ἔχει συμβίωσιν, νόθα γεννῶν ἐξ αὐτῆς δόγματα καὶ τῇ τῆς σαρκὸς ζωῇ συμφθειρόμενα.*

5 *Ὁ πρὸς σῶμα, φησίν, τὴν Γραφικὴν ἐκδεχόμενος μάθησιν, τὴν κατ' ἐνέργειαν ἐξ αὐτῆς ἁμαρτίαν διδάσκεται καὶ τὴν κατὰ νοῦν τῆς ἁμαρτίας μελέτην· τρυφὴν καὶ συνουσίας ἀκρατεῖς καὶ φόνους καὶ πᾶσαν τοῦ Θεοῦ βδελύττεσθαι τὴν κτίσιν ἐκ τοῦ γράμματος τοῦ νόμου μανθάνεται.*

6 *Θεωρία κατ' ἄλλην ἐπιβολήν. Ἀνάθεμα λέγεται καὶ ὁ κόσμος οὗτος, ὁ καταδίκης χωρίον, ὃν γεννᾶν τῇ προσπαθείᾳ πέφυκεν ὁ μὴ πρὸς τὸ πνεῦμα τοῦ νόμου κατὰ νοῦν διαβαίνων.*

7 *Ὅτι πρὸς ὃ σχετικῶς, φησί, διακείμεθα, πρὸς ἐκεῖνο καὶ τὴν κατὰ νοῦν μελέτην κεκτήμεθα.*

8 *Κατ' ἄλλην θεωρίαν, ὅτι ἀνάθεμά ἐστι καὶ ἡ τῶν παθῶν ἀνείδωλος κίνησις, αἰσχύνη δὲ στόματος ἡ τὸ πάθος εἰδοποιοῦσα πρὸς αἴσθησιν τοῦ νοῦ κίνησις καὶ ταῖς ἐπινοίαις ὕλην ἁρμόδιον τῷ πάθει πορίζουσα.*

9 *Κατὰ συναίρεσιν τὰς τρεῖς θεωρίας τοῦ κειμένου ἐξέδωκεν.*
Ὁ πεισθεὶς θείαν εἶναι διαταγὴν τὸ σωματικῶς κατὰ νόμον
10 *τρυφᾶν, τὴν γαστριμαργίαν ὡς Θεοῦ δῶρον λαμβάνει μετὰ χαρᾶς πρὸς συμβίωσιν, ἐξ ἧς γεννᾷ τοὺς μολύνοντας τῇ παραχρήσει τὴν ἐνέργειαν τῶν αἰσθήσεων τρόπους.*

11 *Ἐπίτομος τῶν προθεωρηθέντων ἐπανάληψις, δι' ἧς δείκνυσιν ὅτι ὁ σωματικῶς ἐκλαμβάνων τὸν νόμον, τὴν αὐτοῦ παλλακεύεται μάθησιν, καὶ γεννᾷ τήν τε τῶν παθῶν ἕξιν καὶ τὴν ἐνέργειαν, καὶ ὡς θείαν εἰσοικίζεται τὴν γαστριμαργίαν, πρὸς γένεσιν τῶν ῥυπαινόντων τῇ παραχρήσει τὰς*

τρόπους, προσαρμοζόμενος κατάλληλα πρὸς τὴ θεωρία ποὺ δίνει ἡ ἱστορία.

4. Ὅπως, λέει, ὅποιος ἑνώνεται μὲ μιὰ παλλακή, δὲν ἔχει συνάψει νόμιμο γάμο, ἔτσι ὅποιος ἀσκεῖ σωματικὰ τὴ μάθηση τοῦ νόμου δὲ συμβιώνει νόμιμα μαζί της· γεννᾶ νόθα δόγματα ἀπὸ αὐτὴν ποὺ φθείρονται μαζὶ μὲ τὴ ζωὴ τῆς σάρκας.

5. Ὅποιος δέχεται τὴ μάθηση τῆς Γραφῆς μὲ ἔννοια σωματική, ἀπὸ αὐτὴν διδάσκεται τὴν ἁμαρτία κατὰ τὴν πράξη, καὶ τὴ μελέτη κατὰ νοῦν τῆς ἁμαρτίας, τὴν τρυφή, τὶς ἀκρατεῖς συνευρέσεις, καὶ τοὺς φόνους, καὶ ὅλη τὴν κτίση τοῦ Θεοῦ μαθαίνει νὰ τὴ σιχαίνεται ἀπὸ τὸ γράμμα τοῦ νόμου.

6. Θεωρία μὲ ἄλλη ἑρμηνεία. Κι ὁ κόσμος τοῦτος, ποὺ εἶναι τόπος καταδίκης, λέγεται ἀνάθεμα. Αὐτὸς μὲ τὴν προσκόλληση στὰ πάθη γεννᾶ ἀπὸ τὴ φύση του ὅποιον δὲν μπαίνει στὸ πνεῦμα τοῦ νόμου νοερά.

7. Μὲ ὅποιο, λέει, βρισκόμαστε σὲ σχέση, αὐτὸ μελετοῦμε μὲ τὸ νοῦ μας.

8. Σύμφωνα μὲ ἄλλη θεωρία ἀνάθεμα εἶναι καὶ ἡ κίνηση τῶν παθῶν ἡ δίχως εἴδωλο. Ντροπὴ τοῦ στόματος εἶναι ἡ κίνηση ποὺ κάνει τὸ πάθος εἶδος τῆς αἰσθησης καὶ μὲ τὶς σκέψεις πορίζει στὸ πάθος ἁρμόδιο ὑλικό.

9. Ἐκθέτει μαζὶ καὶ τὶς τρεῖς θεωρίες τοῦ κειμένου.

10. Ὅποιος πείσθηκε ὅτι ἡ σωματικὴ τρυφὴ κατὰ νόμον εἶναι θεία διαταγή, παίρνει μετὰ χαρᾶς τὴ γαστριμαργία σύντροφό του ὡς δῶρο Θεοῦ, ἀπὸ τὴν ὁποία γεννᾶ τοὺς τρόπους ποὺ μὲ τὴν κακὴ χρήση μολύνουν τὴν λειτουργία τῶν αἰσθήσεων.

11. Σύντομη ἐπανάληψη ὅσων ἔχει ἐκθέσει. Μ' αὐτὴν δείχνει ὅτι ὅποιος ἀντιμετωπίζει τὸ νόμο σωματικά, χρησιμοποιεῖ σὰν παλλακὴ τὴ μάθησή του καὶ γεννᾶ καὶ τὴν ἀπόκτηση τῶν παθῶν καὶ τὴ λειτουργία τους. Παίρνει μέσα του σὰν θεϊκὴ τὴ γαστριμαργία, γιὰ νὰ γεννήσει τοὺς τρόπους ποὺ ρυπαίνουν τὶς αἰσθήσεις μὲ τὴν κακὴ χρήση τους πρὸς

αἰσθήσεις τρόπων, εἰς ἀναίρεσιν τῶν ἐν τοῖς οὖσι φυσικῶν λόγων τε καὶ σπερμάτων.

12 *Ὁ τοῖς συμβόλοις τοῦ νόμου, φησίν, ἐναπομένων, οὐ δύναται κατὰ λόγον τὴν τῶν ὄντων φύσιν ὁρᾶν καὶ τοὺς τεθέντας οὐσιωδῶς ὑπὸ δημιουργοῦ τοῖς οὖσι λόγους περιποιεῖσθαι, διὰ τὸ τῶν συμβόλων πρὸς τὴν τῶν ὄντων φύσιν διάφορον.*

13 *Ξυλοφοροῦσι μὲν οἱ λόγοι τῆς φύσεως, ὕλη πρὸς τὴν γνῶσιν τῶν θείων γινόμενοι, ὑδροφοροῦσι δὲ ῥύψιν ποιοῦντες παθῶν καὶ διάδοσιν τῆς ἐν πνεύματι ζωτικῆς ἐνεργείας.*

14 *Ἄλλη θεωρία τῶν αὐτῶν, εἰσηγουμένη διὰ τῶν Γαβαωνιτῶν τὴν κλῆσιν τῶν ἐθνῶν.*

15 *Ὕλην εἶπε καὶ εἶδος κατὰ θεωρίαν τὸν Ἑρμονθὶ καὶ τὸν Μεμφιβοσθέ, καὶ πενταπλῆν παράχρησιν τῶν αἰσθήσεων τοὺς πέντε τῆς Μερὼβ υἱούς, , οὓς ἀλλήλοις συνάψας, ἤγουν ὕλῃ καὶ εἴδει προσπλέξας τὴν αἴσθησιν διὰ τὴν πρὸς σάρκα τοῦ νόμου σύστασιν, ὁ μόνον τὸν νοῦν περιγράφων τῷ γράμματι, τὸ μὲν σαρκικὸν πάθος ἀποτελεῖ, τοὺς δὲ φυσικοὺς διαφθείρει λόγους.*

16 *Ὅτι πάθος καὶ φύσις κατὰ τὸν τοῦ εἶναι λόγον οὐδαμῶς ἀλλήλοις συνυπάρχουσιν.*

Ὁ μὴ πιστεύων, φησί, τὴν Γραφὴν εἶναι πνευματικήν, τὴν οἰκείαν κατὰ τὴν γνῶσιν πενίαν οὐκ αἰσθάνεται.

Ὅταν, φησίν, ὁ Δαβὶδ εἰς τὸν νόμον λαμβάνεται κατ' Ἰουδαίους τὸ γράμμα δηλῶν, ἑρμηνεύεται 'ἐξουδένωσις', διὰ τὴν πρὸς σάρκα τῶν θείων νομίμων παράδοσιν· κατὰ δὲ Χριστιανοὺς τὸ πνεῦμα σημαίνων, ἑρμηνεύεται 'ἰσχυρὸς ὁράσει', διὰ τὴν κατὰ νοῦν θεωρίαν τῆς γνώσεως.

19 *Ψυχὴν τῆς Γραφῆς εἶπε τὸ πνεῦμα, σῶμα δὲ τὸ γράμμα.*

20 *Τοὺς τρεῖς ἐνιαυτοὺς λέγει τοὺς τρεῖς νόμους, τόν τε γραπτὸν καὶ τὸν φυσικὸν καὶ τὸν τῆς χάριτος, ἐχομένους ἀλλή-*

ἀναίρεση τῶν φυσικῶν λόγων καὶ σπερμάτων ποὺ βρίσκονται μέσα στὰ ὄντα.

12. Ὅποιος μένει, λέει, μόνο στὰ σύμβολα τοῦ νόμου, δὲν μπορεῖ νὰ δεῖ λογικὰ τὴ φύση τῶν ὄντων καὶ νὰ φροντίζει τοὺς λόγους ποὺ ὁ δημιουργὸς ἔθεσε ὡς οὐσίες μέσα στὰ ὄντα, ἐξαιτίας τῆς διαφορᾶς τῶν συμβόλων μὲ τὴ φύση τῶν ὄντων.
13. Οἱ λόγοι τῆς φύσης μεταφέροντας ξύλα δίνουν ὑλικὸ γιὰ τὴ γνώση τῶν θείων, ἐνῶ κουβαλοῦν νερὸ καθαίροντας τὰ πάθη καὶ διαδίδοντας τὴν πνευματικὴ ζωτικὴ ἐνέργεια.
14. Ἄλλη θεωρία γιὰ τὰ ἴδια ποὺ εἰσάγει τὴν κλήση τῶν ἐθνῶν μέσω τῶν Γαβαωνιτῶν.
15. Ὀνόμασε ὕλη καὶ εἶδος κατὰ τὴν θεωρητικὴ ἐξήγηση τὸν Ἑρμονθὶ καὶ τὸ Μεμφιβοσθέ, καὶ πενταπλὴ κακὴ χρήση τῶν αἰσθήσεων εἶπε τοὺς πέντε υἱοὺς τῆς Μερώβ. Αὐτοὺς ἑνώνοντάς τους μεταξύ τους, δηλαδὴ πλέκοντας τὴν αἴσθηση μὲ τὴν ὕλη καὶ τὸ εἶδος, γιὰ τὴ σχετικὴ μὲ τὴ σάρκα σύσταση τοῦ νόμου, ὅποιος περιγράφει τὸ νοῦ μόνο μέσα στὸ γράμμα, ὁλοκληρώνει τὸ σαρκικὸ πάθος, διαφθείρει ὅμως τοὺς φυσικοὺς λόγους.
16. Τὸ πάθος καὶ ἡ φύση δὲν συνυπάρχουν καθόλου τὸ ἕνα μὲ τὸ ἄλλο σύμφωνα μὲ τὴν οὐσία τῆς ὕπαρξής τους.
17. Ὅποιος, λέει, δὲν πιστεύει ὅτι ἡ Γραφὴ εἶναι πνευματική, δὲν αἰσθάνεται τὴν πενία του στὴ γνώση.
18. Ὅταν, λέει, ὁ Δαβὶδ στὴν ἑρμηνεία τοῦ νόμου θεωρεῖται σύμφωνα μὲ τοὺς Ἰουδαίους ὅτι δηλώνει τὸ γράμμα, ἑρμηνεύεται 'ἐξουδένωση', ἐπειδὴ παραδίδει τὰ θεῖα νόμιμα στὴ σάρκα. Κατὰ τοὺς Χριστιανοὺς ὅμως, σημαίνοντας τὸ πνεῦμα, ἑρμηνεύεται 'ἰσχυρὸς στὴν ὅραση', ἐξαιτίας τῆς νοερῆς θεωρίας τῆς γνώσης.
19. Ψυχὴ τῆς Γραφῆς εἶπε τὸ πνεῦμα, ἐνῶ σῶμα της τὸ γράμμα.
20. Μὲ τὰ τρία χρόνια ἐννοεῖ τοὺς τρεῖς νόμους, τὸ γραπτό, τὸ φυσικό, καὶ τῆς χάριτος, ποὺ συνδέονται μεταξύ τους.

λων. Ὁ τοίνυν τὸν γραπτὸν νόμον λαμβάνων σωματικῶς, ἀρεταῖς τὴν ψυχὴν οὐ διατρέφει, καὶ ὁ τοῖς λόγοις τῶν ὄντων οὐκ ἐπιβάλλων, τῇ ποικίλῃ τοῦ Θεοῦ σοφίᾳ τὸν νοῦν οὐχ ἑστιᾷ φιλοτίμως, καὶ ὁ τὸ μέγα τῆς καινῆς χάριτος μὴ γινώσκων μυστήριον, τῇ ἐλπίδι τῆς μελλούσης θεώσεως οὐκ ἀγάλλεται. Οὐκοῦν ἡ ἔλλειψις τῆς κατὰ τὸν γραπτὸν νόμον πνευματικῆς θεωρίας ἔχει παρεπομένην αὐτῇ τὴν ἔνδειαν τῆς κατὰ τὸν φυσικὸν νόμον νοουμένης ποικίλης σοφίας τοῦ Θεοῦ, ἐφεπομένην ἔχουσαν τῆς κατὰ τὸ καινὸν μυστήριον χάριτι δοθησομένης, θεώσεως πάντως τὴν ἄγνοιαν.

21 Ὁ πνευματικῶς μὴ νοῶν τὸν νόμον, κἂν ἀποθανόντα ἔχῃ τὸν νόμον διὰ τὸ μὴ λατρεύειν σωματικῶς, ἀλλὰ τὰ χαμαίζηλα ἔχει τοῦ νόμου νοήματα, τὰ τέκνα τοῦ Σαοὺλ περιέπει καὶ τὰ ἔκγονα, διὸ τῷ λιμῷ τῆς γνώσεως βασανίζεται.

22 Ὥσπερ τὸ πρόσωπον χαρακτηριστικόν ἐστι τοῦ καθ' ἕκαστον, οὕτω καὶ ἡ πνευματικὴ γνῶσις ἐμφατικῶς χαρακτηρίζει τὸ Θεῖον, ἣν ὁ ζητῶν, λέγεται ζητεῖν τὸ πρόσωπον Κυρίου.

23 Ὡς 'ἰσχυρὸς ὁράσει' καὶ 'νοῦς διορατικὸς' ὁ Δαβὶδ ἑρμηνεύεται.

24 Ὁ κατασαρκούμενος κατὰ τὸ γράμμα τοῦ νόμου ταῖς ἐναίμοις θυσίαις, ποθουμένην ἄγνοιαν ἔχει, πρὸς μόνην σαρκὸς ἡδονὴν τὴν ἐντολὴν ἐκδεχόμενος.

25 Ὁ μὲν σωματικῶς, φησί, κατὰ νόμον λατρεύων, καθάπερ ὕλην γεννᾷ τὴν κατ' ἐνέργειαν ἁμαρτίαν, καὶ ὡς εἶδος τὴν ἐπ' αὐτῇ κατὰ νοῦν συγκατάθεσιν ταῖς προσφόροις ἡδοναῖς τῶν αἰσθήσεων ὑλικῶς διαπλάττεται. Ὁ δὲ πνευματικῶς τὴν Γραφὴν ἐκδεχόμενος, ὡς μὲν ὕλην τὴν ἐνέργειαν, ὡς εἶδος δὲ τῆς ἁμαρτίας τὴν συγκατάθεσιν μετὰ τῶν κατὰ παράχρησιν πρὸς ἡδονὴν τῆς αἰσθήσεως τρόπων, ὡς υἱοὺς καὶ υἱωνοὺς τοῦ νομικοῦ γράμματος θανατοῖ διὰ τῶν φυσικῶν λογισμῶν ἐν τῷ ὕψει τῆς θεωρίας.

῞Οποιος λοιπὸν ἀποδέχεται τὸ γραπτὸ νόμο σωματικά, δὲν τρέφει τὴν ψυχή του μὲ τὶς ἀρετές. Καὶ ὅποιος δὲν προσέχει στοὺς λόγους τῶν ὄντων δὲν φιλοτιμεῖται νὰ προσφέρει στὸ νοῦ τὴν ποικίλη σοφία τοῦ Θεοῦ. Κι ὅποιος δὲν κατανοεῖ τὸ μέγα μυστήριο τῆς καινῆς χάριτος, δὲν νιώθει ἀγαλλίαση μὲ τὴν ἐλπίδα τῆς μελλοντικῆς θέωσης. Ἑπομένως ἡ ἔλλειψη τῆς πνευματικῆς θεωρίας στὸν γραπτὸ νόμο ἔχει ὡς παρεπόμενό της τὴν ἔνδεια τῆς πολυποίκιλης σοφίας τοῦ Θεοῦ νοούμενης σύμφωνα μὲ τὸ φυσικὸ νόμο, ποὺ τὴν ἀκολουθεῖ ὁπωσδήποτε ἡ ἄγνοια τῆς θέωσης, ποὺ εἶναι δῶρο τῆς χάριτος κατὰ τὸ καινὸ μυστήριο.

21. ῞Οποιος δὲν σκέφτεται τὸ νόμο πνευματικά, ἀκόμα κι ἂν ἔχει πεθάνει γι' αὐτὸν ὁ νόμος, ἀφοῦ δὲν λατρεύει σωματικά, ζοῦν ὡστόσο μέσα του τὰ χαμαίζηλα νοήματα τοῦ νόμου. Φροντίζει τὰ παιδιὰ καὶ τὰ ἐγγόνια τοῦ Σαούλ, καὶ γι' αὐτὸ βασανίζεται ἀπὸ τὴν πείνα τῆς γνώσης.

22. ῞Οπως τὸ πρόσωπο ξεχωρίζει τὸν ἕνα ἀπὸ τοὺς ἄλλους, ἔτσι καὶ ἡ πνευματικὴ γνώση εἶναι τὸ χαρακτηριστικὸ γνώρισμα τοῦ θείου, κι ὅποιος τὴ ζητᾶ λέγεται ὅτι ζητᾶ τὸ πρόσωπο τοῦ Θεοῦ.

23. Ὁ Δαβὶδ ἑρμηνεύεται 'δυνατὸς στὴν ὅραση' καὶ 'διορατικὸς νοῦς'.

24. ῞Οποιος παχαίνει σάρκες σύμφωνα μὲ τὸ γράμμα τοῦ νόμου μὲ τὶς αἱματηρὲς θυσίες, ἔχει τὴν ἄγνοια ποὺ ποθεῖ, ἀποδεχόμενος τὴν ἐντολὴ μόνο γιὰ τὴν ἡδονὴ τῆς σάρκας.

25. ῞Οποιος, λέει, λατρεύει σωματικὰ σύμφωνα μὲ τὸ νόμο, σὰν ὕλη γεννᾶ τὴν ἔμπρακτη ἁμαρτία, καὶ ὡς εἶδος διαπλάθει τὴ νοερὴ συγκατάθεσή του σ' αὐτή, ὑλικὰ μὲ τὶς ἀνάλογες ἡδονὲς τῶν αἰσθήσεων. Ἐνῶ ὅποιος ἐκλαμβάνει τὴ Γραφὴ πνευματικά, ὡς ὕλη, τὴν ἐνέργεια καὶ ὡς εἶδος τὴν συγκατάθεση στὴν ἁμαρτία μαζὶ μὲ τὶς ἐκδηλώσεις τῆς αἴσθησης χρησιμοποιούμενης κακῶς γιὰ ἡδονή, σὰν υἱοὺς κι ἐγγονοὺς τοῦ γράμματος τοῦ νόμου τὶς σκοτώνει μὲ τοὺς φυσικοὺς λογισμοὺς στὸ ὕψος τῆς θεωρίας.

26 *Ὅτι χωρὶς φυσικῆς θεωρίας οὐδεὶς τὴν πρὸς τὰ θεῖα τῶν νομικῶν συμβόλων ἀπέμφασιν διαγινώσκει.*

27 *Τὸ ἐξηλιάσαι νενόηκεν ἀντὶ τοῦ φανερῶσαι κατὰ τὸ ὕψος τῆς θεωρίας τὸ γράμμα τοῦ νόμου νεκρὸν διὰ τῆς ἐν Πνεύματι γνώσεως.*

28 *Ὅριον Ἰσραὴλ νενόηκε πάντα λόγον τε καὶ τρόπον πνευματικῆς θεωρίας, ἐν ᾧ στῆναι οὐ δύναται παντελῶς ἡ σωματικὴ τοῦ νόμου παράδοσις.*

29 *Τὸ μὲν πνεῦμα, φησί, ζωῆς ὑπάρχει παρεκτικόν, τὸ δὲ γράμμα ζωῆς ἐστιν ἀφαιρετικόν. Οὐκοῦν οὐ δύναται καὶ τὸ γράμμα πράττειν κατὰ τὸ αὐτὸ καὶ τὸ πνεῦμα, ὥσπερ οὐδὲ τὸ ζωοποιὸν τῷ φθοροποιῷ συνυπάρχει.*

30 *Φυσικὸν ἡ ἀκροβυστία, φησί· πᾶν δὲ φυσικὸν θείας ἔργον δημιουργίας ἐστίν. Ἔστι δὲ θείας ἔργον δημιουργίας καὶ λίαν καλὸν κατὰ τὴν φάσκουσαν φωνήν· «εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν». Ὁ δὲ νόμος, ὡς ἀκάθαρτον περιαιρεῖσθαι κελεύων τὴν ἀκροβυστίαν διὰ περιτομῆς, τὸν Θεὸν εἰσάγει διὰ τέχνης τὸ οἰκεῖον διορθούμενον ἔργον, ὅπερ καὶ ἐννοεῖν ἀσεβέστατον. Οὐκοῦν ὁ τοῖς συμβόλοις τοῦ νόμου φυσικῶς ἐπιβάλλων, οἶδεν ὡς οὐ τὴν φύσιν ὁ Θεὸς διορθοῦται διὰ τῆς τέχνης, ἀλλὰ τὸ ἐπιπειθὲς λόγῳ τῆς ψυχῆς παθητικὸν περιτέμνεσθαι κελεύει, τὸ διὰ τοῦ σωματικοῦ μορίου τυπικῶς δηλούμενον, ὅπερ γνῶσις διὰ τῆς κατὰ τὴν πρᾶξιν ἀνδρείας τῆς γνώμης ἀποτίθεσθαι πέφυκεν. Ὁ γὰρ περιτέμνων ἱερεὺς σημαίνει τὴν γνῶσιν, τὴν ἔχουσαν καθάπερ σίδηρον κατὰ τοῦ πάθους τὴν τοῦ λόγου κατὰ τὴν πρᾶξιν ἀνδρείαν. Ἀφανίζεται γοῦν ἡ σωματικὴ τοῦ νόμου παράδοσις, πλεονεκτοῦντος τὸ γράμμα τοῦ πνεύματος.*

31 *Ὅρος τῆς κατὰ περιτομὴν μυστικῆς θεωρίας.*

26. Χωρὶς φυσικὴ θεωρία κανένας δὲν διακρίνει τὴν ἀντίφαση τῶν νομικῶν συμβόλων πρὸς τὰ θεῖα.
27. Τὴν ἔκθεση στὸν ἥλιο τὴ χρησιμοποιεῖ ἀντὶ τοῦ νὰ ἀποδείξει νεκρὸ τὸ γράμμα τοῦ νόμου στὸ ὕψος τῆς θεωρίας μὲ τὴν πνευματικὴ γνώση.
28. Ὡς ὅριο τοῦ Ἰσραὴλ ἐννοεῖ κάθε λόγο καὶ κάθε τρόπο τῆς πνευματικῆς θεωρίας, ὅπου δὲν μπορεῖ νὰ σταθεῖ καθόλου ἡ σωματικὴ παράδοση τοῦ νόμου.
29. Τὸ πνεῦμα, λέει, παρέχει ζωή, ἐνῶ τὸ γράμμα ἀφαιρεῖ τὴ ζωή. Ἐπομένως δὲν μπορεῖ κανεὶς ταυτόχρονα νὰ πράττει καὶ τὸ γράμμα καὶ τὸ πνεῦμα, ὅπως ἀκριβῶς δὲν συνυπάρχει οὔτε ἡ ζωὴ μὲ τὴ φθορά.
30. Ἡ ἀκροβυστία εἶναι κάτι φυσικό, καὶ κάθε φυσικὸ εἶναι ἔργο τῆς θείας δημιουργίας. Καὶ εἶναι ἔργο δημιουργίας καὶ μάλιστα ἐξαίρετο σύμφωνα μὲ τὸ λόγο τοῦ Θεοῦ, 'εἶδε ὁ Θεὸς ὅσα δημιούργησε καὶ νά, ἦταν ὅλα πολὺ καλά»[35]. Ἐνῶ ὁ νόμος, προστάζοντας ν' ἀφαιρεῖται ἡ ἀκροβυστία μὲ τὴν περιτομή, εἰσάγει τὸ Θεὸ νὰ διορθώνει μὲ ἀνθρώπινη ἐπέμβαση τὸ δικό του ἔργο, πράγμα ποὺ καὶ νὰ τὸ σκεφτεῖς εἶναι ἀσεβέστατο. Ὅποιος λοιπὸν προσεγγίζει ἀπὸ φυσικὴ ἄποψη τὰ σύμβολα τοῦ νόμου, γνωρίζει ὅτι ὁ Θεὸς δὲν διορθώνει μὲ τὴν τέχνη τὴ φύση ἀλλὰ προστάζει νὰ περιτέμνεται τὸ ὑποτακτικὸ στὸ λόγο παθητικὸ μέρος τῆς ψυχῆς, ποὺ δηλώνεται μὲ τὸν τύπο τοῦ σωματικοῦ μορίου, πράγμα ποὺ ἡ γνώση τὸ ἀποβάλλει ἀπὸ τὴ φύση της στὴν πράξη μὲ τὴν ἀνδρεία τῆς γνώμης στὴν πράξη. Ὁ ἱερεὺς δηλαδὴ ποὺ κάνει τὴν περιτομὴ δηλώνει τὴ γνώση, ποὺ ἔχει σὰν μαχαίρι κατὰ τοῦ πάθους τὴν ἀνδρεία τοῦ λόγου κατὰ τὴν πράξη. Ἀφανίζεται λοιπὸν ἡ σωματικὴ παράδοση τοῦ νόμου μὲ νίκη τοῦ πνεύματος ἐπὶ τοῦ γράμματος.
31. Ὁρισμὸς τῆς μυστικῆς θεωρίας κατὰ τὴν περιτομή.

35. Γεν. 1,31.

32 Ὅρος τῆς κατὰ Σάββατον μυστικῆς νομοθεσίας, ἐν ᾧ τί τὸ Σάββατόν ἐστι παρίστησι μυστικῶς καὶ τίς ὁ κατ' αὐτὸ πνευματικὸς λόγος ἐστίν, ὅτι παθῶν καὶ τῆς περὶ τὴν φύσιν τῶν ὄντων τοῦ νοῦ κινήσεώς ἐστιν ἀνάπαυσις.

33 Θεὸν δῆλον ὅτι.

34 Τί σημαίνουσιν αἱ νεομηνίαι.

35 Ὅρος τοῦ στεφάνου τῆς χρηστότητος.

36 Ἄλλος ὅρος τοῦ αὐτοῦ μυστικώτερος.

37 Ἐνταῦθα τὴν ἐγκράτειαν ἔργον εἶναι λέγει τῆς προνοίας, ὡς τῶν γνωμικῶν καθαρτικὴν παθῶν, τὴν ὑπομονὴν δὲ τῆς κρίσεως εἶναι κατόρθωμά φησιν, ὡς τοῖς ἀκουσίοις ἀντιτασσομένην πειρασμοῖς.

38 Πρώτην ἑορτὴν τὸ Πάσχα λέγει.

39 Δευτέραν ἑορτὴν λέγει τὴν Πεντηκοστήν.

40 Τρίτην λέγει τὴν ἐν ἑβδόμῳ μηνί, τὴν τοῦ Ἱλασμοῦ.

41 Σκόπει, πῶς ὁ νόμος ἀπόλλυσι τοὺς νοοῦντας αὐτὸν σωματικῶς, τῇ κτίσει λατρεύειν παρὰ τὸν κτίσαντα πείθων καὶ ἡγεῖσθαι φύσει σεπτὰ τὰ δι' αὐτοὺς γεγονότα, τὸν δι' ὃν αὐτοὶ γεγόνασιν ἀγνοήσαντας.

42 Πῶς ἐστι Σάββατον ὁ Θεός.

43 Πῶς ὁ Θεὸς καὶ Πάσχα ἐστὶ μυστικόν.

